17. βαρεῖς] τὸ βαρὺς ἐνίοτε μὲν λέγεται ἐπὶ ψυχῆς, ὡς ἐν τῷ· (Aj. 1017.) "τοιαῦτ' ἀνὴρ δύσοργος ἐν γήρᾳ βαρύς." ἐνίοτε δὲ ἐπὶ τοῦ σώματος, ὡς ἐνταῦθα.

οἱ δὲ σὺν γήρᾳ] οἱ δὲ βεβαρημένοι, δυσκίνητοι, συνόντες γήρᾳ.

18. ἠθέων] ἀπὸ τῶν νέων. [ἀπὸ τῶν Διοσκόρων, ἤγουν Κάστορος καὶ Πολυδεύκους.]

21. μαντείᾳ σποδῷ] μαντικῇ. χρησμὸς μὲν ἡ τῶν θεῶν μαντεία· μαντεία δὲ καὶ μάντευμα τὸ ἀπὸ μάντεων ἀνθρώπων. ἐνταῦθα δὲ τὸ μαντείᾳ ἀντὶ τοῦ μαντικῇ λέγεται, ἁπλοῦν ἀντὶ κτητικοῦ.

23. ἄγαν σαλεύει] ἤγουν πάνυ ταράττεται, ἐν μεγάλῳ κλύδωνί ἐστιν, ἐν μεγάλῳ κινδύνῳ. ἀπὸ τοῦ σάλου τῶν βυθῶν τοῦ φονικοῦ οὐκ ἔτι οἷά τε ἐστὶν, ἤγουν δυνατὴ, ἀνενέγκαι τὴν κεφαλήν.

25. φθίνουσα μὲν] φθειρομένη μὲν κατὰ τὰς καρποφόρους κάλυκας τῆς γῆς, φθειρομένη δὲ κατὰ τὰς ἀγέλας τῶν νομάδων βοῶν, ἀντὶ τοῦ τῶν ζώων ἁπλῶς τῶν νεμομένων, καὶ κατὰ τοὺς τόκους τῶν γυναικῶν τοὺς ἀγόνους, ἤγουν τοὺς κακογόνους. [εἰκότως εἶπε τὸ ἐγκάρποις πρὸς τὸ κάλυξιν. κάλυξ γὰρ κυρίως τὸ τοῦ ῥόδου περικάλυμμα. νῦν δὲ ἐκ τοῦ ἐγκάρποις πάντα τὰ ζωὴν ἀνθρώποις καὶ κτήνεσι φέροντα σπέρματα ἐδήλωσεν.]

26. ἀγόνοις] κακογόνοις.

27. θεὸς] τὴν λοιμικὴν νόσον ἐκάλεσεν ἐνταῦθα θεόν.

35. ὅς γ' ἐξέλυσας] ὅς γε ἐλθὼν εἰς τὴν πόλιν τῶν Καδμείων ἐξέλυσας, ἀντὶ τοῦ ἔλυσας ἤγουν ἔπαυσας τὸν δασμὸν τῆς σκληρᾶς ἀοιδοῦ, ἤγουν τῆς Σφιγγὸς, ὃν παρείχομεν. ἀοιδοῦ λέγει, ἐπεὶ ἐμμέτρως ἔλεγε τὰ αἰνίγματα. [δασμὸν, τὸ τέλος, διότι κατ' ἔτος ἀπῄτει τοῖς πολίταις ἄνθρωπον. δασμὸς, τὸ τέλος καὶ φόρος. ἀναδασμοὶ δὲ τῆς γῆς, ἡ ἀναμέτρησις καὶ ἡ ἐκ δευτέρου διαίρεσις.]

37. οὐδὲν ἐξειδὼς πλέον] οὐδὲν πλέον εἰδὼς, ἤγουν οὐδὲν εἰς προσθήκην τῆς σῆς γνώσεως. τὸ πλέον οὕτω τιθέμενον οὐ περισσὸν τίθεται, ἀλλ' ἔχον ἀεὶ ὅποι ἀποδοθήσεται· οἷον, σπουδάσας οὐδὲν πλέον ἤνυσα, ἀντὶ τοῦ, οὐδὲν πλέον τῆς σπουδῆς. καὶ, δένδρεσιν εὐκάρποις οὐδὲν πλέον, τῆς εὐκαρπίας δηλονότι· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

39. ὀρθῶσαι βίον] ἀντὶ τοῦ ἀνορθῶσαι, ἀπὸ μεταφορᾶς τῶν κλινομένων, ὅταν αὐτά τις ἀνορθοῖ.

41. πρόστροποι] πρὸς σὲ τετραμμένοι. [καὶ παραγώγως προστρόπαιος ἀλλαχοῦ· (Aj. 1137.) "θάκει δὲ προστρόπαιος."]

43. φήμην] χρησμόν. ἐπὶ μὲν τῶν θεῶν ἀπαντᾷ ὁ χρησμὸς οἰκείως· ἐπὶ δὲ τοῦ ἀνδρὸς προσυπακούεται ἡ μαντεία κατ' ἀναλογίαν.

εἴτ' ἀπ' ἀνδρὸς] εἴτ' ἀπ' ἀνδρός τινος ἀκούσας, μαντείαν δηλονότι, οἶσθα.

[46. ὦ βροτῶν ἄριστ'] ἀρείων, συγκριτικὸν, ὅθεν καὶ πρὸς ἐνικὴν γενικὴν ἔχει τὴν σύνταξιν, ὡς τὸ, ἀρείων ὁ Ἀχιλλεὺς τοῦ Αἴαντος τὰ πολεμικά. ἄριστος ὑπερθετικὸν, ὅθεν καὶ πρὸς γενικὴν τῶν πληθυντικῶν ἔχει τὴν ἀπόδοσιν τῆς συντάξεως.]

[48. κλῄζει] κλέω, κλείζω, κληίζω, κλῄζω.]

49. ἀρχῆς δὲ τῆς σῆς] ἀντὶ τοῦ ὧν καταρχὰς ἐποίησας οὐδαμῶς μεμνησόμεθα.

51. ἀλλ' ἀσφαλείᾳ] ἤγουν ποίησον τὴν πόλιν ἀσφαλῆ μένειν, ὡς καὶ μὴ καταβληθῆναι, βοήθειαν πρότερον λαβοῦσαν παρὰ σοῦ. ἀνόρθωσον] ἀνεστηκυῖαν ποίησον, ἤγουν ἀνάστησον.

52. ὄρνιθι αἰσίῳ] μαντείᾳ εὐσυμβόλῳ, τουτέστιν ἀγαθὸν σύμβολον δηλούσῃ. ὄρνιθες ἁπλῶς μὲν πάντα τὰ πετόμενα, ἰδίως δὲ οἱ εἰς μαντείαν συντείνοντες, ἀφ' οὗ ἔλεγον καὶ πᾶν τὸ εἰς μαντείαν συν-

ἐπὶ τῆς τῶν ὀρνίθων μαντείας κυρίως λέγεται, καὶ ἀπὸ τούτου καὶ ἐπ' ἄλλων, οἷον ἀπαίσιοι ὄρνιθες, οἱ δυσοιώνιστοι· αἴσιοι δὲ, τὸ ἐναντίον, οἷον οἱ εὐσύμβολοι καὶ τὰ ἀγαθὰ σύμβολα δηλοῦντες.

55. κενῆς] ἐστερημένης τῶν ἀνθρώπων τῶν πληρούντων αὐτήν. κρατεῖν] κρεῖττον τῆς πόλεως κρατεῖν ἀνδρῶν ἐνοικούντων αὐτὴν ἢ κενῆς. καὶ εὐθὺς τὸ ἐπιχείρημα ἀπὸ ἐλάττονος.

56. οὐδέν ἐστιν] οὐδὲν τυγχάνει πύργος καὶ ναῦς ἔρημος ἀνδρῶν.

58. κοὐκ ἄγνωτα] ἀλλ' ἐγνωσμένα. ἔχει δὲ τὸ πᾶν ἐνθύμημα οὕτω. νοσεῖτε πάντες. οὐδεὶς δὲ νοσεῖ ὡς ἐγὼ νοσῶ. εἷς γὰρ ὑμῶν ἕκαστος τὸ οἰκεῖον σκοπεῖτε, ἐγὼ δὲ καὶ τὸ οἰκεῖον καὶ τὸ κοινόν.

66. δακρύσαντα] οὐκ εἶπε δακρῦσαι, ἀλλὰ δακρύσαντα, διὰ τὸ ἴστε. γνωστικὸν γὰρ ὂν μετὰ μετοχῆς συντακτέον.

67. φροντίδος πλάνοις] στροφαῖς, φαντασίαις, ἤγουν διὰ τῶν στροφῶν καὶ τῶν φαντασιῶν τοῦ λογισμοῦ.

70. γαμβρὸν] ὅρα παρὰ τοῖς παλαιοῖς τὸ γαμβρός ἀδιάφορον. γαμβρὸν γὰρ ἐνταῦθα τὸν γυναικάδελφόν φησιν.

71. ὡς πύθοιθ'] πύθοιτο καὶ ἔροιτο. σημαίνει δὲ δύο, τὸ ἔροιτο καὶ τὸ μάθοι.

73. καί μ' ἦμαρ ἤδη] καί με ἤδη, ἀπὸ τοῦ νῦν ἡμέρα συνεξεταζομένη τῷ καθήκοντι χρόνῳ λυπεῖ, ἀποροῦντα δηλονότι ὅ τι πράττει. [καὶ τὸ ἦμαρ συμμετρούμενον καὶ ποσούμενον τῷ χρόνῳ καὶ τῇ βραδύτητι λυπεῖ με.]

74. λυπεῖ τί πράσσει] φυσικός ἐστιν ὁ λόγος, ἀπὸ τῶν ἐπαγομένων συνυπακούειν τὰ πρέποντα πρότερον λέγεσθαι, ὡς ἐνταῦθα ἀπὸ τοῦ τί πράσσει ἀπορίαν ἐμφαίνοντος γνώμης ζητούσης ὅποι ἐρείσει συνυπακούεται τὸ ἀποροῦντα. καὶ ἐν τῷ· (Aj. 1320.)

> οὐ γὰρ κλύοντες ἐσμὲν αἰσχίστους λόγους,
> ἄναξ Ὀδυσσεῦ, τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως;

τὸ ἆρα καὶ ἐν ἄλλοις ἕτερα.

τοῦ γὰρ εἰκότος πέρα] ἀντὶ τοῦ περαιτέρω τοῦ πρέποντος πράγματος, ἤγουν οὐ πρέποντα ποιῶν ἄπεστι πλέον τοῦ καθήκοντος χρόνου.

78. ἀλλ' εἰς καλὸν] καὶ μὴν καλῶς καὶ κατὰ τὸν προσήκοντα χρόνον ἐμνήσθης καὶ ἀνεζήτησας αὐτὸν, καὶ οὗτοι μηνύουσί μοι, καὶ τὰ

σχοντα.]

80. εἰ γὰρ ἐν τύχῃ γέ τῳ] εἴθε γὰρ ἐν τύχῃ τινί. ὥσπερ παρὰ τοῖς Αἰολεῦσι τὸ ὅτινα κοινόν ἐστι κατὰ γένος, οὕτω καὶ παρὰ τοῖς Ἀττικοῖς τὸ τοῦ καὶ τὸ τῷ κοινῶς λέγεται. (Aj. 290.) "οὔτε του "κλύων σάλπιγγος." καὶ (Œd. T. 1435.) "τοῦ χρείας." καὶ ἐν τύχῃ γέ τῳ. [τὸ τινὶ καὶ ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ λαμβάνεται. τινὶ οὖν ὤφειλεν εἰπεῖν· ἀλλὰ διότι λαμβάνεται καὶ τὸ τῳ ἀντὶ τοῦ τινὶ, ἔθηκεν οὕτω. καὶ ἔστι τῶν Ἀττικῶν.]

82. κάρα πολυστεφὲς] οἱ γὰρ ἀπὸ τοῦ μαντείου ἐρχόμενοι δάφνῃ ἦσαν ἐστεμμένοι· αὕτη γὰρ ἦν φίλη τῷ Ἀπόλλωνι κατὰ τὸν μῦθον.

84. ξύμμετρος γὰρ ὡς κλύειν] ἐπὶ τοῦ διαστήματος ὀφείλων θεῖναι τὸ σύμμετρον, ὁ δὲ ἐπὶ τοῦ προσώπου τίθησιν ἀντιστρόφως. τὸ σχῆμα δὲ τοῦτο τοῦ λόγου καὶ τῷ πεζῷ λόγῳ σύνηθες, ὥσπερ καὶ τὸ ταχὺς ἦλθεν.—ἀντὶ τοῦ, διάστημα ἀπέχει σύμμετρον, ὥστε ἀκούειν, τοῦ λόγου ἡμετέρου δηλονότι.

87. εἰ τύχοι ἐξελθόντα] ἤγουν εἰ ἐξέλθοι, εἰ τελεσθείη.

[89. ποῖον τοὔπος] τὸ ἔπος, τοὔπος· τὸ ἔλαιον, τοὔλαιον· τὸ ἐμὸν, τοὐμόν· τὸ ἔδαφος, τοὔδαφος· τὸ ἄμεινον, τἄμεινον. οὔτε γὰρ] οὐ γὰρ ἐν τῷ νῦν λόγῳ χαίρω, οὐδὲ πάλιν φοβοῦμαι.

93. ἐς πάντας αὖδα] ἐνώπιον πάντων λέγε.

96. ἄνωγεν] διπλῶς γράφεται, ἀνώγω καὶ ἀνωγέω ἀνωγῶ.

98. ἀνήκεστον] ἀθεράπευτον. ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ ἄκος ἡ θεραπεία. ἄνωγε καθᾶραι τὸ μίασμα. συμφορᾶς, ἤγουν τοῦ συμφέροντος. πῶς καθαίρωμεν τὸ μίασμα; ἀνδρηλατοῦντες, ἢ διὰ φόνου πάλιν λύοντες, ἤγουν καθαίροντες φόνον· τουτέστι φονεύοντες.

102. ποίου γὰρ] τὸ γάρ ἐρωτηματικόν. ἤγουν τὸν συμβεβηκότα τοῦτον φόνον, ποίου ἀνδρὸς δηλοῖ εἶναι; τουτέστι τίνα λέγει παθεῖν τοῦτον τὸν φόνον;]

104. πρίν σε τήνδ' ἀπευθύνειν] πρὸ τοῦ κυβερνᾶν σε τήνδε τὴν πόλιν. τὸ εὐθύνειν καὶ τὸ ἀπευθύνειν ἐπὶ τῶν ὀρθουμένων λοξῶν λέγεται, καὶ ἐπὶ τῶν κυβερνωμένων νεῶν· καὶ ἀπὸ τούτων κατὰ μεταφορὰν καὶ ἐπὶ τοῦ κολάζειν, καὶ ἐπὶ τῶν ἄλλως διοικουμένων, καθ' ὃ λέγεται

ρούμαι, τὸ ὑπεύθυνον ποιῶ. εὐθύνη δὲ, ἡ τιμωρία.]

108. ποῦ τόδ'] ποῦ εὑρεθήσεται αὖτη ἡ αἰτία δυσδιάκριτος οὖσα;

109. δυστέκμαρτον] ἀντὶ τοῦ σημείων δυσεύρετον. λέγεται δὲ ἀπὸ μεταφορᾶς τῶν κυνῶν τῶν τὸ ἴχνος σκοπούντων. [ἀπὸ τοῦ τεκμαίρομαι τὸ στοχάζομαι.]

111. ἐκφεύγει] καὶ ταῦτα ἀπὸ τῶν θηρίων λέγεται τῶν ἁλισκομένων, ἢ ἐκφευγόντων.

114. [θεωρὸς ὁ εἰς τὸ χρηστήριον πορευόμενος, ἐξ οὗ καὶ θεωρὸς ναῦς· αὕτη κατεσκεύαστο καὶ ἔφερε τὴν θεωρίαν. θεοπρόπος δὲ, ὁ μάντις. καταχρηστικῶς καὶ θεοπρόπος, ὁ θεωρὸς, ὡς τὸ, θεοπρόπον ἴαλλ', ἤτοι θεωρόν. θεατὴς δὲ, ὁ θεώμενος· κυρίως ἐπὶ θεάτρου.]

πάλιν πρὸς οἶκον] ἤγουν οὐκ ἔτι πάλιν ἀφίκετο, ἀντὶ τοῦ ἐπανέστρεψε, πρὸς οἶκον. ὡς ἀπεστάλη, ἀντὶ τοῦ καβὰ ἀπεδήμησεν. ἀπεστάλη τις ὑπό τινος, ἀντὶ τοῦ ἐπέμφθη· ἐνταῦθα δὲ ἀπῆλθε καὶ ἀπεδήμησεν.

[122. ληΐζω, ληΐσω, ληϊστὴς καὶ λῃστὴς γράφεται, καὶ ληϊστὴρ ποιητικῶς, καὶ ληΐστωρ. ἐκ τούτου καὶ λῃστρικός. τὸ ὅλον ἐνθύμημα. οὐχ εἷς ληστὴς ἐφόνευσεν, ἀλλὰ πολλοί. τοῦτο γάρ ἐστι τὸ σὺν πλήθει χερῶν.]

[124. πῶς ἂν ἐτόλμησεν ὁ λῃστὴς φονεῦσαι αὐτὸν, εἰ μὴ δῶρα ἔλαβεν ἔκ τινος τῶν Θηβαίων;]

131. τἀφανῆ] ἤγουν τὰ ἄδηλα αὐτῆς αἰνίγματα.

132. ἐξ ὑπαρχῆς] ἤγουν ἀναδραμὼν ἐπὶ τὴν ἀρχήν.

[134. πρὸς τοῦ θανόντος, πρόθεσις πρὸς ἀντὶ τῆς ὑπέρ προθέσεως.]

135. ἐνδίκως σύμμαχον] ἤγουν βοηθὸν ἐν δίκῃ. [σύμμαχος τῷ δεῖνι, ὡς πρόμαχος. ἤγουν ποιοῦντα ἐμὲ τὰ ἀνήκοντα τῷ θεῷ.]

138. ἀλλ' αὐτὸς αὑτοῦ] συνυπακούεται ἡ ὑπέρ ἀπὸ κοινοῦ, ἵν' ᾖ, ἀλλ' αὐτὸς ὑπὲρ ἐμαυτοῦ. ἀποσκεδῶ] ἀντὶ τοῦ ἀποσκεδάσω, ἤγουν ἀποπέμψω. μύσος] τὸ μίασμα.

140. τοιαύτῃ χειρὶ] ἀντὶ τοῦ τοιαύτῃ τόλμῃ χειρὸς, τοιούτῳ φόνῳ.

143. ἵστασθε] ἀνίστασθε, ἀνάστητε, τοὺς κλάδους τῆς ἱκετηρίας

3. ὑπευθύνω] Verbum nusquam lectum, quod scholiasta videtur finxisse.

147. τῶνδε γὰρ χάριν] καὶ γὰρ χάριν τῶνδε δεῦρο ἐπορεύθημεν, ὧν οὗτος ἐπαγγέλλεται, ἤγουν ὑπισχνεῖται.

151. ὦ Διὸς ἀδυεπὴς] ἤγουν ἡ δι' ἀέρος διαδεδομένη φήμη ἡδύλογος. λέγει δὲ τὸν χρησμόν.

154. ἰήϊε Δάλιε Παιὰν] διὰ μέσου τοῦτο. ἐπὶ τῶν παιάνων λέγεται τὸ ἰήϊος, ἐπεὶ τοιούτῳ μέλει ἥδον τοὺς παιᾶνας. ἐπεὶ δὲ πρὸς τὸν Ἀπόλλωνα ᾖδοντο οἱ παιᾶνες, ἐλέγετο καὶ ὁ Ἀπόλλων ἰήϊος, ὡς ὑπὸ τοιούτου μέλους ὑμνούμενος, ὥσπερ εὔϊος ὁ Διόνυσος. καὶ ἐπὶ τοῦ παιᾶνος τὸ αὐτὸ τοῦτο συμβαίνει. λέγεται γὰρ παιὰν ὁ εἰς τὸν Ἀπόλλωνα ὕμνος, καὶ ἀπὸ τούτου καὶ ὁ Ἀπόλλων, καθ' ὃ καὶ ἐνταῦθα. δείκνυται δὲ καὶ ἐν τούτοις τοῦτο σαφέστερον,

Τμνείω Παιᾶνα μέγαν θεὸν Ἀπόλλωνα.

156. περιτελλομέναις] κατὰ τὰς περιτελλομένας ὥρας, τὰς κατὰ κύκλον ἐπιούσας.

158. ἄμβροτε] ἀθάνατε, ἀδιάπτωτε. τὸν χρησμὸν λέγει.

159. κεκλομένῳ] ἀντὶ τοῦ ἐπικαλουμένῳ. [ἡ μετοχὴ δοτικὴ ἀντὶ ῥήματος. ἔχουσι δὲ τοῦτο ἐκ τοῦ Ὁμήρου.]

161. Ἄρτεμιν] ἡ αὐτή ἐστιν ἡ Ἄρτεμις τῇ Ἑκάτῃ, ἥτις ἐτιμᾶτο ἐν ταῖς τριόδοις.

162. Φοῖβον] καὶ τὸν Ἀπόλλωνα, τὸν μακρόθεν πέμποντα τὰ βέλη.

163. ἀλεξίμοροι] ἀποδιώκοντες τὴν μοῖραν, ἤγουν τὴν δυστυχίαν.

164. ὕπερ ὀρνυμένας πόλει] ἡ ὑπὲρ ἀντὶ τῆς ἐπί, ἤγουν κινουμένας κατὰ τῆς πόλεως.

166. ἠνύσατ' ἐκτοπίαν] ἤγουν ἐποιήσατε ἐκτετοπισμένην, τουτέστι ἐξετοπίσατε, ὑπερόριον ἐποιήσατε.

[167. πότοι] πότος παρὰ τοῖς Ἕλλησιν, ὁ θεός.]

172. ἔκγονα] ἤγουν σῖτοι καὶ τὰ ἄλλα γεννήματα, οἱ καρποί.

174. ἀνέχουσι] ἄνεσιν ἔχουσιν, ἀναπαύονται.

3. Vocabuli κούκουτζον exempla duo ex Agapio Cretensi et anonymo attulit Ducangius.

15. Τμνείω] ὑμνέωμεν est in Anthol. Palat. 9, 525. quod probabilius. Sic μέλπωμεν ibid. 524.

μεγάλης φλογὸς, καὶ πρὸς ἣν οὐκ ἔστι μῆκος παραβαλεῖν. ὁρμενον] κινούμενον πρὸς τὴν παράλιον τοῦ ἑσπέρου θεοῦ, ἤγουν σκοτεινοῦ, περιφραστικῶς δὲ ἀντὶ τοῦ Ἅιδου, πρὸς ὃν ἔλεγον διὰ τῆς Ἀχερουσίας λίμνης κατάγεσθαι τὰς ψυχάς.

181. πρὸς πέδῳ] παρὰ τῇ γῇ τῇ θανατηρᾷ, τῇ φθοροποιῷ, ὅτι ἀπὸ τῆς γῆς μεταλαμβάνουσι τῆς λοιμικῆς νόσου τὰ ζῶα.

182. ἀνοίκτως] μὴ φροντιζομένη ὑπό τινος ἐλευθερωθῆναι. ἀνηλεῶς.

183. ἐπὶ ματέρες] ἤγουν ἐπὶ τούτοις δὲ αἱ ἄλοχοι, κεῖνται δηλονότι, καὶ πολιαὶ μητέρες, ἤγουν πεπολιωμέναι γραῖαι. [ἐπίπαππος, ὁ ἐπὶ τῷ πάππῳ πάππος. οὕτω καὶ ἐπιμήτηρ, ἡ μάμμη.]

184. ἀκτὰν παραβώμιον] ἤγουν ἐπὶ τὴν παρὰ τοῖς βωμοῖς ἐξοχήν.

185. ἄλλοθεν ἄλλαι] ἤγουν ἀπ' ἄλλου μέρους ἄλλαι κείμεναι.

186. ἱκτῆρες] ἱκέτιδες ἐπιστοναχοῦσι ἕνεκα τῶν χαλεπῶν πόνων.

187. παιὰν] ὁ εἰς τὸν Ἀπόλλωνα ὕμνος λαμπρῶς ὑμνεῖται. [ἐπαιάνιζον οἱ μὴ παθόντες, ἐστέναζον οἱ παθόντες. ὅμαυλος, ἅμα ὑπὸ πάντων ᾀδομένη.] σύναυλος, σύμφωνος, ἐστὶ δηλονότι.

189. εὐῶπα] ὀξὺ ὁρῶσα καὶ καθαρόν. πρὸς μὲν τὸ Ἄρεα τὸ ἄχαλκος, πρὸς δὲ τὸ μαλερόν τὸ φλέγει.

193. νωτίσαι] λείπει τὸ δός.

196. ἐς τὸν ἀπόξενον] εἴτε εἰς τὸν ἀνεπιτήδειον τοῖς ξένοις εἰς ἐλλιμένισιν, τὸν ταραχώδη πόντον τὸν Θρᾴκιον, ἤγουν τὸν Εὔξεινον πόντον.

200. τὸν ᾧ πυρφόρων] ᾧ νέμων, ἤγουν διοικῶν, τὰ κράτη τῶν πυρφόρων ἀστραπῶν. ἢ οὕτως· ᾧ νέμων τῷ κράτει τῷ σῷ καὶ διὰ τῆς σῆς ἰσχύος τὴν πυρφόρον ἀστραπήν.

202. ὑπὸ σᾷ φθίσον] φθεῖρον ὑποθεὶς τῷ σῷ κεραυνῷ, ἤγουν κεραύνωσον αὐτὸν, κατ' αὐτοῦ βαλὼν κεραυνὸν τὸν σόν.

203. χρυσοστρόφων] ἀπὸ τοῦ τόξου, τοῦ χρυσῆν νευρὰν ἔχοντος.

205. ἐνδατεῖσθαι] ἐνδιατρίβειν, ἐνδιαιτᾶσθαι, μερίζεσθαι, διαδίδοσθαι. ἀρωγὰ] προϊστάμενα.

210. ἐπώνυμον] τὸν ἐπὶ τῷ ὀνόματι τῶν Θηβαίων καλούμενον.

λοιμον.

216. αἰτεῖς] ἀντὶ τοῦ αἰτῇ, ἤγουν παρακαλεῖς. ἃ δ' αἰτεῖς, περὶ ὧν τὴν αἴτησιν ποιῇ. ὑπηρετεῖν] ὑπουργεῖν κατὰ τῆς νόσου.

218. ἀνακούφισιν] ἐλευθερίαν τοῦ βάρους τῶν κακῶν.

219. ξένος μὲν] οὐκ ἐνεχόμενος ζητεῖν τὸν λόγον τοῦτον, τὸν περὶ τοῦ φονέως. οὐκ ἐνεχόμενος ζητεῖν τὸ πραχθέν. ξένος τοῦ λόγου. ἐπεὶ οὐκ ἔστι μοι συγγενής· καὶ ξένος τοῦ πραχθέντος. οὐ γὰρ ἐγὼ πέπραχα τὸν φόνον.

222. νῦν δ'] οὐχ οὕτω ποιῶ δηλονότι, ἀλλὰ προφωνῶ, ἤγουν προαγγέλλω, ὑμῖν πᾶσι τοῖς Καδμείοις, ὕστερος γὰρ αὐτὸς ἀστὸς εἰς ἀστοὺς τελῶ, τάδε. [τελεῖ εἰς τοὺς Ἕλληνας, ἤγουν Ἕλλην ὑπάρχει. καὶ τελεῖ εἰς τοὺς ἀστούς, ἤτοι ἀστὸς ὑπάρχει· ὕστερος, δηλονότι τοῦ φόνου.]

[224. ὅστις ποθ' ὑμῶν] τὸ ὅστις ποτε γενικῇ ἀεὶ συντάσσεται· ὅστις τῶν ἀνθρώπων.]

227. ὑπεξελὼν] ἐξελών, ἐκβαλών. τοὐπίκλημα] ἤγουν τὸ ἔγκλημα, ὡς ποιήσας αὐτὸς δηλονότι, τὴν κατηγορίαν. οὕτω καὶ ἐπικαλῶ, τὸ ἐγκαλῶ. εἰ γοῦν φοβεῖται τὸ ἔγκλημα ὡς μέγα, ἐκβαλὼν τὸν φόβον λέγοι αὐτὸς καθ' αὑτοῦ, ἤγουν κατηγορείτω αὐτοῦ. καὶ οὐ πάθοι ὁ ἄνθρωπος ἄλλο ἀστεργὲς, ἤγουν βαρὺ, ἐπαχθὲς, ἢ τὸ ἀποδημῆσαι τῆς πατρίδος εἰς ἄλλην γῆν.

231. τὸν αὐτόχειρα] τὸν αὐτουργὸν τοῦ φόνου, καταχρηστικῶς τὸν φονέα. αὐτόχειρ δὲ, ὁ οἰκείαις χερσὶ τοὔργον ποιήσας.

232. ἡ χάρις] ἡ εὐχαριστία. προσκείσεται] πρὸς τῷ κέρδει κείσεται, ἐκείνῳ δηλονότι, καὶ ἡ χάρις.

233. τὸ ἀπώσῃ πρὸς τὸ σιωπήσεσθε ἀφορᾷ, καὶ φυλάττει μὲν τὸ πρόσωπον, ἐναλλάττει δὲ τὸν ἀριθμόν. ὤφειλε γὰρ πληθυντικῶς λέγεσθαι, οἷον, εἰ δ' αὖ σιωπήσεσθε καὶ ἀπώσεσθε τόνδε τὸν λόγον, ὃν ἐγὼ κελεύω, ἢ ἕνεκα φίλου δείσας τις, ἢ ὑπὲρ ἑαυτοῦ, ἃ μετὰ ταῦτα δράσω, ταῦτα χρὴ κλύειν ἐμοῦ.

[240. χέρνιβας νέμειν] μήτε καθάρσια παρέχειν αὐτῷ. χέρνιψ δὲ, τὸ προκαθάρσιον, ὥς που ὁ Συνέσιος (Epist. 121.) τὰς ἐν τοῖς

35. ἐν τοῖς προτεμενίσμασι] πρὸ τοῦ τεμενίσματος Johns.

ἀντὶ γενικῆς, τοῦ Πυθίου θεοῦ, τοῦ προστάξαντος ζητεῖν τὸν φονέα.]

248. ἐκτρῖψαι] κακῇ μοίρᾳ καταστρέψαι τὴν ζωήν.

[249. ἐπεύχομαι] ἐπὶ εὐχῆς. ἀπεύχομαι δὲ, τὸ ἀπαγορεύω. κατεύχομαι δὲ, τὸ καταρῶμαι. ἔστι δὲ καὶ ἐπὶ καλοῦ κατευχή. Ἀριστείδης· "Ὅσα δὴ γενεθλίοις θεοῖς κατηῦκται." ἡ κατά ἐνταῦθα ἀργὴ, ἀντὶ τοῦ λίαν.]

252. ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω] ἐνόρκως ἐντέλλομαι τὸ ἀγγεῖλαι τὸν φονέα, ἢ ἀπωθεῖσθαι τῶν οἰκιῶν καὶ τῶν θυσιῶν. πρὸς τὸ ἐγὼ μὲν τοιόσδε ἀποδίδοται τὸ ὑμῖν δέ.

[τελεῖν] τελῶ τὸ ἀργύριον· τελῶ τὴν χάριν, ὡς ἀρτίως ἔφη· (v. 222.) τελῶ εἰς τοὺς Ἕλληνας, ἥγουν Ἕλλην εἰμί. τελῶ καὶ τὸ πράττω, ὃ κρεῖττον μετὰ τῆς ἐκ, ἥγουν ἐκτελῶ.]

253. ὑπέρ τ' ἐμαυτοῦ] ὑπὲρ ἑαυτοῦ λέγει ταῦτα ἐπισκήπτειν, ἐπεὶ εὑρημένου τοῦ φονέως, καὶ δίκην δεδωκότος, ἀπαλλάξεται μὲν φροντίδος, ἀσφαλέστερον δὲ αὐτῷ καὶ τὰ πράγματα ἕξει, τῆς κατὰ τῶν βασιλέων τόλμης ὑπεσταλμένης τῷ τὸν ἅπαξ τετολμηκότα κεκολάσθαι.

254. ἀκάρπως καθέως] τῷ μὴ καρποφορεῖν καὶ μὴ ἐπιμελεῖσθαι αὐτῆς τινα τῶν θεῶν. [παρὰ μηδενὸς τῶν θεῶν εὑρισκούσης βοήθειαν.]

255. οὐδ' εἰ γὰρ ἦν] οὐδὲ γὰρ, εἰ μὴ ἦν τὸ πρᾶγμα, ἥγουν τὸ ζητεῖν τὸν φονέα, ὑπὸ τοῦ θεοῦ κεκινημένον—νῦν δὲ δίκαιόν ἐστι τὸ πρᾶγμα ἐπιζητεῖν. καὶ ὁ θεὸς κινεῖ, καὶ ἐγὼ ἐπιβεβαιῶ.

260. ὁμόσπορον, εἰς ἣν ἔσπειρε καὶ ἐκεῖνος καὶ ἐγώ.

263. κείνου κρᾶτ'] τὸ κρᾶτα, τὴν κεφαλήν. εἰς τὴν κεφαλὴν ἐκείνου, ἥγουν τοῦ γένους, ἐνήλατο ἡ τύχη· ἀντὶ τοῦ ἐδυστύχησε τὸ γένος.

266. τὸν αὐτόχειρα] τὸν αὐτουργὸν, τὸν ταῖς οἰκείαις χερσὶν ἐργασάμενον τὸν φόνον.

[268. Ἀγήνορος] Ἀγήνωρ τὸν Καῦμον· οὗτος τὸν Πολύδωρον· οὗτος τὸν Λάβδακον· οὗτος τὸν Λάϊον· οὗτος τὸν Οἰδίποδα. κατὰ ἀναποδισμόν.]

269. τοῖς μὴ δρῶσιν] τοῖς μὴ πράττουσι ταῦτα, ἥγουν τοῖς μὴ ὑπερμαχομένοις καὶ ζητοῦσι τὸν φονέα.

272. ἐχθίονι] καὶ ἔτι ταύτης τύχῃ μᾶλλον μεμισημένῃ.

273. ὑμῖν δὲ] τοῖς ἀποδεχομένοις τοὺς ἡμετέρους λόγους.

276. ὥσπερ μ' ἀραῖον] καθά μὲ ἐν κατάραις ἐκράτησας, οὕτως ἐρῶ ἐν αὐταῖς ταῖς κατάραις. [ἤγουν ἐπὶ τῇ ἀρᾷ ᾗ κατηράσω ἐμοὶ, ἐπ' αὐτῇ λέξω κἀγώ. μετὰ θάρσους λαμβάνω τὴν κατάραν, ὅτι οὐκ οἶδα τίς ἐστιν ὁ φονεὺς τοῦ Λαΐου.]

278. τὸ δὲ ζήτημα] τῆς δυνάμεως ἣν τοῦ Φοίβου εἰπεῖν, ὅστις εἴργασταί ποτε τὸν φόνον.

282. τὰ δεύτερ' ἐκ τῶνδ' ἂν] τὰ ἐκ τῶνδε δεύτερα, ἤγουν τὰ ἐν δευτέρᾳ τάξει μετὰ ταῦτα, λέγοιμι ἄν· ἃ μοι δοκεῖ, ἤγουν φαίνεται, δεύτερα.

283. μὴ παρῇς] μὴ καταλίπῃς τοῦτο εἰπεῖν.

284. ἄνακτ' ἄνακτι] ἄνακτα λέγει τὸν Ἀπόλλωνα καὶ τὸν Τειρεσίαν, τὸν μὲν, ὡς φύσει ἀνάσσοντα, τὸν δὲ Τειρεσίαν, ὡς ὑπὸ τῶν ἀνθρώπων οὕτω τιμώμενον, διὰ τὸ κράτος τῆς μαντικῆς.

[287. οὐκ ἐν ἀργοῖς] τὸ ὄνομα ἀντὶ ἐπιρρήματος· οὐκ ἀργῶς. ἐπραξάμην. ὥσπερ τὸ ἐγεννησάμην παρὰ Συνεσίῳ ἀντὶ τοῦ ἐγέννησα, καὶ τὸ διῳκησάμην ἀντὶ τοῦ διῴκησα, καὶ τὸ ἐθαυμασάμην ἀντὶ τοῦ ἐθαύμασα, οὕτω καὶ τὸ ἐπραξάμην ἀντὶ τοῦ ἔπραξα, τῇ μὲν φωνῇ παθητικὰ, τῇ δὲ σημασίᾳ ἐνεργητικά.]

288. διπλοῦς πομποὺς] δύο τοὺς παραπέμψοντας αὐτὸν δεῦρο. [πομπὸς, ὁ προπομπός. καὶ πομπὸς, ὁ ἀποσταλεὶς πρός τινα μαντείαν.] πρὸ μακροῦ δὲ, διὰ τὸ μὴ παρεῖναι, θαυμάζεται ὁ Τειρεσίας.

293. τὸν δ' ἰδόντ'] τὸν δὲ ἰδόντα, ὡς ὑπὸ ὁδοιπόρων ὄλωλε, οὐδεὶς ὁρᾷ, ἀντὶ τοῦ γινώσκει.

294. δείματος μέρος] ἀλλ' εἰ μὲν δὴ καὶ φόβου τι μέρος ἔχει. εἰ ἔχει μέρος δείματος, ἤτοι εἰ ποσῶς φοβεῖται ἀκούων τὰς σὰς ἀρὰς, οὐ μενεῖ, ἀλλ' ἐξαγγελεῖ.

296. ᾧ μή 'στι] ᾧ τινι τῶν ἀνθρώπων μὴ φόβος ἐστὶ κακόν τι πράττοντι, τοῦτον οὐδ' ἔπος φοβεῖ, ἤγουν λόγος.

301. χθονοστιβῆ] τὰ ἔχοντα τὴν δίαιταν ἐν τῇ γῇ, ἤγουν τὰ καταχθόνια.

νοσήματος, εἰ τοὺς κτανόντας τὸν Λάϊον μαθόντες εὐ κτείναιμεν, ἢ ἐκ τῆς γῆς πεμψαίμεθα φυγάδας, ἥγουν ἐξορίστους.

313. ῥῦσαι δὲ πᾶν] ἤγουν κάθηρον ἡμᾶς τοῦ μιάσματος, τοῦ διὰ τὸν φονευθέντα γεγενημένου.

314. ἐν σοὶ γάρ ἐσμεν] ἤτοι ἡ σωτηρία ἡμῖν ἐν σοὶ φαίνεται. τὸ ὠφελεῖν δέ τινα ἄνδρα ἐξ ὧν ἔχει καὶ δύναται, κάλλιστος πόνων.

318. εἰδὼς] ὅτι μέλλω ἀναγκασθήσεσθαι. εἰ γὰρ ἐφύλαττον, οὐκ ἂν ἦλθον ἐνταῦθα.

319. ὡς ἄθυμος] λίαν δύσθυμος, ἤγουν λελυπημένος, ᾧ ἐναντίον ὁ εὔθυμος.

320. ῥᾷστα γὰρ] ἤγουν εὐκολώτατα σύ τε τὸ σὸν διοίσεις ἀπὸ κοινοῦ, καὶ ἐγὼ τὸ ἐμὸν, ἣν ἐμοὶ πίθῃ. ἀπὸ μεταφορᾶς τῶν βαστα-ζόντων τι ταῦτα λέγεται. ἤγουν καὶ σὺ εὐκολώτατα βαστάσεις τὸ σὸν φορτίον, ἤτοι τὴν σὴν τύχην, καὶ ἐγὼ τὴν ἐμήν.

322. πόλει] τῇ πατρίδι δηλονότι, ἥτις σοι παρέσχε τὰς αἰτίας τῆς ἀνατροφῆς.

[323. τήνδ' ἀποστερῶν φάτιν] τὸ ἀποστερῶ ἐνίοτε μὲν ἀπὸ αἰτια-τικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν, ἐνίοτε δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, ὡς ἐνταῦθα.—ἀποστερῶν τὴν πόλιν τὴν φήμην.]

324. ἰὸν πρὸς καιρὸν] ἤγουν οὐκ ἔστι σοι συμφέρον. ἵνα οὖν μὴ ταὐτὰ πάθω καὶ ἐγὼ, ἤγουν ἵνα μή τι εἴπω ἔξω τοῦ δέοντος, σιωπῶ.

328. οὐ μή ποτε] οὐ μή ποτε εἴπω τὰ ἐμὰ, ἤγουν τὴν ἐμὴν μαντείαν, ὡς ἂν μὴ ἐκφήνω, ἤγουν φανερὰ ποιήσω τὰ σὰ κακά.

330. ξυνειδὼς] νοῶν τὸ πρᾶγμα, εἰδησιν ἔχων τοῦ πράγματος.

336. ἄτεγκτος κἀτελεύτητος] ἀνένδοτος, σκληρὸς, ἀμείλικτος, μὴ διδοὺς τέλος τῷ πράγματι.

337. τὴν σὴν δ' ὁμοῦ] τὴν ὁμοῦ σοι αὐτῷ ναίουσαν, ὀργὴν δη-λονότι.

340. ἀτιμάζεις] μὴ λάβῃς εἰς τὸ ἅ ἔξωθεν τὸ διά. ἀλλ' ὥσπερ φαμὲν ὑβρίζω σε ὕβριν, οὕτω καὶ ἀτιμάζω σε τόδε. ἀτιμάζων λέγεις.

344. θυμοῦ δι' ὀργῆς] ὀργίζου.

345. ὡς ὀργῆς ἔχω] οὕτως ὡς διάκειμαι ἕνεκα ὀργῆς. ὡς δυνατὸς

ἀπὸ μεταφορᾶς τῶν τὴν ῥίζαν τῶν φυτῶν καταβαλλόντων.

352. προσαυδᾶν] προσομιλεῖν, προσαγορεύειν, προσδιαλέγεσθαι.

354. ἀναιδῶς] ἀναισχύντως. οὕτως ἔξω τοῦ πρέποντος παρεκινήθης, καὶ εἶπες τοῦτον τὸν λόγον. τοῦτο φεύξεσθαι] τὴν ἀκολουθοῦσαν τῷ ῥήματι βλάβην.

361. οὐχ ὥστε γ' εἰπεῖν] οὐχὶ ξυνῆκα οὕτως, ὥστε εἰπεῖν ἐγνωσμένον ὃ ἐνόησα.

366. σὺν τοῖς φιλτάτοις] περισσῶς λέγεται ἡ σύν. ἤγουν αἰσχίστως συνόντα τῇ μητρί.

369. εἴπερ τι] καὶ δοκῶ λέξειν ταῦτα γεγηθὼς, εἴπερ—

370. ἀλλ' ἐστι πλὴν σοὶ] δέον εἰπεῖν σου πρὸς τὸ πλήν, πρὸς τὴν ὄπισθεν ἔξωθεν νοουμένην εἰς τὸ ἔστι δοτικὴν ἐπήνεγκε τὸ σοί.—τόν τε νοῦν] ἤγουν κωφὸς τὸν νοῦν, παρατετραμμένος, ἀνόητος.

373. τῶνδ'] οὐδεὶς ἀπὸ τῶνδε, ἤγουν τῶν παρεστώτων, ἐστὶ δηλονότι, ὃς οὐκ ὀνειδιεῖ σοι ταχέως.

374. μιᾶς νυκτὸς] συνεχοῦς τυφλώσεως.—διόλου ἐν τῷ σκότει διατρίβεις.

377. ᾧ μέλει, ἤγουν διὰ φροντίδος ἐστὶν ἀπαιτῆσαι, τιμωρῆσαι.

379. αὐτὸς σὺ σοὶ] πῆμα ὑπάρχεις.

381. πολυζήλῳ] κατὰ τὸν πολὺν φθόνον ἔχοντα βίον.

384. δωρητὸν] κατὰ ἑκούσιον δωρεὰν αὐτῆς.

386. ὑπελθὼν] ὑπέρχομαι, τὸ ὑποκάτω τινὸς ἔρχομαι, καὶ ἀπὸ τούτου τὸ κολακεύω· οἱ γὰρ κολακεύοντες ὑποταγὴν σχηματίζονται. ἐνταῦθα δὲ τὸ ὑπελθὼν ἀπὸ μεταφορᾶς τῶν παλαιόντων λέγεται, ὅταν τοὺς ἀντιπάλους ὑπέρχωνται λαθόντες, ἵνα εὐχειρώτους οὕτω ποιήσαντες καταστρέψωσι.

387. διαβάλλει τὸν μάντιν, μάγον αὐτὸν λέγων. ἀγύρτην] ὀχλαγωγόν. [ἀγύρτης, ὁ κατὰ μῆνα λαμβάνων τὰ τέλη.]

[389. τὸ δέδορκεν ἐνταῦθα ἀντὶ τοῦ τὴν δύναμιν ἔχει τοῦ ὁρᾶν λαμβάνεται, καὶ ἔστιν ἀμετάβατον. εἰ γὰρ ἐλέγετο μεταβατικῶς, διὰ τῆς εἰς προθέσεως μετέβαινεν ἂν, τῆς δηλούσης κίνησιν, καὶ εἶχεν ἂν ὁ λόγος οὕτως· ὅστις εἰς τὰ κέρδη δέδορκε μόνον· οὐ διὰ τῆς ἐν, ἥτις ἀεὶ στάσεως ἐστὶ δηλωτική.]

οὔτε ἀπ' οἰωνῶν, οὔτε ἐκ τινος ἄλλου τῶν θεσπ.

398. γνώμῃ κυρήσας] διὰ τῆς ἐμῆς φρονήσεως εὐστοχήσας, ἐπιτυχὼν, τῶν αἰνιγμάτων αὐτῆς.

400. παραστατήσειν πέλας] ἐκ παραλλήλου. τὸ γὰρ παραστατήσειν τὸ πέλας στήσεσθαι δηλοῖ.

402. ἀγηλατήσειν] τὸ ἄγος ἐλάσειν, ἤτοι ἐμὲ, ὃν λέγεις φονέα εἶναι. εἰ δὲ μὴ δόκεις] ἀντὶ τοῦ, εἰ δὲ μὴ ἦσθα γέρων. γέρων γὰρ ὢν, ἐξ ἀνάγκης καὶ νομίζεται εἶναι.

408. ἐξισωτέον] ἄξιον ἐξισοῦσθαί σοι ὑπ' ἐμοῦ. τὸ γοῦν ἴσ' ἀντιλέξαι] τὸ ἀντιλέξαι σοι ἐμὲ τὰ ἴσα, ἤγουν ἀντιλέγειν. ἐξισοῦσθαί σοι κατὰ τὸ λέγειν.

411. προστάτου] προστάτης λέγεται ὁ ἐν πολέμῳ ἔμπροσθεν ἱστάμενος, καὶ βοηθῶν τοῖς ὄπισθεν· καὶ ὁ τῷ ἀξιώματι προέχων τῶν ἄλλων, ἄρχων καὶ ἡγεμὼν, καθὰ λέγεται ἐνταῦθα.—ἄρχοντος τοῦ Κρέοντος οὐ κατηγορηθήσομαι δοῦλος.

416. τοῖς σοῖσιν αὐτοῦ] ἀντὶ τοῦ, τοῖς σοῦ αὐτοῦ, τουτέστι τοῖς σεαυτοῦ.

418. ἐλᾷ] ἐλάσει. δεινόπους ἀρὰ] φοβερὰ τὴν ἐπιδημίαν κατάρα τοῦ πατρὸς τοῦ σοῦ καὶ τῆς μητρὸς, ἀμφοτέραις ταῖς χερσὶ πλήττουσα, ἐλάσει ποτὲ ἐκ τῆσδε τῆς γῆς, ἤγουν ἐξελάσει τῆσδε γῆς, νῦν μὲν βλέποντα ὀρθὰ, ἔπειτα δὲ σκότον, βλέποντα δηλονότι.

419. βλέποντα νῦν μὲν ὀρθ', ἔπειτα δὲ σκότον] καινότερον εἶπεν βλέποντα σκότον, ὥσπερ εἴ τις εἴποι, σιωπὴν λέγοντα.

420. ποῖος λιμὴν, ποῖος Κιθαιρὼν οὐκ ἔσται σύμφωνος ταχέως τῆς σῆς βοῆς; συμφωνῶ τῷδε· σύμφωνος δέ εἰμι τοῦδε.

423. εὐπλοίας τυχὼν] διὰ τὸ εὑρεῖν σε τὸ αἴνιγμα.

425. ἃ σ' ἐξισώσει] ἴσον δείξει σε σοὶ, ἤγουν ὅστις εἶ δείξει σε ὅτι υἱὸς εἶ ταύτης, ἢ νῦν συνοικεῖς δηλονότι.

426. τοὐμὸν στόμα] τοὺς ἐμοὺς λόγους ἀτίμαζε. οὐδεὶς γάρ ἐστιν ἀπὸ τῶν βροτῶν, ὅστις χεῖρόν σου φθαρήσεται, ἀφανισθήσεται.

430. πάλιν ἄψορρος] ἐκ παραλλήλου. ἄπει] ἀπελεύσει.

432. ἀπελεύσομαι· ἴσθι δὲ ὡς οὐδὲ ἦλθον ἄν, εἰ—

437. τίς δέ μ' ἐκφύει] ἀντὶ τοῦ ἔφυσε, τουτέστι ἐγέννησεν.

440. εὑρίσκειν] ἐστὶ τὸ ἐξετάσει καὶ ἐρεύνῃ καταλαμβάνειν.

447. ἄπειμ᾽] ἀπελεύσομαι εἰπὼν ἐκεῖνα, ὧν ἕνεκα ἦλθον.

448. ἔσθ᾽ ὅπου, καὶ ἔσθ᾽ ὅπως κατὰ τοὺς Ἀττικούς.

450. ἀπειλῶν] μετὰ ἀπειλῆς καὶ ἀνακηρύξεως τοῦ φόνου τοῦ Λαΐου.

452. λόγῳ] οὐ τῇ ἀληθείᾳ, ἀλλὰ λόγῳ. ἐγγενὴς] ἐγχώριος. οὐδ᾽ εὐφρανθήσεται τῷ συμβεβηκότι, ἤγουν τῷ ἀναγνωρισμῷ.

456. ἐμπορεύσεται] βαδίσει, ἐμπεριπατήσει, διελεύσεται.

460. ὁμόσπορος] τὴν αὐτὴν αὐτῷ γυναῖκα σπείρων.

461. τὸ ἐψευσμένον] Ἀττικὸν ἀντὶ τοῦ ψευσάμενον.

[462. φάσκειν] ἀντὶ τοῦ φάσκε. ἤδη] ἐξ ἐκείνου, ἀπὸ τοῦ νῦν. φάσκειν καὶ φάσκε. ὅταν τιθῆται εἰς τὸ ἀπαρέμφατον καὶ ἡ τοῦ προσώπου αἰτιατικὴ, θέλει καὶ τὸ δεῖ· ὅταν δὲ οὐ τιθῆται ἡ αἰτιατικὴ τοῦ προσώπου, τὸ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ.]

465. ἄρρητ᾽ ἀρρήτων] ὑπερβολικῶς, ὡς τὸ δείλαια δειλαίων.

467. ὥρα νιν] καιρός ἐστι νωμᾶν αὐτὸν, ἤγουν κινεῖν, τὸν πόδα σθεναρώτερον, ἤγουν εὐτονωτέρως, ἀνέμοις ἰσοταχῶν ἵπποιν.

470. ὁ Διὸς γενέτας] γόνος, ὁ Ἀπόλλων. γενέτης, ὁ υἱὸς ἐνταῦθα, καὶ ὁ πατὴρ ἀλλαχοῦ.

[472. τὸ δὲ ἀναπλάκητοι ἀντὶ τοῦ κακαμπλάκητοι. τίς γὰρ χείρων ἁμαρτία φόνου πατρικοῦ καὶ μητρικῆς μίξεως; ἢ τὸ ἀναμπλάκητοι ἀντὶ τοῦ ἃς οὐδεὶς ἥμαρτε. οὐδεὶς γὰρ λέγεται ἄμφω ταῦτα ποιήσας.]

473. ἔλαμψε] ὁ χρησμὸς γὰρ τοῦ Παρνασοῦ τοῦ χιονώδους, ὁ φανεὶς ἀρτίως, ἐδήλωσε πάντα Θηβαῖον ἰχνεύειν, ἀντὶ τοῦ ζητεῖν, τὸν κρυπτόμενον ἄνδρα, ἤγουν τὸν φονέα.

477. ὑπαί τ᾽ ἀγρίαν ὕλαν] ἤγουν ὑπὸ δένδρα καὶ ἄλσος, ἀγρίων ζώων κατοικίαν.

479. μελέῳ ποδὶ χηρεύων] κατὰ ἀθλίαν πορείαν μονάζων, μόνος βαδίζων, καὶ μηδενὶ γινωσκόμενος.

480. ἀπονοσφίζων] ἤγουν ἐκφεύγων τοὺς χρησμοὺς τοῦ μέσου

23. τὸ δὲ—ποιήσας] Hoc scholion ex cod. Monacensi edidit Hermannus de emend. rat. gramm. Gr. p. 19.

διατιθεὶς, ἤγουν
πτήσεως τῶν οἰω
488. οὔτ' ὀπί
τὸ παρεληλυθός.
489. Λαβδακ
τίς φιλονεικία ἔ
Οἰδίποδα, ἢ τῷ
491. οὔτε] ο
οὔτε τανῦν ἤκουσ
492. πρὸς ὅτ
ἐπιδημήσασαν μ
Οἰδίποδος. Λα
λων θανάτων.
500. ἀνδρῶν
ἔχει πλέον ἢ ἐγὼ
503. σοφίᾳ]
506. ὀρθὸν ἔπ
γορήσαιμι.
510. βασάνῳ
τῇ πόλει.
512. κακίαν]
513. πολῖται
ἤγουν ἀπὸ τῆς α
μετὰ τῆς σύν, ἤ
κοώς. πάρειμ']
ἀφορήτως ἔχων.
515. εἰ γὰρ
νομίζει τι πεπο
εἴτε διὰ λόγων,
πολὺν χρόνον πα
519. οὐ γὰρ
οἷον ἁπλοῦν ἦθος
ἐνίοτε δὲ τὸ ἀσύ

ἐπιτάσεως εἰς τὴν τοῦ μεγίστου ὑπέρθεσιν.

528. ἀπὸ ἀναμφιβόλου διαθέσεως ὀφθαλμοῦ, καὶ ἀπὸ ἀναμφιβόλου διαθέσεως γνώμης.

537. ἐβουλεύσω ποιεῖν] ἢ μωρίαν τινὰ ὑπολαβὼν ἐνεῖναί μοι, ἢ ὑπολαβὼν ὅτι οὐ μάθοιμι τὸ ἔργον τόδε σὺν δόλῳ κινούμενον.

542. ὃ πλήθει] τὸ ὃ πρὸς τὸ πρᾶγμα ἀπέδωκε. ὑπὸ πλήθους ἀνθρώπων καὶ ὑπὸ χρημάτων.

543. οἶσθ' ὡς ποίησον] γινώσκεις ὅπως μέλλεις ποιήσειν ἕνεκα τῶν εἰρημένων ὑπὸ σοῦ.

546. βαρὺν] βαρὺς, ἐπὶ ψυχῆς, ὁ δύσκολος καὶ ἀγανάκτησιν ἔχων. καὶ βαρὺς, ἐπὶ σώματος, ὁ βεβαρημένος καὶ δυσκίνητος. ἐνταῦθα δὲ οὐ τὸν ἔχοντα τὸ βάρος ἐν ἑαυτῷ λέγει καὶ τὴν ἀγανάκτησιν, ἀλλὰ τὸν γινόμενον ἑτέρῳ τοιοῦτον. ὥστε τὸ βαρὺς ἐνίοτε μὲν τὸν βαρυνόμενον δηλοῖ, καὶ ἐπὶ πάθους λέγεται· ἐνίοτε δὲ τὸν βαρύνοντα, καὶ ἐνεργείας ἐστὶ δηλωτικόν.

547. τοῦτ' αὐτὸ] περὶ τούτου αὐτοῦ, οὗ λέγεις, ὅτι εὕρηκάς με δυσμενῆ σαυτῷ, τὴν ἀπολογίαν μου ἄκουσον.

549. τὴν αὐθάδειαν. λέγουσι δὲ εἶναι τὴν αὐθάδειαν ἀπήνειαν ὁμιλίας ἐν λόγοις.

552. ὑφέξειν] ὑπέχει τὰ νῶτα ἡ θάλασσα τῷ Διονύσῳ, ἤγουν ὑποκείμενα ἔχει. καὶ ὑπέχει τις τινὶ δίκην, ἤγουν ὑποκείμενον ἑαυτὸν ἔχει εἰς δίκην. ὅπερ ἐνίοτε μὲν τετελεσμένην ἔχει τὴν σύνταξιν, οἷον, ὑπέχω σοι δίκην· ἐνίοτε δὲ ἀτελῆ, οἷον, ὑπέχω δίκην, ὅτε ἐξ ἀνάγκης ἡ δοτικὴ συνυπακούεται.

[555. ὡς χρεὶ ᾖ] χρεῖα καὶ χρήσιμα, ἤγουν χρήσιμον ᾖ πέμψαι. ἐκ τούτων σύγκειται καὶ τὸ χρή.]

558. πόσον χρόνον] τοσοῦτον χρόνον ποιῶ τόδε, ἀντὶ τοῦ ἐπὶ τοσοῦτον. καὶ (Εὐριπ. Ὀρ. 88.) "πόσον χρόνον δὲ δεμνίοις πέπτωχ' "ὅδε;" ἤγουν ἐπὶ τόσον χρόνον κεῖται ἐν τοῖς δεμνίοις; καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὅτι δὲ ἡ ἐπί πρόθεσις νοεῖται ἐπὶ τούτοις δῆλον ἀπὸ τοῦ πολλὰ τοιαῦτα ἐνίοτε λέγεσθαι μετὰ τῆς ἐπί, οἷον ἐπ' ὀλίγον, ἐφ' ἱκανὸν, ἐπὶ πολύ. ἐπὶ πολὺ εἱστήκει ἄφωνος, ἤγουν ἐπὶ πολὺ μέρος χρόνου, τουτέστι πολὺν χρόνον.

γίνετο τότε ἐν τῇ μαντικῇ;

563. ἦν σοφὸς ὁμοίως, ἤγουν ὥσπερ νῦν, καὶ ἐξ ἴσου τιμώμενος, ἤγουν καὶ ἦν τιμώμενος καθόσον τιμᾶται νῦν. τουτέστι καὶ ἦν σοφὸς οὕτως ὥσπερ νῦν καὶ ἐνομίζετο οὕτως ὥσπερ νῦν.

565. οὔκουν ἐμοῦ γ'] οὔκουν οὐδαμοῦ διεμνημόνευσεν ἐμοῦ ἑστῶτος πλησίον. 568. τάδε] ἤγουν τοῦτο ὃ λέγει περὶ ἐμοῦ νῦν.

570. τὸ σὸν δὲ] εἰ καὶ ἐκεῖνο μὴ οἶδας, ἀλλὰ τὸ σὸν οἶσθα· καὶ εἰ καλῶς φρονεῖς, λέγοις ἄν.

578. ἄρνησις οὐκ ἔνεστιν] δυνατὴ οὐκ ἔστιν ἐμοὶ ἡ ἄρνησις, ἤγουν οὐκ ἔστι μοι δυνατὸν ἀρνήσασθαι.

579. ἄρχεις δὲ κατὰ ταὐτὰ ἐκείνῃ, γῆς μέρος ἐπίσης αὐτῇ διοικῶν.

590. φέρω] ἀποφέρομαι, λαμβάνω.

598. τὸ γὰρ τυχεῖν] ἅπασα γὰρ ἐλπὶς τοῦ τυχεῖν, ὧν θέλουσι δηλονότι, ἐνταῦθα ἐστὶν αὐτοῖς, ἤγουν ἐν ἐμοί.

599. κεῖνα] ἤγουν τὸν φόβον, ὃν ἔχει ἡ βασιλεία.

604. πεύθου] ἐρώτα εἰ σαφῶς ἤγγειλά σοι τὸν δοθέντα χρησμόν.

606. κοινῇ τι βουλεύσαντα] ἤγουν κοινωνήσαντα βουλῆς τῷ μάντει. τερασκόπος ὁ τῶν τεράτων ἑρμηνεύς. ἐνταῦθα δὲ τερασκόπῳ ἁπλῶς ἀντὶ τοῦ μάντει.

608. γνώμῃ δ' ἀδήλῳ] ἐπὶ λογισμῷ ἀμφιβολίαν ἔχοντι.

610. χρηστοὺς] ἀντὶ τοῦ ἀγαθούς. τῷ χρηστῷ γὰρ κυρίως ἐναντίον ὁ φαῦλος. ἔστι δὲ χρηστὸς οὗ ἡ ὁμιλία ὠφέλειαν ἐμποιεῖ· φαῦλος δὲ οὗ ὁ βίος ἄτακτος καὶ ἀκόλαστος, ὡς καὶ ἄλλους βλάπτεσθαι ἀπὸ τῆς αὐτοῦ ὁμιλίας. τῷ ἀγαθῷ δὲ ἐναντίον ὁ κακός· τῷ καλῷ δὲ ὁ αἰσχρὸς καὶ ὁ δυσειδής.

618. εἰ καὶ ἐπιρρήματος ἔχει σημασίαν ἐνταῦθα τὸ ταχύς, ἐπεὶ μέντοι προφορὰν ὀνόματος ἔχει, τὸ τις οἰκείως ἔχει μεθ' ἑαυτοῦ.

620. τὰ τοῦδε] ἡ τούτου βουλὴ πεπραγμένη ἔσται, ἡ ἐμὴ δὲ ἐσφαλμένη, ἤγουν ἐπταισμένη.

622. ἔξω βαλεῖν] ἀντὶ τοῦ ἐκβαλεῖν, ἀπώσασθαι, ἐξόριστον ποιῆσαι.

624. ὅταν προδείξῃς] ὅταν ἀποδείξῃς, ὃ λέγεις δηλονότι, τότε τεθνήξομαι. εἶτα ἐπάγει σχετλιάζων· οἷόν ἐστι τὸ φθονεῖν.

638. τὸ μηδὲν ἄλγος] καὶ μὴ τὴν οὐδαμινὴν λύπην εἰς μέγα κομίσετε.

640. δυοῖν ἀποκρίνας] κρίνας ἀπὸ τῶν δύο κακῶν ἕν.

644. ὀναίμην] ἀπολαύσαιμι τοῦ ζῆν, ὠφελείας ἀπολαύσαιμι. ὀλοίμην, φθαρείην.

648. οἳ πάρεισί σοι] καὶ τούσδε τοῦ χοροῦ, οἳ παρόντες εἰσί σοι.

656. τὸν ἐναγῆ] τὸν σοὶ νομιζόμενον ἐναγῆ. ἀφανεῖ] ἀδήλῳ. βαλεῖν] ἐκβαλεῖν, ἀπώσασθαι.

663. ὅ τι πύματον] φθαρείην ὅπερ ἔσχατον, ἤγουν ἀπώλειαν ἥτις ἐσχάτη, τουτέστι φθαρείην ἐσχάτην ἀπώλειαν.

665. ἀλλά μοι] ἀλλά μου τοῦ δυστυχοῦς λυπεῖ τὴν ψυχὴν ἡ γῆ φθειρομένη. καὶ τάδε] λυπεῖ δηλονότι τὴν ψυχήν μου, λέγω, εἰ τοῖς κακοῖς τοῖς πάλαι, ἤγουν εἰ ταῖς προτέραις δυστυχίαις συναφθήσεται τὰ παρ' ὑμῶν κακὰ, ἤγουν αἱ παρ' ὑμῶν δυστυχίαι.

669. ἴτω] ἀπελθέτω, [ἔστω ἐλεύθερος,] ἀπολελύσθω.

671. τὸ γὰρ σὸν ἐλεεινὸν στόμα, ἀντὶ τοῦ τοὺς γὰρ ἐλέους ἀξίους σοὺς λόγους οἰκτείρω, οὐ τοὺς τοῦδε, λόγους δηλονότι. τὸ μὲν λόγους συνυπακούεται ἀπὸ κοινοῦ, οὐ μὴν καὶ τὸ ἐλεεινούς. στυγήσεται] μισηθήσεται.

673. στυγνὸς εἴκων] ἀηδῶς ἐνδιδούς. βαρύς] δύσκολος καὶ ἀγανάκτησιν ἔχων.

675. ἄλγισται] λυπηρόταταί εἰσι δικαίως ἑαυταῖς εἰς τὸ φέρειν.

677. ἀγνῶτος] ἀγνώμονος. ἴσος] δίκαιος.

681. δόκησις ἀγνὼς] ὑπόληψις ἄδηλος, οὐ γινωσκομένη.

684. ἀμφοῖν ἀπ' αὐτοῖν] ἀπ' ἀμφοτέρων αὐτῶν ἐκινήθησαν οἱ λόγοι;

685. ἄλις ἔμοιγ'] ἄλις φαίνεται, ἤγουν ἀρκούντως ἔχειν τὸ πρᾶγμα φαίνεται ἐμοὶ, ἔνθα ἔληξεν ἤγουν ἐπαύσατο ἡ φιλονεικία, αὐτοῦ, ἀντὶ τοῦ ἐκεῖ, μένειν. προπονουμένας] ἀντὶ τοῦ πονουμένης, τουτέστι κακουμένης.

692. πεφάνθαι] ἴσθι δὲ δεδεῖχθαι ἐμὲ παράφρονα, ἀτυχῆ ἐπὶ τὰ συνετὰ, εἰ παραλογίζομαί σε, ὅστε τὴν ἐμὴν φίλην γῆν ἐν πόνοις ἀμηχανοῦσαν εὐώδωσας.

ἐστήριξας, ἐν τῇ μνήμῃ δηλονότι, ὥσπερ ἄγαλμα.

700. σὲ γὰρ σέβω] ταῦτα διὰ μέσου. ἐρῶ ἕνεκα τοῦ Κρέοντος, οἷά μοι ἐπιβεβούλευκε. σὲ γὰρ, ὦ γύναι, τιμῶ ἐπὶ πλέον τῶνδε.

702. λέγ' εἰ σαφῶς] εἰ καθαρῶς καὶ οὐ βοηθῶν σαυτῷ τὴν φιλονεικίαν μέλλεις λέγειν.

706. τό γ' εἰς ἑαυτὸν] ὅσον κατὰ τὸ εἰς ἑαυτὸν ἧκον μέρος [ἤγουν κατὰ τὴν ἑαυτοῦ δύναμιν.—ὅσον κατὰ τὸ ἑαυτοῦ ἥκει μέρος,] ὁ μάντις πᾶσαν κακουργίαν λόγων ἀκρατῶς κινεῖ.

707. ἀφεὶς σεαυτὸν] ἀπολύσας τοὺς λογισμούς, οὓς ἔχεις εἰς ἐκεῖνα δηλονότι περὶ ὧν λέγεις.

709. βρότειον οὐδὲν] ὅτι οὐδὲν βροτειόν ἐστί σοι μαντικῆς ἐχόμενον τέχνης, ἤγουν ἁπτόμενον.

713. ὡς αὐτὸν ἥξει] ὅτι ἐλεύσεται μοῖρα θανεῖν αὐτὸν παρὰ παιδὸς ὅστις ἂν γένοιτο παρ' ἐμοῦ τε καὶ παρ' ἐκείνου.

716. ἐν διπλαῖς ἁμαξιτοῖς] ἐν συνάψει δύο πλατειῶν ὁδῶν ἁμαξηφόρων.

718. καὶ αὐτὸν ἔρριψεν ὁ Λάϊος εἰς ἄβατον ὄρος διὰ χειρῶν ἄλλων, τὰ σφυρὰ περόνῃ συνάψας. παιδὸς βλάστας εἰπὼν ἀποδίδωσι καί νιν, ἤγουν αὐτὸν, πρὸς τὸ σημαινόμενον. τὸ γὰρ παιδὸς βλάστας τὸν γεννηθέντα παῖδα δηλοῖ.

721. οὔτε Λάϊον] ἤνυσεν, ἀπὸ κοινοῦ, ἀντὶ τοῦ εἰς τέλος ἔδειξε παθόντα παρὰ τοῦ παιδὸς τὸ χαλεπὸν ὃ ἐφοβεῖτο, τουτέστι τὸ φονευθῆναι ὑπὸ τοῦ παιδός.

723. διαστέλλων λέγει φῆμαι μαντικαὶ, ἐπεὶ λέγεται φήμη καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως.

724. ἐντρέπου] ὧν ἐπιστρέφου σὺ μηδαμῶς. [ἐντρέπομαι, τὸ φροντίζω, γενικῇ συντάσσεται.] ὧν γὰρ ἂν θεὸς] ἤγουν ἃ γὰρ ἂν ὁ θεὸς ζητῇ, πρέποντα κρίνας ζητεῖσθαι, ῥᾳδίως, ἤγουν εὐκόλως, αὐτὸς δείξει.

726. οἷόν μ' ἀκούσαντ'] φεῦ· οἷον πλάνημα, ἤγουν οἵα φροντὶς καὶ στροφὴ ψυχῆς καὶ ἀνακίνησις φρενῶν, ἤγουν ταραχὴ λογισμῶν, ἔχει με, ὦ γύναι, ἀρτίως ἀκούσαντα.

731. ηὐδᾶτο] ἐλέγετο γὰρ ταῦτα, καὶ οὔπω ἔληξε.

732. πάθος] ἤγουν τὸ συμβεβηκὸς πρᾶγμα. ὥσπερ λέγεται λῆμμα καὶ δῶρον ἐπὶ τοῦ αὐτοῦ· ἀπὸ μὲν τοῦ διδόντος, δῶρον, ἀπὸ

οὔντος, λέγεται καὶ πάθος ἀπὸ τοῦ πάσχοντος. καὶ ἡ στρέβλωσις ὁμοίως, καὶ ἡ πληγὴ, καὶ ὅσα τοιαῦτα.

733. Φωκὶς μὲν καλεῖται ἡ γῆ· σχιστὴ δ' ὁδὸς ἄγει ἤγουν ἀποκαθιστᾷ εἰς ταυτὸ ἀπὸ Δελφῶν καὶ ἀπὸ Δαυλίας.

740. φύσιν] ἀναδρομήν. ἀκμὴν ἥβης] κατάστασιν ἡλικίας. ἥβη, ἡ ἀκμὴ τῆς ἡλικίας. ἐνταῦθα δὲ ἐπὶ τῆς ἁπλῶς ἡλικίας λαμβάνεται τοὔνομα.

742. χνοάζων] ἀνθῶν ἄρτι λευκοβαφὲς κάρα ἀντὶ τοῦ ἄρτι, λευκαινόμενος.

750. ἐχώρει βαιὸς] βαιὸς, ὁ μικρός· ἐνταῦθα δὲ ὡς ἐπίρρημα, ἀντὶ τοῦ μικροπρεπῶς, εὐτελῶς, ἤγουν μετ' ὀλίγων.

751. ἀρχηγέτης] ἀρχηγὸς τῆς τάξεως, βασιλεύς.

753. κῆρυξ] ἡγεμὼν ὁδοῦ, ὁ κοινῶς πρόβοδος. ἀπήνη δ' ἦγε μία] μία λέγει οὐχ ὅτι διὰ πλειόνων ἀπηνῶν ἦν δυνατὸν αὐτὸν φέρεσθαι, ἀλλὰ θέλει δηλοῦν ὁ λόγος ὅτι καὶ ἀπήνη ἦγεν αὐτὸν, καὶ αὕτη ἦν μόνη, ἥτις ἦγεν αὐτὸν, καὶ ἑτέρα οὐχ εἵπετο.

761. ἀγρους] ἐπὶ τοὺς ἀγρούς. ἡ ἐπί ἀπὸ κοινοῦ, καὶ ἐπὶ τὸ νέμειν πρόβατα. ποίμνια, αἱ ἀγέλαι τῶν προβάτων.

762. τοῦδ' ἄπορτος ἄστεος] ἔξω τῆς θέας τοῦδε τοῦ ἄστεος.

763. ἄξιος γὰρ ὅδ' ἀνὴρ] ἄξιος γὰρ δοῦλος ἦν ὅδ' ἀνὴρ ἀποφέρεσθαι καὶ μείζω χάριν τῆσδε.

766. πάρεστιν] ὡς παρόντα νόμιζε αὐτόν· οὕτως ἔχει εὐκόλως ἀφίξεσθαι.

771. ἐς τοσοῦτον] μέχρι τοσούτου, ἤγουν μέχρι τοῦ μὴ ἀξιωθῆναι ἀκοῦσαι τὸ ἐν ἐμοὶ βάρος. τῷ γὰρ ἂν] τίνι γὰρ ἂν ἄλλῳ ἀξίῳ μᾶλλον λέξαιμ' ἂν ἢ σοί.

775. Δωρὶς] Δωρὶς διάλεκτος ἡ τῶν Δωριέων· καὶ Δωρὶς γυνὴ ἡ ἀπὸ τοῦ γένους τῶν Δωριέων, ὥσπερ Ἑλληνὶς ἡ ἀπὸ τοῦ γένους τῶν Ἑλλήνων.

777. θαυμάσαι μὲν ἄξια] ἀξία μὲν θαυμάσαι αὐτὴν τινὰ, ἤγουν

16. πρόβοδος] Libri προευόδους, quod Brunckius in πρόοδος mutavit. Restitui πρόβοδος, de quo vocabulo v. Ducangium.

781. κἀγὼ ἀγανακτήσας κατὰ μὲν τὴν παροῦσαν τότε ἡμέραν σὺν βίᾳ κατέσχον ἐμαυτόν. τῇ ἐφεξῆς δὲ ἡμέρᾳ—

[βαρυνθεὶς ἐπὶ λύπης. βαρηθεὶς ἐπὶ σώματος, ὡς "βεβαρημένων "τῶν ὀφθαλμῶν μου."]

786. ἔκνιζε] κνίζειν τὸ ἐρωτικῶς λυπεῖν. ἐνταῦθα δὲ ἔκνιζεν ἁπλῶς ἀντὶ τοῦ ἐλύπει. πολὺ] κατὰ πολύ. ὄνομα ἀντὶ ἐπιρρήματος.

789. ἄτιμον] ἀνάξιον ἀποκρίσεως.

794. κἀγὼ 'πακούσας] κἀγὼ ἀκούσας ταῦτα τὴν Κορινθίαν γῆν κατὰ τὸ ἐπίλοιπον δι' ἄστρων μετρούμενος, ἤγουν μακρόθεν βλέπων, καὶ δι' ἄστρων συμβάλλων αὐτὴν, ἀπεδήμουν, ἐκεισε δηλονότι, ἔνθα μήποτε ὀψοίμην πληρούμενα ὀνείδη τῶν εἰς ἐμὲ δυσφήμων χρησμῶν, ἤγουν τὰ ἐμὰ ὀνείδη, ἃ προεδήλουν οἱ πρὸς ἐμὲ δύσφημοι χρησμοί.

803. ἐμβεβὼς] ἐμβεβηκώς.

808. παραστείχοντα] ἡ παρά ἀντὶ τοῦ πλησίον, ὥσπερ ἐν τῷ (Aj. 1274.) "ἑρκέων ποθ' ὑμᾶς οὗτος ἐγκεκλεισμένους," ἡ ἐν ἀντὶ τοῦ ἐντός.

809. διπλοῖς κέντροισι] ἤγουν μάστιξι. καθίκετό μου τῇ βακτηρίᾳ.

814. τούτῳ προσήκει] [προσήκει τῷ δεῖνι· καὶ προσήκοντες, οἱ συγγενεῖς.] εἰ συγγένειά τίς ἐστι προσήκουσα τῷ Λαΐῳ, ἤγουν εἰ ἐκεῖνος ἦν ὁ Λάϊος.

816. ἐχθροδαίμων] μισητὸς παρὰ τῶν θεῶν, ἐχθρὸς τοῖς θεοῖς.

817. ᾧ μὴ ἔξεστι] ᾧτινι οὐκ ἔστιν ἐκδεδομένον δέχεσθαί τινα, ἐμὲ δηλονότι, ἐν τοῖς δόμοις, οὔτε ἀπὸ τῶν ξένων.

822. ἆρ' ἔφυν κακὸς] τὸ ἔφυν καὶ τὸ οὐχί ἀπὸ κοινοῦ, ἤγουν ἆρα οὐχ ὑπάρχω κακός; ἆρα οὐχ ὑπάρχω ὅλος ἀκάθαρτος;

823. εἴ με χρὴ] ἐν τῷ προτέρῳ κώλῳ ἀποδίδοται ἡ σύνταξις πρὸς τὸ ἀπαρέμφατον, καὶ προφέρεται κατ' αἰτιατικήν· ἐν δὲ τῷ δευτέρῳ ἀποδίδοται πρὸς τὸ χρή, καὶ λέγεται κατὰ δοτικήν· ἤγουν εἰ χρὴ φυγεῖν ἐμὲ, καὶ εἰ χρὴ ἐμοὶ φυγόντι μήτε τοὺς ἐμοὺς ἰδεῖν, μήτε ἐμβατεύειν πατρίδος, ἀντὶ τοῦ ἐπιβαίνειν.

828. ἆρ' οὐκ ἀπ' ὠμοῦ] ἆρα οὐκ ἀπὸ σκληρᾶς τύχης ταῦτα ἐπ' ἐμοί τις κρίνων ἀνορθοίη ἂν λόγον, ἀντὶ τοῦ ἀποφαίνοιτο;

μοί ἐστιν ἡ ἐλπίς.
αὐτὸν, ἤγουν τὸν βο-
ουν τὸν Λάϊον· [ὡς τὸ,
ν εἰ ζῇ."]
ῶς κατὰ τὴν πρόρρησιν
τὸν Λάϊον. ὥστε μαν-
ς τοὺς λόγους τούτους,

χεραίνοντός ἐστι κατὰ
ς χρησμοὺς τῶν θεῶν.
καὶ λόγων καὶ ἔργων
ιτέστιν οὔτε κατὰ θεῶν
ποιοῦντι. εἶθε συνείη
πάντων εὐσεβῆ καθα-
ὶ ἔργων, νόμοι πρόκειν-
αἰθέρα γεννηθέντες τὴν
μόνος πατὴρ ὁ Ὄλυμ-
, οὐδὲ μήν ποτε λήθη
ιις θεοῦ ἐστὶν ἐν τού-

ίνησις αὐξάνει, ἐπαίρει
κνος δηλονότι, πολλῶν
φέροντα αὐτῷ, ἀναβι-
κεῖθεν εἰς δυστυχίαν,
ιι.
νου τοῦ Λαΐου.
τῆς δίκης, τὴν δίκην

post δυσχεραίνοντος, quod
codicibus Lips.



ῥημάτων, ἢ εἰ τῶν ἀψαύστων, ἤγουν τῶν θείων, ἀψεται ματαιοπόνων, ματαιάζων.

892. ἐν τοῖσδ'] ἤγουν τοιαῦτα πράττων ἀνὴρ ἀπὸ θυμοῦ κωλύσει βέλη, τὴν θείαν δίκην, ἢ τὰ κακὰ ὁρμήματα τῆς ψυχῆς, ὥστε ἀποσοβεῖν αὐτὰ τῆς ψυχῆς. τοιαῖδε πράξεις, αἱ ἀσεβεῖς, τὸ καταφρονεῖν τῶν θεῶν. τί δεῖ με χορεύειν] κατὰ τί πρέπει πανηγυρίζειν με τοῖς θεοῖς;

897. οὐκ ἔτι ἐπὶ τὸν ἄψαυστον καὶ θεῖον τῆς γῆς ἐλεύσομαι ὀμφαλὸν, ἤγουν τὴν Πυθίαν. σέβων] ἀντὶ τοῦ ἐπὶ τιμῇ.

901. τάδε] τὰ τῶν χρησμῶν. χειρόδεικτα] φανερῶς διὰ τῶν χειρῶν δεικνύμενα. ἁρμόσει] ἀποβήσεται. ὄρθ'] ὀρθῶς, ἀσφαλῶς.

906. φθίνοντα] φθειρόμενοι γὰρ οἱ παλαιοὶ χρησμοὶ, οἱ δοθέντες τῷ Λαΐῳ, ἀφανίζονται ἤδη, καὶ ἐν οὐδενὶ φαίνεται ὁ Ἀπόλλων τιμώμενος.

913. ἐπιθυμιάματα] ἀντὶ τοῦ θυμιάματα· ὡς ἐπιβουκόλος ἀνήρ. (Ὀδ. γ', 422.)

914. ὑψοῦ γὰρ αἴρει] αἴρει θυμὸν οὐκ ὀργῇ, ἀλλὰ λύπῃ.

916. τὰ καινὰ τοῖς πάλαι] τοὺς νέους χρησμοὺς τεκμαίρεται, ἤγουν συμβάλλει διὰ τῶν πάλαι, ἤγουν πρὸ μακροῦ, χρησμῶν.

920. κατεύγμασιν] τοῖς κινοῦσιν εἰς κατάνευσιν τῶν εὐχῶν, ἤγουν τοῖς θυμιάμασι καὶ ἀναθήμασι.

931. ἄξιος γὰρ εἶ] τοῦ εἶναι ὄλβιος.

937. ἀσχάλλοις] ἀλγοίης δ' ἄν.

939. οὐπιχώριοι] οἱ ἐπιχώριοι. στήσουσι] καταστήσουσι, τάξουσι.

942. οὐ δῆτ'] οὐδαμῶς. οὐκ ἔστι.

943. ἦ τέθνηκε] ἆρα καὶ ἢ ἀντὶ τοῦ ὄντως.

947. πάλαι τρέμων] ἐκ μακροῦ φοβούμενος· τοῦτον τὸν ἄνδρα φοβούμενος ὁ Οἰδίπους ἐκ μακροῦ ἵνα μὴ κτάνῃ, ἔφευγεν, ἤγουν ἀπεδήμει, ἐξόριστος ἐγένετο.

950. ὦ φιλτάτη γυνὴ Ἰοκάστη, τί με μετεκαλέσω, μετεπέμψω δεῦρο ἐκ τῶνδε δωμάτων;

953. τὰ σέμν'] εἰρωνικῶς, ἀντὶ τοῦ τὰ μάτην τιμώμενα.

συμπαρεκτεινόμενος.

965. τὴν Πυθόμαντιν] τὴν τῆς μαντικῆς Πυθοῦς ἑστίαν.

969. ἄψαυστος] μὴ ἁψάμενος. ἄψαυστος, ὁ μὴ δυνάμενος ψαύεσθαι. ἐνταῦθα δὲ ἄψαυστος ὁ μὴ ἁψάμενος, ἐπὶ ἐνεργείας.

971. ἄλλως δὲ τοὺς ἐνταῦθα διδομένους χρησμοὺς μεθ' ἑαυτοῦ λαβὼν ὁ Πόλυβος ἀξίους οὐδενὸς κεῖται παρὰ τῷ Ἀιδῃ, ἤγουν ἐν τῷ Ἀιδῃ.

974. τῷ φόβῳ παρηγόμην] ὑπὸ τοῦ φόβου ἠπατώμην.

975. μηκέτι νῦν μηδὲν ἀπ' αὐτῶν βάλῃς εἰς θυμὸν, ἤγουν εἰς τὸν λογισμόν.

976. καὶ κατὰ τίνα τρόπον ἐστὶ πρέπον οὐ φοβεῖσθαί με τὴν μετὰ τῆς μητρὸς συνάφειαν;

977. τὰ τῆς τύχης] τὰ τῆς εὐτυχίας, ἤγουν ἡ εὐτυχία. πρόνοια σαφὴς] πρόγνωσις ἀληθής.

983. παρ' οὐδὲν] ἐν οὐδενὸς μοίρᾳ εὐκολώτατα τὴν ζωὴν διαβιβάζει.

993. ἆρα δυνατὸν ῥηθῆναι, ἢ οὐ πρέπει ἄλλον γινώσκειν;

997. πατρῷον αἷμα] διὰ τῶν ἐμῶν χειρῶν ἐξελεῖν, ἐκχέαι· ἤγουν φονεῦσαι τὸν πατέρα.

1000. κεῖθεν] ἀπὸ τῆς Κορίνθου. πατρός τε] καὶ ταῦτα φοβούμενος, καὶ θέλων μὴ φονεὺς εἶναι τοῦ πατρός.

1004. χάριν] χάρις, ἡ εὐχαριστία, καὶ ἡ δωρεά.

1005. τοῦτ'] διὰ τοῦτο, ἢ εἰς τοῦτο. εὖ πράξαιμι] καλῶς πάθοιμι.

1007. εἰμὶ ὁμοῦ] ἀντὶ τοῦ, συναναστραφήσομαι τοῖς γεννήσασι.

1010. εἰ διὰ τὰς αἰτίας ταύτας, ἃς προέτεινας, φεύγεις εἰς οἴκους μολεῖν.

1011. μή μοι Φοῖβος] ἤγουν μὴ οἱ χρησμοὶ τοῦ Φοίβου τελεσθῶσιν ἀληθεῖς.

1015. γεννητῶν] γεννητόρων. οὐδὲν ἐν γένει] ὅτι οὐδὲν ἦν σοι ἐν γένει ὁ Πόλυβος. οὐδαμῶς ἦν σοι κατά τι ἐν γένει.

1018. οὐ μᾶλλον οὐδὲν] οὐδαμῶς, κατ' ἐπίτασιν τῆς ἀρνήσεως. τοῦδ' ἀνδρὸς] ἐμοῦ.

1019. καὶ πῶς ὁ γεννήσας ἔφυσεν ἐξ ἴσου τῷ μηδὲ κατά τι προσήκοντι;

ἐλάβες; λαμβάνει τις τί παρά τινος, ἤγουν δέχεται. καὶ λαμβάνει, ὅταν αὐτὸς δι' ἑαυτοῦ λαμβάνῃ μὴ διδόντος ἑτέρου.

1033. τί τοῦτ'] τί ἐστι τοῦτο τὸ παλαιὸν κακὸν, ὃ λέγεις; ὅμοιον τῷ "Τίνας ποθ' ἕδρας τάσδε μοι θοάζετε;" διατόρους] διεληλαμένας, διαπεπερονημένας.

1035. ὄνειδος] τὸ αἶσχος· ὥσπερ ἔγκλημα, τὸ ἁμάρτημα. ἀκολουθεῖ γὰρ ὥσπερ τῷ ἁμαρτήματι τὸ ἐγκαλεῖσθαι, οὕτω τῷ αἴσχει τὸ ὀνειδίζεσθαι.

1036. ἐκ τούτου τοῦ συμβεβηκότος ὀνομάζῃ ὃς εἶ, ἤγουν Οἰδίπους.

1037. πρὸς μητρὸς ἢ πατρὸς] ἔπαθον τοῦτο, τὸ διατρηθῆναι τὰ ἄρθρα; 1038. ταῦτ'] εἴτε ἐκ πατρὸς, ἢ μητρὸς ἔπαθες.

1039. τυχὼν] ἐντυχὼν, εὑρών.

1041. λόγῳ φησὶν, ἐπεὶ γίνεται δήλωσις καὶ διὰ δείξεως.

1042. τῶν Λαΐου] οἰκετῶν δηλονότι.

1044. βοτὴρ] οὐχ ὡς βοτὴρ λέγεται τούτου, ἀλλ' ὡς οἰκέτης ἐνεργῶν ταύτην αὐτῷ τὴν ἐνέργειαν, τὴν τοῦ νέμειν δηλονότι. ἐπὶ γὰρ ἐκείνων, ὧν νέμει τις, λέγεται βοτὴρ, οἷον βοτὴρ προβάτων, ἢ βοῶν, ἢ τοιούτων τινῶν.

1052. ὃν κἀμάτευες] ὃν καὶ πρότερον ἐζήτεις ἰδεῖν.

1053. ἡ δ' ἂν] ἥδε δὲ ἡ Ἰοκάστη λέγοι ἂν μάλιστα τάδε.

1056. ἐντραπῇς] μηδαμῶς ἐπιστραφῇς, ἤγουν φροντίσῃς. μάτην] ματαίως, ἀκαίρως.

1061. ἄλις νοσοῦσ' ἔχω] ἄλις ἔχω νοσῶν, καὶ ἄλις ἔχω τῆς νόσου. καὶ ἀμφότερα ἐν χρήσει.

1062. οὐδ' ἂν ἐκ τρίτης] οὐδ' ἂν φανῶ, ἤγουν δειχθῶ, ἐκ τρίτης μητρὸς, ἤγουν ἐκ προμάμμης. καθ' ὁμαλισμὸν ἀναγινώσκειν δεῖ ἐνταῦθα τὸ ἄν.

1064. ὅπως ἂν ἔχῃ τὸ πρᾶγμα, πείσθητί μοι, δέομαι μὴ πράττειν τόδε, ἤγουν τὸ ζητεῖν ἃ ζητεῖς.

1065. μὴ οὐ τάδ' ἐκμαθεῖν] ὥστε μὴ ἰδεῖν τάδε καθαρῶς.

1073. ἀγρίας] ἀνημέρου, ἀκατασχέτου, ἀκαταπονήτου.

1080. νέμων] ἔχων, κρίνων. τῆς γὰρ πέφυκα μητρός] ταύτης τῆς τύχης ὑπάρχω υἱός. οἱ δὲ συγγενεῖς] τῆς τύχης δηλονότι.

σε, ἡμᾶς δηλονότι, καὶ ὁμοδίαιτον τοῦ Οἰδίποδος, καὶ τροφὸν, καὶ μητέρα, καὶ τιμᾶσθαι παρ' ἡμῶν, ὡς ἐπέραστα φέροντα τοῖς ἐμοῖς βασιλεῦσιν. ἐπίηρα] ἐπέραστα. ἐράσμιον γὰρ ἦν τῷ Οἰδίποδι γνῶναι τὸ ἑαυτοῦ γένος. πατριώταν] πατριῶται οἱ ἐν τῇ αὐτῇ πατρίδι στρεφόμενοι.

1099. τῶν μακραιώνων] ἀειζώων θεαινῶν, ἤγουν Νυμφῶν.

1100. Πανὸς] ἆρα Πανὸς θυγάτηρ τις, ἀπὸ κοινοῦ, ὀρεσικοίτῃ προσπελασθεῖσα, ἢ Λοξίου θυγάτηρ τις προσπελασθεῖσα σέ γε, ἔτεκε δηλονότι.

1103. πλάκες ἀγρονόμοι] τόποι ἔνθα νέμεται τὰ ἄγρια.

1110. εἰ πρέπει με μηδαμῶς ξυντυχόντα τὸν γηραιὸν ἀκριβοῦσθαι, ὁρᾶν νομίζω τὸν νομέα, ὃν ἐκ μακροῦ ζητοῦμεν. ἐν γὰρ τῷ πολυχρονίῳ γήρᾳ συμφωνεῖ τῷ λόγῳ, τῷδε τἀνδρὶ, τῷ Κορινθίῳ, σύμμετρος, ἐν ἴσῳ μέτρῳ ἡλικίας, ὧν δηλονότι.

1114. τοὺς ἄγοντας] αὐτὸν δηλονότι, ὥσπερ οἰκέτας ὁρῶ ἐμαυτοῦ· ὁρῶ ὅτι εἰσὶν οἱ ἐμοὶ οἰκέται. τῇ δ' ἐπιστήμῃ] τῇ ἀκριβεῖ γνώσει, τῇ καταλήψει.

1118. ὡς νομεὺς ἀνὴρ] καθὰ προσήκει ἀνδρὶ νομεῖ.

1121. δεῦρό μοι φώνει βλέπων] πρὸς ἐμὲ βλέπων φώνει μοι, ἤγουν λέγε μοι.

1125. τὰ πλεῖστα] κατὰ τὰ πλεῖστα μέρη τῆς ζωῆς μου ποίμναις ἠκολούθουν.

1126. ξέναυλος] τόποις παρὰ τίσι αὐλιζόμενος.

1127. ἦν μὲν Κιθαιρὼν, ἔνθα ηὐλιζόμην, ἦν δὲ πλησιόχωρος τῷ Κιθαιρῶνι τόπος.

1128. οἶσθα τῇδέ που μαθὼν] ἆρα γινώσκεις, ἐκεῖ που ἰδών;

1130. ἢ συναλλάξας] ἢ οἶδας, ἀπὸ κοινοῦ, συντυχὼν κατά τι.

1131. οὐκ οἶδα οὕτως ὥστε μνησθῆναι καὶ εἰπεῖν ταχέως.

1133. ἀγνῶτ'] ἐπιλαθόμενον. κάτοιδεν] οἶδεν, ὀπηνίκα κατὰ τὸν Κιθαιρῶνα σὺν διπλοῖς ποιμνίοις ἐπλησίαζεν ἐμοί. τὸ δὲ ἐγὼ δ' ἐνί διὰ μέσου.

1137. ἐξ ἧρος] ἐκ τοῦ τέλους τοῦ ἔαρος εἰς τὴν ἑῴαν ἐπιτολήν

35. ἐκ τοῦ τέλους—] Hoc scholion est in A.

1141. ἐκ μακροῦ χρόνου] ταυτόν ἐστιν ἐκ μακροῦ χρόνου καὶ διὰ μακροῦ χρόνου· ἡ μὲν γὰρ ἐκ δηλοῖ τὴν ἀπὸ τῆς ἀρχῆς κίνησιν τοῦ μακροῦ χρόνου, ἡ δὲ διά τὴν ἐν τῷ μέσῳ κίνησιν τοῦ ἐπὶ πολὺ παρατεινομένου χρόνου. ἔστι δὲ ταυτὸν μακρόθεν εἰπεῖν ἄρξασθαι καὶ ἀρξάμενον διάστημα πολὺ διελθεῖν.

1143. ἐμαυτῷ θρέμμα] ἵνα ἀναθρεψαίμην ἐγὼ, αὐτὸν δηλονότι, θρέμμα ἐμαυτῷ, ἤγουν δι' ἐμαυτὸν, ὡς ἐσόμενον ἐμαυτοῦ.

1144. πρὸς τί] ἐπὶ ποίῳ σκοπῷ τοῦτο ἐρωτᾷς;

1146. οὐκ εἰς ὄλεθρον] οὐκ εἰς φθορὰν, ἄπει δηλονότι;

1147. ἆ] ἐπιφώνημα ἐφεκτικόν. κόλαζε] ἐπίπληττε. τὰ σὰ] οἱ σοὶ λόγοι.

1151. ἄλλως πονεῖ] μάτην, ἔξω τοῦ προσήκοντος κοπιᾷ.

1152. πρὸς χάριν] μετὰ εὐχαριστίας.

1153. μὴ δῆτα] δέομαι πρὸς τῶν θεῶν ἵνα μή με αἰκίσῃς τὸν γέροντα. ἀποστρέψει] εἰς τοὐπίσω στρέψει.

1155. τί προσχρῄζων] ἕνεκα τίνος προστάττεις ἀποστρέφειν τὰς χεῖρας ἐμοῦ; τί ἐπὶ τούτοις θέλων μαθεῖν;

1157. ὤφελον] πρέπον δ' ἦν ὀλέσθαι με, τουτέστιν ἔπρεπον δὲ ὀλέσθαι.

1158. εἰς τόδ'] εἰς τὸ ὀλέσθαι, μὴ λέγων ὅπερ ἐστὶ δίκαιον λέγειν σε.

1163. οὐκ ἔγωγε] οὐδαμῶς. ὥσπερ τὸ μάλιστα ἐν τοῖς κατ' ἐρώτησιν λόγοις ἀπαντᾷ παρὰ τοῖς Ἀττικοῖς, ἀντὶ τοῦ ναί, οὕτω καὶ τὸ ἔγωγε· καὶ τὸ οὐκ ἔγωγε ἀντὶ τοῦ οὐδαμῶς, ὡς ἐνταῦθα. ἐμὸν μὲν οὐκ ἔγωγε] ἤγουν ἐμὸν μὲν οὐδαμῶς ὄντα ἔδωκα. ἐδεξάμην δέ του] ἀντὶ τοῦ παρά τινος.

1166. ὄλωλας] ὃ δῆθεν ἀπαραιτήτως ποιήσει, τοῦτο δὴ ὡς ἤδη γεγονὸς ἐπάγει. φυσικὸς δὲ ὁ λόγος οὗτος, τὸ τὰ ἀπαραιτήτως γενησόμενα καὶ ὁμολογουμένην ἔχοντα τὴν ἀπόβασιν λέγειν ὡς ἤδη γεγονότα· οἷον, τέθνηκα εἰ ποιήσω τόδε, ἤγουν οὕτω νομίζω ἀπαραιτήτως τεθνήξεσθαι ὥστε καὶ ὡς γεγονὸς τοῦτο ἤδη ἀποφαίνομαι. εἴ σε ταῦτ'] εἰ ἔτι δεήσομαι ἐρέσθαι σε ταῦτα.

[1170. ἀκουστέον] ἐνεργητικὸν, ἐπίρρημα· παθητικὸν κλίνεται.]

1230. ἑκόντα] ὅτι ἑκόντες, ὁ μὲν Οἰδίπους ἐτύφλωσεν ἑαυτὸν, ἡ δ' Ἰοκάστη ἀπήγξατο. τῶν δὲ πημονῶν] ἤγουν ἀπὸ τῶν βλαβῶν ἐκεῖναι μάλιστα λυποῦσιν, αἳ ἂν φανῶσιν [αὐθόρμητοι] ἑκούσιαι.

1233. πρὸς δ'] τί ἕτερον λέγεις;

1235. θεῖον κάρα] περιφραστικῶς ἀντὶ τοῦ ἡ θεία Ἰοκάστη.

1238. ἄλγιστ'] τὰ πάνυ ἀλγεινὰ, ἤγουν ἡ πρᾶξις τοῦ θανάτου ἄπεστιν, ἤγουν οὐκ ἔχομεν διηγεῖσθαι αὐτήν. ἡ γὰρ θέα οὐ παρῆν, ἤγουν οὐ γὰρ ἐθεασάμεθα.

1241. ὅπως γὰρ] ὡς γὰρ παρῆλθεν, ἤγουν παρεγένετο ἔσω τοῦ θυρῶνος, ὀργῇ, ἀντὶ τοῦ λύπῃ, χρωμένη. [θυρὼν, ὁ περιέχων τόπος τὰς θύρας.] ἴετ' εὐθὺ] ὥρμα κατ' ὀρθὸν, ἤγουν πρὸς τὴν κοίτην ἔνθα μετὰ τοῦ ἀνδρὸς ἔκειτο.

1243. ἀμφιδεξίοις] ἀμφοῖν χεροῖν.

1245. κάλει] ἐκάλει τὸν Λάϊον, τὸν πρὸ μακροῦ ἤδη νεκρόν.

1247. τίκτουσαν δύστεκνον παιδουργίαν] ἀντὶ τοῦ παῖδας δύσπαιδας.

1249. γοᾶτο] ἐκώκυε. [ποιὰ λέξις.]

1251. ἐκ τῶνδ'] μετὰ ταῦτα. εἰσέπαισεν] εἰσῆλθεν. ὑφ' οὗ] ἀφελκομένους ἡμᾶς δηλονότι.

1254. περιπολοῦντ'] περιστρεφόμενον.

1255. φοιτᾷ] ἀντὶ τοῦ ἐφοίτα, ἤγουν ἐμμανῶς περιεστρέφετο, ἔγχος ἐξαιτῶν πορεῖν ἡμᾶς, ἤγουν παρασχεῖν.

1257. κίχοι] εὕροι μητρικὴν ἄρουραν διπλῆν ἑαυτοῦ καὶ τῶν τέκνων. ὅτι ἐξ ἐκείνης ἐσπάρη, καὶ εἰς ἐκείνην ἔσπειρεν.

1258. δείκνυσι] ἀντὶ τοῦ ἔδειξεν, ὅπου ἦν ἡ γυνὴ δηλονότι.

1261. ἐνήλατ'] λὰξ ἐπέθετο. 1262. ἔκλινε] ἀνέτρεψε. κλῆθρα] τὰ εἰς ἀσφάλειαν τῶν θυρῶν. κἀμπίπτει] ἀντὶ τοῦ ἐνέπεσε τῇ στέγῃ, ἤγουν μετὰ σφοδρᾶς ὁρμῆς ἦλθεν εἰς τὸν οἶκον.

1264. ἐώραις] δεδεμένην, ἐγκεκλωσμένην κρεμάθραις. ἐώρα διὰ τοῦ ε ψιλοῦ, ὅθεν καὶ μετέωρον. [κρεμάθρα, δι' οὗ κρεμᾷ τίς τι.]

1265. βρυχηθεὶς] ἀντὶ τοῦ βρυχησάμενος, ἀπὸ τῆς φωνῆς τῶν λεόντων, ἀντὶ τοῦ ἀνοιμώξας.

1266. χαλᾷ] ἐχάλασε, κατεβίβασε τὴν μετέωρον κρεμάθραν.

1268. ἀποσπάσας] ἀφελόμενος ἀπ' αὐτῆς τὰς ἐκ χρυσοῦ ἠλασ-

ὀφθαλμῶν, ἔνθα ἁρμόζεται τὰ βλέφαρα, τουτέστι τὰς κόρας.

1271. ὅθ' οὕνεκ'] ἀντὶ τοῦ ὅτι, ἐκ παραλλήλου. οὐκ ὄψοιντό νιν] οὐκ ὄψονται αὐτὸν οὔτε οἷα ἔπασχεν, οὔτε ὁποῖα ἔδρα. ὅμοιον τῷ· (Ἰλ. δ'. 350.) "ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων." 1273. ἀλλ' ἐν σκότῳ] οἱ γὰρ τυφλοὶ πρὸς ἃ μὲν ἀπελθεῖν βούλονται οὐ κατορθοῦνται, πρὸς ἃ δ' οὐ βούλονται ἀγνοοῦντες πορεύονται. ὀψοίατο, γνωσοίατο] ὄψοιντο, γνώσοιντο. ἀντὶ τοῦ θεάσονται, γνώσονται.

1276. φοίνιαι δ' ὁμοῦ] ἅμα δὲ τῷ παίειν αἱ αἱματηραὶ τῶν ὀμμάτων κόραι ἔβρεχον τὰ γένεια.

1278. φόνου] αἵματος. ἐτέγγετο] ἐχεῖτο.

1280. ἐκ δυοῖν ἐρράγη, οὐκ ἐκ μόνου τοῦ Οἰδίποδος, ἀλλὰ συμμιγῆ ἀνδρὸς καὶ γυναικός.

1282. παλαιὸς] ὁ πολυχρόνιος δὲ ὄλβος ὁ πρότερον.

1287. διοίγειν κλῆθρα] ἀνοίγειν τὰ κατέχοντα καὶ ἀσφαλίζοντα τὰς πύλας. ἀπὸ τούτου δὲ δηλοῖ τὰς πύλας.

1289. τὸν μητρὸς] ἔμελλε λέγειν τὸν μητρὸς μιάστορα· σιγᾷ δὲ τοῦτο διὰ τὸ αἰσχρὸν, καὶ φησὶν ἀνόσιον, ἄρρητον εἶναι. οὐδὲ ῥητά μοι] οὐ πρέποντα λέγεσθαι ὑπ' ἐμοῦ.

1292. ῥώμης] βοηθείας. μεῖζον ἢ φέρειν] βαρὺ πλέον ἢ ὥστε δύνασθαι φέρειν τινά.

1294. δείξει] δεδειξεται καὶ σοὶ ὁποῖόν ἐστι τὸ νόσημα.

1300. τίς ὁ πηδήσας] τίς ἀπὸ τῶν δαιμόνων ὁ κατορθώσας μείζονα τῶν μηκίστων ἐπὶ τῇ σῇ δυστυχεῖ μοίρᾳ;

1310. φοράδην] φερομένη. δαῖμον] ὦ τύχη, ποῖ προέβης;

1312. ἐς δεινὸν] εἰς χαλεπὸν, προέβη δηλονότι, οὐ προσιτὸν εἰς ἀκοὴν, οὐδὲ προσιτὸν εἰς θέαν.

1313. σκότου νέφος] νέφος τοῦ ἐμοῦ σκότου, ἤγουν τῆς ἐμῆς τυφλώσεως, ἐπερχόμενον ἄρρητον, ἄμετρον, καὶ ἀκαταπόνητον, καὶ δυσπερίληπτον.

1322. ἔτι μόνιμος] ἔτι παραμένων μοι. κηδεύων] θεραπεύων.

1326. καί περ ὅμως ἐκ παραλλήλου.

20. τοῦτο om. A.

ἐμὰς ὄψεις.

1336. ἦν ταῦθ'] ἔστι ταῦτα. ὁ παρατατικὸς ἀντὶ ἐνεστῶτος.

1347. δείλαιε τοῦ νοῦ] ἄθλιε κατ' ἴσον ἕνεκα τοῦ νοῦ, ἤγουν τοῦ σκοποῦ τῆς ἐπινοίας καὶ ἕνεκα τῆς συμφορᾶς. ἤγουν ἕνεκα ὧν σοι συνέβη, καὶ ἕνεκα ὧν ἐπενοήσω.

1359. ὧν ἔφυν ἄπο] οὔτε ὑπὸ τῶν ἀνθρώπων ἐκλήθην ἂν νυμφίος τῆς γυναικὸς ἀφ' ἧς ἐγεννήθην, ἤγουν τῆς μητρός.

1368. κρείσσων γὰρ ἦσθα] προτιμότερον ἂν ἦν τὸ μηδαμῶς εἶναί σε, ἢ ζῆν σε τυφλὸν ὄντα.

1373. οἷν ἐμοὶ δυοῖν] πρὸς οὓς ἀμφοτέρους ἔργα ἐστὶν ὑπ' ἐμοῦ πεποιημένα κρείσσονα ἀγχόνης, ἀντὶ τοῦ μείζονος κακοῦ ἄξια ἡ ἀγχόνης, πνιγμονῆς.

1375. ἐφίμερος] ἀξία ἐπιθυμεῖσθαι. βλαστοῦσ'] εἰς φῶς φανεῖσα, ὅπως ἐφάνη.

1377. οὐ δῆτα] οὐδαμῶς ἐφίμερος ἦν ἂν ἡ θέα τοῖς ἐμοῖς ὀφθαλμοῖς.

1380. τραφεὶς] διατρίψας.

1382. ἐκ θεῶν] ἐκ τῆς μερίδος τῶν θεῶν. καὶ γένους] καὶ ἀπὸ τῆς μερίδος τοῦ γένους τοῦ Λαΐου.

1384. κηλῖδα] οὕτως ἐγὼ τὸν ἐμὸν μολυσμὸν προκηρύξας.

1386. ἀλλ' εἰ τῆς] ἀλλ' εἰ ἐπὶ τούτοις ἦν φραγμὸς διὰ τῶν ὤτων τῆς ἀκουούσης πηγῆς, ἤγουν τῆς ἀκουστικῆς δυνάμεως.

1394. τὰ πάτρια λόγῳ] ἃ πρὸ πολλοῦ ἐνομίζετο πατρῷα ἐμά.

1396. ὕπουλον] κεκρυμμένον. κακὸς κἀκ κακῶν] ἀκάθαρτος καὶ ἐξ ἀκαθάρτων.

1398. νάπη] κοιλότης ὄρους. δρυμὸς] ἄλσος, σύνδενδρος τόπος. στενωπὸς] στενὴ ὁδός.

1400. αἳ τοὐμὸν] ἤγουν αἳ ὁδοί, ἐπίετε ἀπὸ τῶν ἐμῶν χειρῶν τὸ αἷμα τοῦ ἐμοῦ πατρός.

1405. ἀνεῖτε] ἀνεδώκατε. ταυτὸν σπέρμα] οἱ αὐτοὶ γὰρ ἦσαν αὐτῷ οἱ ἀπὸ τῆς μητρὸς αὐτῷ γεγονότες παῖδες.

1406. αἷμ' ἐμφύλιον] γένος ἀναπεφυρμένον γένει. οὐ μόνον γὰρ πατὴρ ὁ πατὴρ ἐνταῦθα, ἀλλὰ καὶ ἀδελφός· καὶ οὐ μόνον οἱ παῖδες

ἐκρίψατ'] ἐκβάλλοντες ῥίψατε εἰς τὴν θάλασσαν.

1416. ἐς δέον] εἰς τὸ ἁρμόζον τοῦ χρόνου, τουτέστιν εἰς καιρὸν, ἤγουν ἐγκαίρως.

1420. ἔνδικος] εὐπρόσωπος, δικαία.

1424. τὰ θνητῶν γένεθλα] τὰ τῶν ἀνθρώπων τέκνα, τουτέστι τοὺς ἀνθρώπους.

1427. ἀκάλυπτον οὕτω] φλαύρως οὕτως καὶ ἀνακεκαλυμμένως.

1428. προσδέξεται] ἤγουν ἀνέξεται προσδέξεσθαι.

1430. τοῖς ἐν γένει] τοῖς προσήκουσι γὰρ κατὰ γένος μόνοις διάκειται τὸ πρᾶγμα, τὰ τῶν προσηκόντων κατὰ γένος κακὰ εὐσεβῶς μάλιστα ὁρᾶν καὶ ἀκούειν.

1432. ἐλπίδος] ἐπεὶ τῆς προσδοκίας με ἀπέστησας, ἀπήγαγες.

1434. πρὸς σοῦ] τὸ γὰρ ὂν πρὸς σοῦ ἐρῶ, οὐ τὸ ὂν πρὸς ἐμοῦ. ἤγουν σὸν γὰρ ἐρῶ πρᾶγμα, τουτέστι τῆς δυνάμεως τῆς σῆς· οὐκ ἐμὸν, ἤγουν οὐ τῆς δυνάμεως τῆς ἐμῆς.

1437. προσήγορος] ὥσπερ βολὴ λέγεται μὲν καὶ ἡ ἄφεσις τοῦ βέλους, λέγεται δὲ καὶ τὸ τραῦμα τὸ ἀπὸ τοῦ βέλους, οὕτω καὶ προσήγορος λέγεται μὲν καὶ ὁ προσαγορευόμενος, καθὸ λέγεται ἐνταῦθα· λέγεται δὲ καὶ προσήγορος λόγος, ὃν προσαγορεύων λέγει τις πρὸς ἕτερον, ἤγουν ἡ πρόσρησις καὶ προσαγόρευσις, καθὸ λέγεται· (1337.) τί δῆτ' ἐμοὶ βλεπτὸν, ἢ στερκτὸν, ἢ προσήγορον ἔτ' ἀκούειν ἡδονῇ, φίλοι;

1439. ἐκμαθεῖν] μαθεῖν ἐκ τοῦ θεοῦ τί ἐστιν ἄξιον πράττειν.

1440. πᾶσα φάτις] πᾶσα ἡ γνώμη, ὁ σκοπὸς πᾶς τῶν ἐκείνου χρησμῶν, λέγω ἀπολλύναι, ἤγουν φθείρειν, ἐμὲ τὸν ἀσεβῆ, τὸν τοῦ πατρὸς φονέα.

1442. ἵν' ἔσταμεν χρείας] ἐνταῦθα ὅπου τῆς χρείας ἐσμὲν, ἤγουν ἐν ταύτῃ τῇ χρείᾳ ἐν ᾗ ἐσμέν.

1444. πεύσεσθ' ὕπερ] ὑπὲρ ἀνδρὸς οὕτως ἀθλίου ἐρωτήσετε;

1446. ἐπισκήπτω] ἐνόρκως ἐντέλλομαι. προτρέψομαι] αἰτήσομαι. θοῦ] ποίησον.

1449. ἀξιωθήτω] ἐμοῦ δὲ ζῶντος μήποτε ἄξιον κριθήτω τοδε τὸ πατρῷον ἄστυ οἰκήτορος τυχεῖν.

θνήσκων γὰρ ἂν, ἦγουν, εἰ ἔθνησκον γάρ, οὐ μήποτε ἂν ἐφυλάχθην ἐπί τινι τοιούτῳ δεινῷ κακῷ.

1463. αἶν οὔποθ'] τὸ πᾶν τοιοῦτον. ὧν χωρὶς οὔποτε ἐστάθη ἐμοῦ τοῦ ἀνδρὸς βορᾶς, ἦγουν τροφῆς, τράπεζα. ἦγουν χωρὶς τούτων οὔποτε ἐστάθη μοι τροφῆς τράπεζα. τὸ χωρὶς καὶ τὸ ἄνευ ἐκ παραλλήλου.

1466. μέλεσθαι] ἦγουν μέλειν. τοῦτο δὲ ἀντὶ τοῦ, θέλησον μέλειν σοι, φροντίδα εἶναί σοι.

1468. ἴθ' ὦναξ] ἄγε, ὦ ἄναξ. ποίησον δηλονότι ὃ αἰτῶ.

1476. ὁ πορσύνας] ὁ παρασχών.

1478. τῆσδε τῆς ὁδοῦ] καί σε ἕνεκα ταύτης τῆς ὁδοῦ, ἧς ἔπεμψας δηλονότι τὰς κόρας.

1482. αἱ τοῦ φυτουργοῦ] αἱ χεῖρες τοῦ πατρὸς τοῦ φύσαντος ὑμᾶς οὕτως ὁρᾶν, ἦγουν τυφλώττειν, προὐξένησαν τὰ πρότερον λαμπρὰ ὄμματα. προὐξένησαν] εἰργάσαντο, αἴτιοι ἐγένοντο.

1484. ὃς ὑμῖν] ὃς ὑμῶν πατὴρ ἐφάνθην, ὦ τέκνα, ὅθεν αὐτὸς ἐσπάρην, οὔτε ὁρῶν οὔτε ἱστορῶν.

1488. χρεὼν] χρέος ἐστὶν, ἦγουν ἀνάγκη.

1489. ποίας γὰρ ἀστῶν] εἰς ποίας γὰρ ἀστῶν ὁμιλίας ἥξετε, εἰς ποίας ἑορτὰς, ὅθεν οὐκ ἐπανήξετε πρὸς τὸν οἶκον κεκλαυμέναι ἀντὶ τῆς ἀπὸ τῆς θεωρίας τέρψεως;

1492. ἀκμὰς] καιρόν. τίς παραρρίψει] τίς λαμβάνων ὑμᾶς εἰς γυναῖκας, ὦ τέκνα, παρόψεται τοιαῦτα ὀνείδη, ἃ τοῖς γονεῦσιν ὑμῶν καὶ ὑμῖν ὁμοῦ ἔσται δηλήματα, ἦγουν βλάβαι, ἀτιμίαι;

1497. ἤροσεν] τῇ τεκούσῃ ἐμίγη, ἀφ' ἧς αὐτὸς ἐγεννήθη.

1500. τοιαῦτ'] τοιούτους ὀνειδισμοὺς ὀνειδιεῖσθε. τίς γαμεῖ] τίς εἰς γάμον λήψεται; χέρσους] παρθένους.

1506. ἐγγενεῖς] προσηκούσας σοι κατὰ γένος.

1508. τηλικάσδ'] τοσαύτας τὴν ἡλικίαν, ἦγουν μικράς. ὅσον τὸ σὸν μέρος] ὅσον ἥκει εἰς τὸ σὸν μέρος.

1510. ξύννευσον] ἀντὶ τοῦ κατανεύσας ψαῦσον, αὐτῶν δηλονότι, τῇ σῇ χειρί.

1512. τὸ εὔχεσθε παθητικῶς κεῖται, ἤτοι εὐχῆς τυγχάνετε ἀπ' ἐμοῦ.

ἐπιτηδεία ὥρα τοῦ ποιῆσαί τι.]

1517. ἐφ᾽ οἷς οὖν εἰμι] ἤγουν ἐφ᾽ οἷς ἔχω τὴν ἐμαυτοῦ διάνοιαν.

1522. ἕλῃ] ἀφέλῃ, ἀπ᾽ ἐμοῦ λάβῃς.

1523. ξυνέσπετο] συνήνεγκε, συμφέροντα ἦν.

1525. ᾗδη] ἀντὶ τοῦ ἔγνω.

1526. ὅστις οὐ ζήλῳ] ὅστις, κράτιστος ἦν δηλονότι, οὐκ ἐπὶ εὐδαιμονίᾳ πολιτῶν καὶ εὐτυχίαις θαρρῶν, ἀλλ᾽ ἐπὶ τῇ, ἑαυτοῦ δηλονότι, ἀρετῇ.

1. παθητικῶς] παθητικὸν A. ἀπ᾽ A. Legebatur ὑπ᾽.

7. Στέργειν] ὑπομένειν τὰ δυστυχῆ.

75. ὡς νῦν μὴ σφαλῇς] πῶς νῦν οὐ μὴ σφαλήσῃ.

97. πτερόν] ἢ οἰωνὸς, ἢ πτέρωσις τῆς ἐμῆς διανοίας.

99. ἀντέκυρσ'] ἐνέτυχον.

101. ἀσκέπαρνον] ἄξεστον.

139. τὸ φατιζόμενον] τὸ φραζόμενον, τὸ παροιμιῶδες.

148. σμικροῖς] αἰτήμασι.

153. ἀλλ' οὐ μὰν] ἀλλ' οὐκ ἂν ἐγὼ, φησὶν, αἰτιατέος εἴην, ὡς μὴ προμηνύσας σοι μὴ εἰσελθεῖν εἰς τόδε τὸ ἱερόν.

164. πολλὰ κέλευθος] πολλά ἐστι τὰ κωλύοντά σοι προσμένειν, καὶ ἵστασθαι ἐν τῷ ἄλσει.

168. ἵνα πᾶσι νόμος] ἐν τοῖς βατοῖς γενόμενος φώνει.

362. στροφὴν] διαγωγήν.

381. ἢ πρὸς οὐρανὸν βιβῶν] εἰ μηδέτερον αὐτῷ προχωρήσει, καὶ πρὸς οὐρανὸν ἀνυψῶσαι τὴν ἔριν.

489. ἄπυστα] ἡσύχως δηλονότι.

495. ὁδωτὰ] ἀνυστὰ, εὐωδωμένα.

505. τοὐκεῖθεν] κατὰ τὸ ἐκεῖθεν τοῦ ἄλσους.

515. πρὸς ξενίας] γράφεται μὴ προξενίας τὰς σάς.

555. σκευὴ] στολή.

558. προστροπὴν] βοήθειαν, ὠφέλειαν.

574. διέρχεται] γράφεται διοίχεται.

655. ὀκνοῦντ' ἀνάγκη] διδάσκειν δηλονότι.

786. ἄνατος] γράφεται ἄναιτος, ἤτοι ἀναίτιος, ἀζήμιος.

794. στόμωσιν] δεινότητα.

799. ζῷμεν] ἀντὶ τοῦ ζῴημεν.

864. αἵδε δαίμονες] αἱ δαίμονες τῆσδε τῆς γῆς μὴ θεῖέν με ἄφωνον ἀρᾶς, ἤγουν εἰς τὸ μὴ καταράσασθαί σοι.

1. Glossemata hæc ad Œdipum Coloneum primus edidit Brunckius sumta ex codice Parisino A.

1048. λαμπασιν ακταις] Ἐλευσινι. διὰ τας ἐν μυστηριοις λαμπάδας.

1052. κλῃς] ἐπεὶ ἄρρητα τὰ μυστήρια καὶ καθάπερ κλεισὶ κατείληπται.

1059. ἦ που] ὁ νοῦς· ἆρ' ἐπὶ τὸν ἕσπερον χῶρον τῆς λείας πέτρας προσπελάζουσιν; 1061. Οἰάτιδος] Οἴη δῆμος Ἀττικῆς.

1076. τάχ' ἂν δώσειν] τάχα, φησὶν, ἐνδώσει ὁ Κρέων τὴν τὰ πολλὰ δεινὰ τλᾶσαν παρθένον, ὅ ἐστι τὴν Ἀντιγόνην.

1094. στέργω] προσίεμαι. ἔστι δὲ ἴσον τῷ προσκαλοῦμαι.

1160. τῷ θακήματι] τῇ ἱκετείᾳ.

1171. ὁ προστάτης] ὁ ἱκέτης, ὁ προστατῶν τῶν ναῶν.

1172. ψέξαιμι] καταφρονήσαιμι.

1199. οὐ βίαια τἀνθυμήματα] οὐκ ἀπόκρυφα τὰ παραδείγματα.

1200. ὀμμάτων τητώμενος] περὶ τῆς πηρώσεως λέγει. τῆς δὲ ἄγαν ὀργῆς αὐτὸν ἀποτρέπειν βούλεται. τίνειν] ἀμύνασθαι.

1207. κρατείτω] ὥστε ἀπὸ τῶν ἐνταῦθά με μεταστῆσαι.

1248. νυχιᾶν] ἤτοι ἀρκτῴων· ἢ τῶν κατὰ τὸ μεσονύκτιον. ἀνάλογα γὰρ ἄμφω. ἴσως διὰ τὰ Ῥιπαῖα ὄρη, βόρεια ὄντα περὶ τὴν Σαρματίαν.

1277. δυσπρόσοιστον] ἤτοι δυσπρόσιτον.

1407. μή τοί με] τὸ ἑξῆς· μὴ ἀτιμάσητέ με, πρὸς θεῶν, ἐὰν αἱ ἀραὶ τελεσθῶσι τοῦ πατρὸς καί τις ὑμῖν ἐς δόμους νόστος γένηται.

1422. πρεσβεύοντ' ἐμὲ] πρεσβύτερον ὄντα.

1427. τίς δὲ τολμήσει] τίς τῶν Ἀργείων τολμήσει ἀκολουθῆσαί σοι τὰς ἀρὰς ἀκούσας; πρὸς ὃ Πολυνείκης φησὶν ὅτι οὐκ ἀγγελοῦμεν αὐτοῖς τὰς ἀράς.

1460. ἄξεται] κομίσει.

1481. ἀφεγγὲς] ἄρρητον, δεινόν.

1608. οὐδ' ἀνίεσαν] οὐδ' ἔπαυον.

1621. λύγδην] μετὰ λυγμοῦ, ἤτοι κωκυμάτων.

1659. ἐξέπραξεν] διεπράξατο, ἀνεῖλε.

1678. ὡς μάλιστ' ἂν εἰ πόθῳ λάβοις] ὡς ἂν ἐπιποθήσαις τὸν τρόπον τῆς τελευτῆς μαθεῖν. τί γάρ;] πρὸς τὸ οὐκ ἔστι μὲν εἰκάσαι ἀπήντησεν.

10. Τοὺς φίλους] Πολυνείκην.

20. καλχαίνουσα] κρύπτουσα.

30. εἰσορῶσι πρὸς χάριν βορᾶς] ἤγουν τίς αὐτοῖς βορὰν χαρίσεται. ἢ τὸ πρὸς χάριν ἀντὶ τοῦ πρὸς ἡδονήν.

39. τί προσθείμην πλέον;] ὥσπερ εἰ λέγοι, μηδὲν προσθείμην.

41. εἰ ξυμπονήσεις] ἐμοὶ δηλονότι.

42. ποῖόν τι κινδύνευμα] ξυμπονήσω σοι;

43. ξὺν τῇδε] τῇ ἐμῇ. κουφιεῖς] βαστάσεις καὶ θάψεις.

47. ὦ σχετλία] νοεῖς θάπτειν, Κρέοντος ἀντειπόντος, ἤτοι ἀπηγορευκότος;

51. πρὸς αὐτοφώρων] ἐμφανεστάτων. καὶ ἃ ἐφώρασεν αὐτὸς καὶ εἰς ἃ ἐφωράθη.

53. διπλοῦν πάθος] ἤγουν φόνος πατρὸς, ἓν πάθος· τὴν δὲ μητέρα πεπνίχθαι, ἕτερον. γράφεται καὶ διπλοῦν ἔπος, ὅτι ἡ μήτηρ αὐτοῦ μήτηρ καὶ γυνὴ ἦν.

56. αὐτοκτενοῦντε] αὐτοὶ ἑαυτοὺς φονεύειν σπεύδοντες. ἡ γὰρ κατ᾽ ἀλλήλων ὁρμὴ καθ᾽ ἑαυτῶν ἦν. τῆς γὰρ αὐτῆς φύσεως ἦσαν, ἀδελφοὶ τυγχάνοντες.

59. νόμου] τοῦ περὶ τῆς ταφῆς ὄντος, ἢ τοῦ ὀφειλομένου παρὰ τῶν οἰκείων πρὸς τοὺς συγγενεῖς γενέσθαι.

60. παρέξιμεν] παρεξέλθωμεν καὶ ἀθετήσομεν.

66. τάδε] ἤτοι τὸ μὴ θάπτειν.

67. τοῖς ἐν τέλει βεβῶσι] ἤγουν τοῖς βασιλεῦσι. τέλος γὰρ τιμῶν ἡ βασιλεία, μεθ᾽ ἣν οὐκ ἔστι περαιτέρω χωρῆσαι. ἰστέον δὲ ὅτι πάντες οἱ λογοποιοὶ τοὺς ἐν τέλει βαίνοντας λέγουσι τοὺς περὶ τὸν βασιλέα.

68. περισσὰ] τολμηρὰ καὶ ὑπὲρ δύναμιν.

78. οὐκ ἄτιμα] τὰ τῶν θεῶν.

79. βίᾳ] ἀνάγκῃ, ἢ ἀκουσιότητι τῶν πολιτῶν.

κοντι] δυσκατέργαστος τῷ ἐκ τῶν δράκοντος ὀδόντων πεφυκότι Καδμείῳ λαῷ.

134. ἀντίτυπα] ἐναντίως. τανταλωθεὶς] κολασθεὶς, ἐκ μεταφορᾶς τοῦ κολαζομένου Ταντάλου.

139. ἐπενώμα στυφελίζων] ἐπέφερε ταράσσων.

143. τροπαίῳ] τῷ τροπὴν αὐτῶν ποιήσαντι Διΐ. ἡμεῖς γὰρ σκυλεύσαντες αὐτοὺς ἀνεθήκαμεν αὐτῷ τὰ ὅπλα αὐτῶν.

154. ἄρχοι] ἀρχέτω τῆς ἡμῶν χορείας.

158. ἐρέσσων] ἀναλογιζόμενος, στρέφων. λέσχην] βουλήν.

164. πομποῖσιν] κήρυξιν. ἔστειλα] μετεκαλεσάμην.

170. ὅτ' οὖν] ἐπεί.

190. ὀρθῆς] εὐτυχοῦς καὶ σωζομένης.

196. ἐφαγνίσαι] ἐπὶ τῷ τάφῳ ὁσίως ποιῆσαι.

198. λέγω] τοῦτο τὸ λέγω πρὸς τὸ ἐκκεκηρύχθαι συναπτέον.

208. προέξουσ' οἱ κακοὶ τῶν ἐνδίκων] ἔξουσι πρὸ τῶν δικαίων. ἐνταῦθα γὰρ τὴν πρό σύναπτε.

218. ἄλλο] οἱ μεγαλογραφοῦντες τὸ ἄλλο μεγάλως ἀγνοοῦντες ληρεῖν παρ' ἄλλων ἀκούουσιν.

221. ὁ μισθὸς] ὁ μισθὸς τῆς ἀπειθείας, τὸ θανεῖν. ὑπ' ἐλπίδων] ἐλπίζουσι γὰρ ὡς ἴσως ἂν λάθοιεν. διώλεσεν] φωραθέντων τῶν πανούργων.

223. ὅπως] ὅτι. δύσπνους] ἀσθμαίνων.

230. ἀλγυνῇ] λυπηθήσῃ τιμωρηθείς. ἑλίσσων] κατὰ νοῦν στρέφων.

233. ἐνίκησεν] ἄριστον ἐφάνη.

234. τὸ μηδὲν] ὅπερ αὐτὸς οὐκ ἀποδέχῃ.

247. κἀφαγιστεύσας] ἐπ' ἐκεῖνον καθοσιώσας.

251. ἐπημαξευμένη] τετριμμένη.

253. ὅπως] ἐπεί. ὁ πρῶτος] ὃν κατ' ἀρχὰς προὐβαλόμεθα φυλάσσειν.

262. εἰς ἣν ἕκαστος] ἐν ταῖς τῶν ἄλλων ὑπονοίαις.

275. τἀγαθὸν] κατ' εἰρωνείαν.

30. ἐπ' T. περὶ Aug.

285. ἐκρυπτόν] ἐν ταφῷ. ἀμφικιόνας] τοὺς ἐν κύκλῳ κίονας περιειλημμένους.

287. νόμους] τοὺς περὶ τὰς θυσίας ὕμνους. διασκεδῶν] συγχύσων.

292. λόφον] τὸν τράχηλον. στέργειν ἐμὲ] ὑπομένειν ἐμέ, ἤγουν ἃ ἐγὼ θεσπίζω.

297. ἐξανίστησιν] ὑπὸ τῶν δυνατωτέρων ἐξελαυνομένους. ἢ ἐξάγει εἰς ἐμπορίας.

317. ἐν τοῖσιν ὠσὶν] ἐπιπολαίως λυπῇ, ἢ εἰς βάθος;

319. σ' ἀνιᾷ τὰς φρένας] μέρος καὶ ὅλον.

324. κόμψευε] σεμνολόγει γνωματεύων.

326. τὰ δειλὰ] τὰ κακὰ καὶ ἀπρεπῆ.

332. δεινὰ] σοφὰ καὶ πανοῦργα. δεινότερον] σοφώτερον.

336. περιβρυχίοισι] περισσῶς ἢ κύκλῳ ἠχοῦσι.

341. ἱππείῳ γένει] οὐ γὰρ μόνον βουσὶν, ἀλλὰ καὶ ἵπποις ἐν ἑτέροις τόποις ἀροῦσιν, ὥσπερ καὶ ἀλοῦσιν. πολεῦον] στρέφον, βωλοκοποῦν.

343. κουφονόων] κούφως καὶ ταχέως φερομένων.

348. περιφραδὴς] σοφὸς καὶ περίνους.

354. φθέγμα] τὴν ῥητορικήν. ἠνεμόεν φρόνημα] τὴν φιλοσοφίαν, τὴν, ἀέρος δίκην, τοῖς πολλοῖς ἀκατάληπτον. ἀστυνόμους ὀργὰς] τὰς ἐν τῇ πόλει τῶν νόμων δίκας. ἐδιδάξατο] ἐφεῦρεν. χρῶνται δὲ οἱ ῥήτορες αὐτῷ ἀντὶ τοῦ εἰς διδασκάλου ἔπεμψε.

357. δυσαύλων] εἰς οὓς δυσκόλως αὐλίζεταί τις. πάγων] χαλάζης, χιόνος, ὑετοῦ, πάχνης. τὸ δὲ αἴθρια ἀντὶ τοῦ ἐκτὸς οἴκου.

359. παντοπόρος] παμμήχανος. ἐπ' οὐδὲν τὸ μέλλον] ἃ γὰρ ὕστερον βλάψει αὐτὸν προασφαλίζεται.

364. συμπέφρασται] κατενόησε καὶ ἐφεῦρε.

368. παρείρων] ὁ φυλάττων τοὺς ἐν τῇ γῇ ὄντας νόμους καὶ τὴν θείαν δίκην σεβόμενος. ἔνορκον δὲ λέγει τὴν δίκην ἣν εἰς ὅρκον πάντες προβαλλόμεθα.

372. τόλμας] ἀναιδείας καὶ κακογνωμοσύνης.

374. παρέστιος] σύνοικος. ἴσον φρονῶν] ὅμοιον ἐμοί. ὁμοδίαιτος. τἀδ' ἔρδει] τὰ περὶ τῆς ταφῆς.

389. ψεύδει] ψευδοποιεῖ ἡ ἐπελθοῦσα διάνοια τὴν πρόσθεν γνώμην.

390. σχολῇ] οὐδαμῶς.

391. τότε] ὅτε τὴν ταφὴν ἐμήνυον.

392. ἐκτὸς καὶ παρ' ἐλπίδας] τὸ ἐκτός καὶ τὸ παρά ἐκ παραλλήλου.

430. εὐκροτήτου] σφυρηλάτου.

431. τρισπόνδοισι] μέλιτι, γάλακτι, οἴνῳ.

436. ἡδέως ἔμοιγε] ὡμολόγει δηλονότι.

454. ἄγραπτα] τὰ τετυπωμένα καὶ νενομοθετημένα. παρ' ὅσον οἱ περὶ τῆς ταφῆς τῶν νεκρῶν νόμοι ἄγραφοί εἰσιν.

485. ἀνατεὶ] χωρὶς βλάβης.

487. τοῦ παντὸς ἡμῖν] ἦγουν καὶ πάσης ἡμῖν συγγενείας, ἧς συνοχεύς ἐστι Ζεύς. ἢ γνησιωτέρας τοῦ Ζηνὸς, ὄντος πάντα ἡμῖν.

509. ὑπίλλουσι] συγκλείουσι.

514. δυσσεβῆ χάριν] δι' ὧν Πολυνείκην θάπτεις.

515. οὐ μαρτυρήσει ταῦθ'] ὅτι δυσσεβὲς ἡγεῖται τὸ θάπτειν με Πολυνείκην.

535. ἐξομῇ] ἀπαρνήσῃ μεθ' ὅρκου.

545. ἁγνίσαι] καθοσιῶσαι καὶ τιμῆσαι.

546. κοινὰ] ἐπιρρηματικῶς, ἀντὶ τοῦ κοινῶς.

548. λελειμμένῃ] στερηθείσῃ.

549. κηδεμὼν] φροντιστής. τὰ γὰρ αὐτοῦ θεσπίσματα περὶ πλείονος τῆς πρὸς τὸν ἀδελφὸν πεποίηκας τιμῆς.

552. ἀλλὰ νῦν] εἰ καὶ μὴ πρώην.

554. ἀμπλάκω τοῦ σοῦ μόρου] ἁμαρτήσω τοῦ σὺν σοὶ θανεῖν.

558. ἡ ξαμαρτία] ἡ ἀποτυχία τῆς ταφῆς. ὥσπερ γὰρ ἐγὼ ταύτην οὐκ ἔπραξα, οὕτω καὶ σὺ ποιήσασα ταύτην καὶ γνωσθεῖσα, οὐδὲν πλέον ἐποίησας.

563. ὃς ἂν βλάστῃ] ὃς ἐκ γεννήσεως ἐστί.

565. ξὺν κακοῖς] ἤτοι τῇ ἀδελφῇ.

567. ἀλλ' ἥδε] ἀλλὰ μέντοι μὴ λέγε τὸ ἥδε.

570. ἡρμοσμένα] ἁρμόδια καὶ προσήκοντα.

571. οὐ βούλομαι κακαῖς γυναιξὶ τοὺς παῖδας ἁρμόζειν.

589. ὑφαλόν] τὸ ὑποκάτω τῆς ἁλός.

605. ὑπερβασία] ὑπερφρόνησις.

606. αἱρεῖ] κατισχύει. ἀκάματοι μῆνες] οὐδὲ αἱροῦσι ἀκατάπαυστοι θεῶν μῆνες, ἤγουν οὐδ' ὑπὸ χρόνου κυριεύεται.

608. ἀγήρῳ] ἀϊδίῳ, διηνεκεῖ. γράφεται καὶ ἀγήρως πρὸς τὸ δυνάστας, ἤγουν δεσπότης οὐχ ὑπὸ χρόνου γηράσκων.

610. μαρμαρόεσσαν] φαεινοτάτην.

612. ἐπαρκέσει] λάμβανε τὴν ἐπί ἀπὸ τοῦ ἐπαρκέσει ἐνταῦθα, ἤγουν ἐπί τε τὸ ἔπειτα καὶ ἐπὶ τὸ μέλλον.

614. πάμπολις] πάγκοσμος.

615. πολύπλαγκτος] ἡ πολλοὺς πλανῶσα.

618. εἰδότι δ' οὐδὲν] οὐδεὶς οἶδεν ἃ αὐτὸν καταλήψεται, πρὶν βλάβῃ καὶ πάθει λυπηρῷ πόδα τις ἐμβάλῃ, προσαρμόσῃ.

620. ἔκ του] ἐκ τινὸς τῶν παλαιῶν σοφῶν. πέφανται] ἐφάνη, ἐξηνέχθη.

635. σός εἰμι] ἤγουν τῷ σῷ θελήματι ὑπείκω. καὶ σὺ τὰ βέλτιστα ἐμοὶ καὶ λυσιτελοῦντα διανοούμενος ἀπευθύνεις.

639. ναὶ καλῶς λέγεις· οὕτω γὰρ—

640. πάντ' ὄπισθεν ἑστάναι] ἤγουν κατὰ πάντα τῇ τοῦ πατρὸς ἀκολουθεῖν γνώμῃ. ἐπεὶ δὲ ὁ ἀκολουθῶν ὄπισθεν ἵσταται, ὄπισθεν ἑστάναι τῆς πατρῴας γνώμης εἶπεν.

644. ἐξ ἴσου πατρὶ] ὥσπερ ὁ πατὴρ τιμᾷ τὸν φίλον. ἢ ὥσπερ τὸν πατέρα τιμῶσι.

645. ἀνωφέλητα] μὴ παρέχοντα αὐτῷ ὠφέλειαν.

646. πόνους] λύπας.

657. ψευδῆ] ἐκήρυξα γὰρ τὸν ἁλόντα θάπτειν τεθνήξεσθαι.

658. ἐφυμνείτω] ἐπιβοάτω, προβαλλέσθω· ξύναιμον] τὸν ἔφορον τῆς συγγενείας.

660. κάρτα τοὺς] λίαν ἀκόσμους θρέψω τοὺς ἔξω γένους.

662. χρηστὸς] ἤγουν τὰ δίκαια ποιῶν.

666. στήσειε] ἄρχοντα ἑαυτῇ.

668. τοῦτον τὸν ἄνδρα] τὸν κλύοντα τοῦ ὑπὸ τῆς πόλεως σταθέντος ἄρχοντος.

677. τοῖς κοσμουμένοις] τοῖς κοσμίως ἀρχομένοις.

687. χἀτέρῳ] οὐ μόνον ἐμοί. καλῶς ἔχον] τοῦτο, τὸ μὴ τοῖς πατράσιν ἀνταίρειν.

690. δεινὸν] φοβερόν. λόγοις] ἐν λόγοις.

692. ὑπὸ σκότου] κρύφα, κεκρυμμένως.

699. χρυσῆς] λαμπρᾶς, ὑπερβολικῆς.

700. ἐρεμνὴ] κεκρυμμένη. ἐπέρχεται] παρὰ τῶν πολιτῶν.

703. θάλλοντος] εὐτυχοῦντος. ἤ τι πρὸς παίδων πατρί] ἤγουν οὐδὲ ὁ πατὴρ μείζονα ἄλλην χάριν παρὰ τῶν παίδων δέχεται, ἢ εὐτυχοῦντας τούτους ὁρῶν.

715. πόδα] τὸ τοῦ ἱστίου σχοινίον. ὑπείκει] ὑποχαλᾷ, ἐνδίδωσι τῇ φορᾷ τοῦ πνεύματος. τὸ ὑπτίοις λέγει, ἐπειδὴ οἱ τὰς κώπας ἐλαύνοντες πρηνεῖς νεύοντες ἐλαύνουσιν· ἀνατραπείσης οὖν τῆς νεὼς ἐξαίφνης ὕπτιοι γίγνονται.

718. εἶκε] ὑποχάλα.

721. φῦναι] ἐκ φύσεως εἶναι.

726. τηλικοῖδε] οἱ γέροντες. τηλικοῦδε] νέου.

728. μηδὲν] διδάχθητι τὸ μὴ δίκαιον.

739. καλῶς] κατ' εἰρωνείαν.

742. διὰ δίκης ἰὼν] δικολογήσας, ἤγουν δικαζόμενος, καὶ λόγοις ἐναντιούμενος.

744. τὰς ἐμὰς ἀρχὰς σέβων] ἤγουν τῆς ἐμῆς βασιλείας ὑπερμαχῶν, οὐκ ἐῶν αὐτὴν καταφρονεῖσθαι.

745. πατῶν] παραβαίνων. οὐκ ἔστι τοιοῦτον. οὐ γὰρ σέβεις τὰς σὰς ἀρχάς, τοὺς θείους παραβαίνων νόμους. δεῖ γὰρ τὴν ἀρχὴν ἔννομον εἶναι καὶ μὴ κατὰ θεῶν φέρεσθαι.

746. ὕστερον] ἔλαττον.

751. ὀλεῖ τινα] ἤγουν ἐμέ.

756. δούλευμα] ἀνδράποδον. μὴ κώτιλλέ με] μὴ ἀπάτα με, λέγων ὑπὲρ αὐτῆς ἐμοὶ δυσχεραίνειν τὴν πόλιν.

758. ἄληθες ;] κατ' εἰρωνείαν. τόνδ' Ὄλυμπον] λείπει μά.

814. ἐπινυμφίδιος] ὁ πρέπων ἐπὶ τοὺς νυμφίους ᾄδεσθαι. νυμφεύσω] νυμφευθήσομαι.

827. καί νιν ὄμβρῳ] τουτέστι, λιθωθεῖσα ὄμβρῳ καὶ χιόνι χειμάζεται.

832. δειράδας] τὰς τοῦ ὄρους ἐξοχάς.

834. θεογεννὴς] Τάνταλος γὰρ ὁ ταύτης πατὴρ ἐκ Διός.

840. ὀλομέναν] ἀποθανοῦσαν. ἐπίφαντον] ὁρωμένην καὶ ζῶσαν.

857. ἔψαυσας] ἐμνημόνευες.

859. τριπόλιστον] πολυθρύλλητον καὶ πάνδημον δυστυχίαν, ἣν πᾶς ἐλεεῖ.

871. ἔτ᾽ οὖσαν κατήναρες] ζῶσαν ἐφόνευσας. διὰ γὰρ τὴν σὴν ταφὴν ζῶσα κατορύττομαι.

872. σέβειν] τοὺς θανόντας. κράτος] τὸ τοῦ κρατοῦντος θέσπισμα.

875. ὀργὰ] ἀντὶ τῆς ὁρμῆς.

877. ταλαίφρων] ἀθλία. ἑτοίμαν] πρόχειρον.

892. αἰείφρουρος] ἐν ᾗ ἀεὶ διάξω φρουρουμένη.

903. περιστέλλουσα] ἐνταφιάζουσα. ἄρνυμαι] λαμβάνω.

923. αὐδᾶν] ἐπικαλεῖσθαι.

924. δυσσέβειαν ἐκτησάμην] τουτέστιν, εὐσεβῆ πράξασα ἔργα ἀσεβὴς ἔδοξα.

929. ἀνέμων] ἤγουν τῆς πρὶν ὑπεροψίας καὶ τύφου. ῥιπαὶ] ὁρμαὶ, κινήσεις. τὸ ἀνέμων πρὸς τὸ ψυχῆς σύναπτε, ἵν᾽ ᾖ, ἔτι αὐτῇ αἱ αὐταὶ κινήσεις τῶν ἀνέμων καὶ τῆς ὑπεροψίας τῆς ψυχῆς εἰσίν.

933. θανάτου ἐγγυτάτω ἀφῖκται] θάνατον ἀπειλεῖ.

935. οὐδὲν παραμυθοῦμαι] αὐτὴν δηλονότι. ἤγουν, παρηγορίαν οὔτινα δίδωμι αὐτῇ, μὴ τὰ κεκυρωμένα γενέσθαι.

972. εἶδεν] ἐπειδὴ ὁ Σαλμυδησσὸς ποταμὸς εἰς τὰς Βοσπορίους ἀκτὰς εἰσβάλλει, διὰ τοῦτο πρὸς αὐτὸν τὴν σύνταξιν ἀπέδωκε, τὸ εἶδεν.

974. ἀλαστόροισιν] δέον εἰπεῖν ἀλαστόρως, ἀλαστόροις εἶπε πρὸς τὸ κύκλοις. αἱματηραῖς χείρεσσι] ἀντὶ τοῦ, χερσὶ ξίφη ἐχούσαις αἱματηρά.

982. ἄντασ᾽] ὑπῆρξε.

993. ἀπεστάτουν] ἐχωριζόμην. ἀλλ' ὅπερ ἔλεγες, ἡδέως ἐδεχόμην, ὥστε καὶ νῦν πείσομαί σοι.

996. βεβὼς ἐπὶ ξυροῦ τύχης] ἤγουν εἰς κίνδυνον καθιστάμενος.

997. τὸ σὸν φρίσσω στόμα] φοβοῦμαι μή τι καθ' ἡμῶν λέξῃς.

999. ὀρνιθοσκόπον] ἐφ' οὗ καθήμενος σκοπῶ τοὺς ὄρνιθας.

1002. οἴστρῳ] μανίᾳ. βεβαρβαρωμένῳ] ἀτάκτῳ.

1003. σπῶντας] σπαράττοντας ἀλλήλους φονικοῖς ὄνυξι.

1004. ῥοῖβδος οὐκ ἄσημος] ἦχος οὐχ ἥσυχος, ἀλλὰ σφοδρὸς καὶ ψοφώδης.

1005. ἐμπύρων ἐγευόμην] θυμάτων ἡπτόμην.

1006. παμφλέκτοισιν] ἐν οἷς πάντα θύματα φλέγεται.

1008. κηκὶς] ὑγρὰ καὶ λιπώδης ἀνάδοσις. ἐτήκετο] κατέρρει. κἄτυφε] χωρὶς ἀνάψεως ἐκαίετο. κἀνέπτυε] ἤγουν ἐξέπιπτε τῶν μηρῶν ἡ κεκαλυμμένη πιμελή.

1010. διεσπείροντο] ἀτάκτως εἰς ἀέρα ἐφέροντο. ἐξέκειντο] ἐγυμνοῦντο.

1013. ἀσήμων] κακοσήμων, ἢ ἀφ' ὧν οὐχ οἷόν τ' ἦν σημειώσασθαι.

1016. ἐσχάραι] τόποι ὅπου τὰ θύματα καίονται.

1017. βορᾶς] σπαράξεως εἰς βοράν.

1049. τοῦτο πάγκοινον] τὸ τίς. ἐπειδὴ γὰρ ἀορίστως ἐλέχθη, ἕκαστος ἑαυτὸν ὑποπτεύει εἶναι.

1053. ἀντειπεῖν κακῶς] ἐξ ἐναντίας κακολογήσειν.

1063. ἐμπολήσων] κερδήσων, ἤγουν καταπείσων καὶ πρὸς τὸ σὸν θέλημα ἄξων.

1065. τροχοὺς] περιόδους. ἀμιλλητῆρας] ὥσπερ ἐξ ἁμίλλης περιϊόντας. λέγει δὲ τὰς ἡμέρας καὶ νύκτας. περιστρέφοντος γὰρ τοῦ οὐρανοῦ τὸν ἥλιον ἀεὶ ἡμέρα καὶ νὺξ γίγνεται.

1068. ἀνθ' ὧν] διότι. τῶν ἄνω] ἀπὸ τῶν ἄνω.

1107. μηδ' ἐπ' ἄλλοισι τρέπου] ἤγουν μὴ μεταβουλεύου.

1150. Ναξίαις] ταῖς ἐκ Νάξου. κἀκεῖ γὰρ ἐτιμᾶτο συμμιγεὶς Ἀριάδνῃ.

1154. τὸν ταμίαν] τὸν χορηγὸν καὶ δοτῆρα τῆς αὐτῶν μανίας.

1165. ἀφεῖται] ἀπολέλυται πάντα τὰ ποιοῦντα αὐτὸν μακαριστόν.

1169. τύραννον] βασιλικόν.

1172. ἄχθος] συμφοράν.

1177. μηνίσας φόνου] ὀργισθεὶς ἕνεκα τοῦ φόνου τῆς Ἀντιγόνης.

1178. ὀρθὸν] ἀληθές.

1183. τῶν λόγων ἐπῃσθόμην] τῶν λόγων τοῦ ἀγγέλου ἥκουσα, ἔμαθον.

1186. βιαίως τὰ κλεῖθρα τῶν πυλῶν ἀνέσπασα. οὐ γὰρ ἠδυνάμην φέρειν τὴν ἀκοήν. δέον δὲ εἰπεῖν ἀνασπαστῶς, ἀνασπαστοῦ πρὸς τὸ πύλης εἶπεν.

1187. οἰκείου] τοῦ περὶ τοῦ παιδός.

1199. ἐνοδίαν θεὸν] τὴν Περσεφόνην, τὴν ἐν ταῖς τριόδοις πορευομένην. αὕτη γάρ ἐστιν ἡ Ἑκάτη, ὡς ἄλλοις τε πολλοῖς δοκεῖ καὶ Λυκόφρονι.

1219. ἀθύμου] ὀλιγοψύχου. τὸ ἐξ πρὸς τὸ ἠθροῦμεν ἔχει τὴν δύναμιν. ἐν λοισθίῳ] ἐν ἐσχάτῳ τόπῳ τοῦ τάφου.

1224. ἀποιμώζοντα] ἀποκλαιόμενον πῶς, θανούσης αὐτῆς, τοῦ ταύτης λέχους ἐστέρηται. ἢ φθορὰν εὐνῆς λέγει τὴν ἐν Ἅιδου αὐτῆς οἴκησιν.

1231. παπτήνας] προσβλέψας.

1232. προσώπῳ] τῷ ἑαυτοῦ. ἀντειπὼν] ἀνταποκριθείς. ξίφους διπλοῦς κνώδοντας] ἤτοι τὸ δίστομον ξίφος.

1234. ἤμπλακε] ἀπέτυχε.

1236. ὑγρὸν] ἐξ αἵματος. ἀγκῶν'] τὸν αὐτοῦ. προσπτύσσεται] περιπλέκεται.

1238. ἐκβάλλει ῥοὴν] ἐκπέμπει τῶν ῥινῶν καὶ τοῦ στόματος αἷμα πρὸς τὸ πρόσωπον τῆς παρθένου.

1249. δμωαῖς προθήσειν] δούλαις προβαλέσθαι.

1258. μνῆμ' ἐπίσημον] τὸ τοῦ παιδὸς σῶμα φανερόν.

1259. οὐκ ἀλλοτρίαν] αὐτὸς γὰρ αἴτιος τῷ παιδὶ τοῦ θανάτου ἐγένετο. τὸ δὲ εἰ θέμις εἰπεῖν λέγει, διότι βασιλεὺς ἦν καὶ ᾐδεῖτο αὐτόν.

τὰ ἐνεστῶτα τῆς γυναικός.

1307. ἀνέπταν] ἐξέστην καὶ πόρρω ἐμαυτοῦ γέγονα. ἀνταίαν] πληγήν.

1309. ἀμφιθήκτῳ] διστόμῳ. οὐ γὰρ δύναμαι φέρειν τὸ τῶν συμφορῶν πέλαγος, ὥστε θανὼν ἀναισθησίαν ἔσχον ἀεὶ τούτων.

1312. τῶνδε κἀκείνων] τῶν τοῦ Αἵμονος μόρων καὶ τῶν τοῦ Μενοικέως, διότι εἴασας αὐτὸν ἀπολέσθαι καὶ οὐκ ἐκώλυσας.

1313. ἐπεσκήπτου] πρόφασιν καὶ κατηγορίαν ἐδέχου.

1315. ὅπως] ἐπεί.

1324. ἄγετέ μ' ἐκποδὼν] καλῶς εἶπεν ἀναχωρῆσαι. τὰ γὰρ ἐκποδὼν κακὰ καὶ μεγάλα ὄντα ἐλάχιστα φαίνεται· ὥσπερ οὖν ἐκ τοῦ ἐναντίου τὰ ἐν ποσὶ καὶ μικρὰ ὄντα μείζω φαίνεται.

1326. κέρδη] τὸ ἀπαχθῆναι ἐντεῦθεν, ἵνα τῆς τούτων θέας ἀπὼν ὀλίγην ὀδύνην ἔχῃς. βράχιστα γὰρ κράτιστα] ἤγουν ἔλαττον λυποῦσιν, εἰ πόρρω τις τούτων γένοιτο.

1335. ὅτοισι] οἵστισιν, ἤγουν σοί. σὲ γὰρ ἄξιον φροντίζειν, ὅπως Εὐρυδίκη καὶ Αἵμων τεθάψεται.

1337. μή νυν κατεύχου μηδὲν] μηδὲν εὔχου κατὰ σοῦ. τουτέστι τὸ θανεῖν. οὐδεὶς γὰρ αὐτὸ ἐκφευξεῖται.

1340. οὐχ ἑκὼν] οὐ γὰρ ᾔδειν ὡς διὰ τὸν τῆς Ἀντιγόνης θάνατον καὶ αὐτὸς τεθνήξῃ.

1345. λέχρια] ἀνατετραμμένα. ἤγουν καὶ ἡ πρᾶξις καὶ ὁ νοῦς μου ἐξησθένησε.

1348. τὸ φρονεῖν] τὸ φρόνιμον εἶναί τινα. πρῶτον ὑπάρχει] προτιμότερον καὶ κρεῖττόν ἐστιν. ἡ γὰρ ἀρχὴ κρειττων τῶν μετ' αὐτὴν, ἐπειδὴ αἰτία ἐστίν.

1351. ὑπεραύχων] τῶν ὑπερηφάνων.

1353. γήρᾳ] ἤγουν ὕστερον.

8. Εἴ τις] ἤγουν ὡς οὐδέ τις ἄλλη.

15. προσδεδεγμένη] προσδοκῶσα.

23. ὃς ἂν αὐτῶν ἀφόβως τὴν μάχην θεωρῶν ἐκάθητο.

27. κριτὸν] προκεκριμένον.

38. ἔκτα] ἔκτεινε.

53. τόσον] εἰ μὲν τόσον, ἀντὶ τοῦ ὀλίγου· εἰ δὲ τὸ σὸν, ἀντὶ τοῦ τὸ συμφέρον.

70. λάτριν πονεῖν] ὡς λάτριν καὶ δοῦλον πονεῖν καὶ ὑπηρετεῖν τῇ Ὀμφάλῃ.

71. πᾶν τοίνυν] πᾶν ὄνειδος ἀκούσομεν, εἰ καὶ ὑπέστη τὸ δουλεύειν τῇ Ὀμφάλῃ ὁ Ἡρακλῆς.

73. ποῦ δῆτα] ἔλεγέ μοι, φησὶν, ὅτι ἐν Οἰχαλίᾳ τεθνήξομαι, ἢ σωθεὶς εὐδαιμονήσω τὸν ἐπίλοιπον χρόνον. ποῦ οὖν ἀγγέλλεται ἢ ζῶν εἶναι, ἢ θανών; φασὶ δὲ καὶ ἐν Θετταλίᾳ εἶναι Οἰχαλίαν. οὐδὲν οὖν ἄτοπον συνωνυμεῖν.

94. αἰόλα] κατάστερος. ἐναριζομένα] φθειρομένη. καρῦξαι] εἰπεῖν ἐμοί.

103. ποθουμένᾳ] ἀντὶ τοῦ ποθούσῃ.

120. ἀμπλάκητον] ἡμαρτημένον.

122. ὧν ἐπιμεμφομένα] περὶ δὲ ὧν, φησὶ, μεμφομένη τυγχάνεις, ἡδέα μὲν οἴσω σοι, ἐναντία δέ. σὺ μὲν γὰρ ὡς ἀποθανόντα αὐτὸν ὀδύρῃ, ἐγὼ δέ φημι μὴ χρῆναι ἀποβάλλειν τὴν ἀγαθὴν ἐλπίδα. οἱ γὰρ θεοὶ σώζουσιν αὐτόν. οὐδὲ γὰρ ἄλυπα τοῖς ἀνθρώποις ὁ θεὸς πεποίηκε τὰ πράγματα, ἀλλὰ συμμιγνύουσιν οἱ θεοὶ τὰ πράγματα τοῖς ἀνθρώποις ἐν πήματι καὶ χαρᾷ, καὶ στρέφουσιν ὀξέως αὐτὰ, ὥσπερ ἄρκτου στροφάς. τὰς ἄρκτους δὲ παρέλαβεν, ἐπεὶ διαφανεῖς τε εἰσὶ, καὶ ποτὲ μὲν ἄνω, ποτὲ δὲ κάτω ἑκάστη στρέφεται.

3. 7. 8. Hæc addidi ex A.

12. Ὀμφάλῃ] ὀμφάλῃ γῆ (sic) A.

13. μοι om. A. qui prima scholii verba habet ἔλεγε—ἐπίλοιπον.

ἡμέρα ἔρχεται. κῆρες] φθοραί. ἄφαρ βέβηκε] εὐθέως ἀπέρχεται τούτων ἕκαστον.

146. κλονεῖ] φθείρει, ταράττει.

195. κρίνει] ἐρωτᾷ.

205. ἀνολολύξατε] εὐχὴν μετὰ βοῆς ποιήσατε.

226. στόλον] ἤτοι τὰς αἰχμαλώτους.

238. ἔγκαρπα] ἀπαρχάς.

247. ἀνήριθμον] γράφεται ἀρίθμιον.

250. τοῦ λόγου δ' οὐ χρὴ φθόνον] οὐ χρὴ ἀηδῶς ἀκούειν τὸν λόγον, ὅ ἐστιν, εὐτελίζειν καὶ ψέγειν.

252. Ὀμφάλῃ] τῇ Ἰαρδάνου θυγατρί.

254. ἐδήχθη] ἐλυπήθη.

258. κοὐχ ἡλίωσε] οὐκ ἐματαίωσεν, οὐ μάταιον εἶπε τὸ ἔπος.

263. ξένον] φίλον.

268. ῥαίοιτο] φθείροιτο.

273. ἧκε] ἔρριψεν, ἐδίσκευσεν.

279. χειρουμένῳ] φονεύοντι τὸν ἐχθρόν.

283. πόλις] Οἰχαλία.

286. ἐφεῖτο] ἐκέλευσεν, ἐνετείλατο.

289. τοῦτο γὰρ] τὸ ἧξειν ἐκεῖνον.

295. τῇδε] οὕτω. τοῖσιν εὖ σκοπουμένοις] τοῖς φρονίμοις.

304. τοὐμὸν σπέρμα] ἤγουν τὰ τέκνα μου.

327. ἡ τύχη] ἡ ἀφωνία.

333. οἳ θέλεις] ὅποι, πρὸς Ἡρακλέα δηλονότι.

341. μάτην] ψευδῶς.

342. ἐκείνους] τὸν Λίχαν καὶ τὰς αἰχμαλώτους. ταῖσδέ τε] καὶ ταῖς ἀπὸ τοῦ χοροῦ.

350. ἄγνοια μ' ἔχει] ὡς ἓν μέρος λόγου συντακτέον, ἀντὶ τοῦ ἀγνοῶ.

379. ἦ καὶ τὰ λαμπρὰ] λείπει, δηλοῦσι τὴν ταύτης εὐγένειαν.

392. αὐτόκλητος] αὐθόρμητος.

396. ᾄσσεις] ὁρμᾷς.

473. ἀγνώμονα] ἀσύνετα.

523. ἁβρὰ] τρυφῶσα, κεκαλλωπισμένη.

529. ἄφαρ] ὀξέως. ἀπὸ τοῦ ἅπτω ἅψω τὸ ἄφαρ γίνεται.

565. ματαίαις] ἀδίκοις, ἀκολάστοις.

567. κομήτην] ἐπτερωμένον.

570. ἐὰν πύθῃ] ἐὰν ἀκούσῃς.

597. πράσσῃς] ἀντὶ τοῦ πράσσῃ τις. σκότῳ δὲ ἀντὶ τοῦ λάθρα.

601. ἠγορῶ] ὠμίλεις.

602. εὐϋφῆ] καλοῦφαντον.

610. ηὖγμην] ηὐξάμην.

675. εὐείρῳ] εὐπόκῳ.

678. ψῆ] διεφθάρη, ἔκλινεν. ἀπὸ μεταφορᾶς τῶν ψηνῶν, ἤτοι τῶν κραδῶν.

682. θεσμῶν] διδαχῶν. δύσνιπτον] δυσαπόνιπτον.

692. ζυγάστρῳ] θήκῃ, κιβωτίῳ.

693. φάτιν] φαντασίαν. ἄφραστον] ἄρρητον. ἀξύμβλητον] ἣν οὐ δύναταί τις ἄνθρωπος συμβαλεῖν καὶ νοῆσαι.

702. θρομβώδεις ἀφροὶ] πομφόλυγες.

770. ἀντίσπαστος] ἀποσπῶν ἀπ᾽ ἐκείνου τὰς σάρκας.

783. ἅπας δ᾽ ἄνευ φωνῆς ἐν οἰμωγῇ] ἤγουν σιωπῶν ἐθρήνει καὶ ἐστέναζε, φοβούμενος τὸν Ἡρακλέα.

794. ὅτε, φησὶν, ἀπεῖπε καὶ ἐπαύσατο κυλιόμενος, τότε ἀνατείνας τὸν ὀφθαλμὸν διὰ τῆς κεχυμένης τοῖς ὄμμασι λιγνύος, εἶδέ με δακρυροοῦντα. λιγνὺν δὲ, τὴν περικεχυμένην τοῖς ὀφθαλμοῖς αὐτοῦ ἀχλὺν λέγει ἀπὸ τῆς νόσου. προσέδρου] ἐπιπολαζούσης.

892. σαφηνῆ] ἀληθῆ.

895. ἐρινὺν] φθοράν.

905. ἐρήμη] χήρα.

964. ἐξόμιλος] ἀήθης.

1010. πόθεν ἐστὲ] ἤτοι ποῦ ἐστέ;

1014. ὀνήσιμον] ὠφέλιμον, σωτήριον.

1017. στυγεροῦ] μοχθηροῦ, μισητοῦ.

1020. ἔμπλεον] ὀξύτερον.

1033. ἀνεπίφθονον] ἄμεμπτον.

1065. πρεσβεύσῃς] τιμήσῃς.

1072. βέβρυχα] ἀναβοῶ.

1084. διάβορος] ἡ κατεσθίουσα καὶ διαφθείρουσά με.

1089. ἤνθηκεν] ἤκμασεν. ἐξώρμηκεν] ἀνεκάχλασεν, ἐξεγήγερται.

1135. δεινοῦ] θαυμαστοῦ.

1136. μνωμένη] ζητοῦσα.

1138. στέργημα] φιλίαν πρὸς αὐτήν.

1157. σὺ δ' οὖν] γράφεται, σὺ νῦν.

1206. ἐκκαλῇ] καταναγκάζεις. παλαμναῖον] ἀλάστορα, αὐτοχειρα.

1212. φορᾶς] ἤγουν τοῦ φέρειν σε.

1227. κήδευσον] οἰκονόμησον, οἰκείωσον.

1248. τούτων μάρτυρας] οὐκ ἄδικον τοῦτο ἡγούμενος, τὸ συναφθῆναί σε τῇ Ἰόλῃ.

1255. αἴρεσθε] ἀνακουφίσατέ με.

1272. αἰσχρὰ δ' ἐκείνοις] τοῖς γεννήσασιν.

ΕΙΣ ΑΙΑΝΤΑ ΤΟΝ ΜΑΣΤΙΓΟΦΟΡΟΝ.

1. ἀεὶ μὲν] ὦ υἱὲ τοῦ Λαερτιου, ἀεὶ ὁρῶ σε μετιόντα τοὺς ἐχθροὺς πείρᾳ καὶ βλάβῃ. τοῦτο δὲ καλῶς ἔφη, ὅτι καὶ μετὰ Διομήδους κατάσκοπος ἐγένετο ἐπὶ τοὺς Τρῶας. ἰστέον δὲ ὅτι δι' οὐδὲν ἄλλο δυσχεραίνει ἡ Ἀθηνᾶ κατὰ τοῦ Αἴαντος, ἢ διότι ἀπώσατο τὴν συμμαχίαν αὐτῆς, ὡς προϊὼν ὁ λόγος δηλώσει. δέδορκα] δέρκω. ὁ μέλλων δέρξω, ὁ παρακείμενος δέδορχα, ὁ μέσος δέδορκα. λαμβάνεται δὲ ὡς πλατὺς ἐνεστώς.

Οἰκείως ἔχουσιν οἱ παρακείμενοι ἀντὶ ἐνεστώτων λαμβάνεσθαι. οὐ μὴν πάντες παρακείμενοι οὕτω λαμβάνονται, ἀλλ' εἰσὶ μὲν οἳ ἐπὶ σημασίας ἐνεστῶτος ἀεὶ λαμβάνονται, ὡς ὁ δέδορκα, δέδοικα, πέφρικα, καὶ ἕτεροι· εἰσὶ δὲ οἳ οὐδέποτε ἐπὶ ἐνεστῶτος λαμβάνονται, ἀλλ' ἀεὶ ἐπὶ παρεληλυθότος, ὡς ὁ πέπονθα, πεποίηκα, καὶ ἕτεροι. εἰσὶ δὲ οἳ ἐνίοτε μὲν ἐπὶ ἐνεστῶτος, ἐνίοτε δὲ ἐπὶ παρεληλυθότος λαμβάνονται, ὡς ὁ πεποίημαι, οἷον πεποίημαί τινα φίλον, ἢ ἀντὶ τοῦ ποιοῦμαι, ἢ ἀντὶ τοῦ ἐποιησάμην.

2. πεῖραν] προσβολὴν, ἐπιχείρησιν. πειρῶμαί σου καλοῦ, ἀντὶ τοῦ, διὰ πείρας σε καταλαμβάνω καλόν. καὶ, πειρῶμαι τῆς γνώμης σου εἰ μὴ μεταβέβληται, ἀντὶ τοῦ, θέλω διὰ πείρας καταλαβεῖν αὐτήν. καὶ, πειρῶμαι βλάπτειν σε, ἀντὶ τοῦ, ἐπιχειρῶ. ἀφ' ὧν πεῖρα, ἣν δίδωσί τις τινὶ, ἢ λαμβάνει· καὶ ἡ προσβολὴ, καὶ ἐπιχείρησις, καθ' ὃ λέγεται ἐνταῦθα.

3. ἐπὶ σκηναῖς] παρὰ ταῖς σκηναῖς. σκηνὴ, ἡ πρόσκαιρος κατοικία, ἣν Ὅμηρος κλισίην λέγει, καὶ ἡ τῶν δραματουργῶν σκευὴ, ἤγουν τὰ προσωπεῖα, οἱ ἐμβάται, καὶ αἱ τοιαῦται στολαὶ, καὶ τἄλλα. καὶ ἀπὸ τούτων σκηνὴ πᾶσα ὑπόκρισις καὶ ὑπουλότης.

4. ἔνθα τάξιν ἐσχάτην ἔχει] ταῦτα διὰ μέσου.

5. μετρούμενον] στοχαζόμενον.

6. νεοχάραχθ'] νεωστὶ κεχαραγμένα, ἢ σεσημασμένα.

πόκτονος καὶ ἀνθρωποκτόνος, (ἀνθρωπόκτονος γὰρ, τὸ προπαροξύτονον, ὁ ὑπὸ ἀνθρώπου φονευθείς· ἀνθρωποκτόνος δὲ, ὁ ἄνθρωπον φονεύσας.) ξιφόκτονος ὤφειλεν εἶναι ὁ ὑπὸ ξίφους φονευθεὶς, ξιφοκτόνος δὲ ὁ ξίφος φονεύσας, ὅπερ ἐστὶν ἄτοπον. ἐνταῦθα δὲ ξιφοκτόνους λέγει χεῖρας τὰς διὰ ξίφους φόνον ἐργασαμένας.

11. παπταίνειν] ἀτενίζειν, ὁρᾶν. ἀπὸ τοῦ ὄπτω τὸ βλέπω γίνεται παπταίνω ποιητικῶς, καὶ σημαίνει τὸ ἐπιτηρῶ, καὶ στοχάζομαι, καὶ περισκοπῶ.

12. ἔργον ἐστὶν] χρεία ἐστίν. τὸ ἔργον τρία δηλοῖ, τὸ πρᾶγμα, τὴν χρείαν, τὴν δυσκολίαν, ἤγουν τὴν ἐνόχλησιν. ἔργον] ἡ πρᾶξις, καὶ ἡ δυσκολία, καὶ ἡ χρεία, καθ' ὃ λέγεται ἐνταῦθα. καὶ, ἔργον λιμοῦ ἐγενόμην, ἤγουν ἀγώνισμα, ἀφ' οὗ καὶ, πάρεργον λιμοῦ ἐγενόμην, ἤγουν πάρεργον ἀγώνισμα, ὡς τοῦ λιμοῦ δηλονότι δραστηριωτέρου ὄντος ἢ κατὰ τὴν ἐμὴν ἀπώλειαν. κατὰ τοῦτο λέγεται καὶ τὸ παρανάλωμα, ἤγουν πάρεργον ἀνάλωμα.

17. ὡς Τυρσηνικῆς] ὡς, ἀπὸ κοινοῦ φώνημα, σάλπιγγος.

19. βάσιν κυκλοῦντ'] περιερχόμενον.

22. ἔχει περάνας] περαίνειν, τὸ τελειοῦν, καὶ τὸ συνουσιάζειν. ἰστέον δὲ ὅτι τὸ ἔχει περάνας ἐστὶ κατὰ σύνηθες Ἀττικόν. λαμβάνεται δὲ ἀντὶ τοῦ ἐπέρανε, εἰς τὸ ῥῆμα διαλυομένης τῆς μετοχῆς. τὸ ὅλον οὕτως· ἐπὶ γὰρ τῆς νυκτὸς τῆσδε εἰργάσατο ἡμᾶς πρᾶγμα ἄσκοπον, τουτέστιν ἀπροσδόκητον. εἴπερ εἴργασται] τουτέστιν, εἰ πεποίηκε ταῦτα τὰ ἔργα ὁ Αἴας, ὡς ἐδόθη φήμη.

23. τρανὲς] φανερὸν, σαφές. ἀλώμεθα] ἁλῶμαι, τὸ πλανῶμαι, ἀφ' οὗ ἄλη, ἡ πλάνη, καὶ ἀλύειν, τὸ ἔν τινι χρείᾳ γενόμενόν τινα ἀπορεῖν. καὶ ἀλύουσα κόμη ἡ ἀτακτοῦσα καὶ πλανωμένη.

29. ὀπτὴρ] κατάσκοπος. νεορράντῳ] νεωστὶ ἐρραντισμένῳ, ὑπὸ αἵματος δηλονότι. φράζει] ἀντὶ τοῦ ἔφρασε. κατ' ἴχνος ᾇσσω] κατὰ πῖδας ἤϊξα. σημαίνομαι] στοχάζομαι, συμβάλλω. ἐκπέπληγμαι] ἐξίσταμαι, θαυμάζω.

33. ὅτου] οἱ Ἀττικοὶ ἀντὶ τοῦ ὑποτακτικοῦ ἄρθρου τῆς γενικῆς

18. πάρεργον ἀνάλωμα] Vide de hac locutione Wernsdorf. ad Himer. Orat. 14. p. 664. ab Lobeckio citatum.

τῶν πληθυντικῶν τοῦτο ποιοῦσι. λέγουσι γὰρ ὅτων, ἀντὶ τοῦ ὧν τινων, ὃ μόνον καὶ παρὰ ῥήτορσι, καὶ ὁτέοις, ἀντὶ τοῦ οἷς τισιν. ἐπὶ δὲ τῶν αἰτιατικῶν οὐδέποτε τὸ τοιοῦτο γίνεται, οὔτε παρὰ τοῖς Ἀττικοῖς οὔτε παρὰ τοῖς ποιηταῖς.

34. καιρὸν] κατὰ καιρὸν, τουτέστιν ἐγκαίρως.

35. ἔγνων] ὅπως ἀκήκοας δηλονότι, καὶ ἐξῆλθες ζητῶν ἃ ἔπραξεν ὁ Αἴας. τῇ σῇ κυνηγίᾳ, ἀντὶ τοῦ τῆς σῆς κυνηγίας.

40. πρὸς τί] βλέπων, ἀφορῶν δηλονότι. πρὸς ποῖον σκοπὸν ἀφορῶν ᾔξεν, ἀντὶ τοῦ ἤϊξε, καὶ ἐκίνησεν οὕτω χεῖρα δυσλόγιστον, ἤγουν δυσκατανόητον, δυσσυλλόγιστον. ἔστι δὲ ἀντὶ ἐπιρρήματος, ἀντὶ τοῦ δυσσυλλογίστως, ὥσπερ ταχὺς ἦλθεν, ἀντὶ τοῦ ταχέως.

42. τί δῆτα] πῶς δὴ κατὰ τῶν ποιμνίων βαρεῖαν ἐποιήσατο τήνδε βάσιν; ποίμναις ἐπεμπίπτει] ἀντὶ τοῦ ἐπὶ ταῖς ποίμναις, τουτέστι κατὰ τῶν ποιμνίων ἐμπίπτει.

ἐμπίπτει βάσιν] ἐποιήσατο ὤφειλεν εἰπεῖν· ὁ δὲ καί τὴν ὑπόθεσιν αὐτοῦ θέλων δηλῶσαι, ἐμπίπτει λέγει. τοιοῦτον καὶ τὸ, ἔκειρε φόνον, καὶ τὸ, κυκλοῦντα βάσιν.

44. ὡς] συνυπακούεται τὸ οὕτως. ὁ δὲ καὶ αὔξησιν ἔχει τῆς ὑποθέσεως. τὸ πᾶν οὕτως· ἆρα καὶ αὕτη ἡ βουλὴ κατὰ τῶν Ἀργείων ἦν, οὕτω μεγάλη δηλονότι οὖσα;

46. ποίαισι τόλμαις ταῖσδε] ποῖαι εἰσὶν αἱ τόλμαι αὗται, αἷς ἔμελλε τοῦτο ποιήσειν; ὅμοιον τῷ, "Τίνας ποθ' ἕδρας τάσδε μοι θοά- "ζετε;" ἐρωτᾷ ὁ Ὀδυσσεὺς, πῶς μόνος ων πρὸς πλῆθος ἐδύνατο μάχεσθαι, ἤγουν τίνες ἦσαν αἱ τόλμαι, αἷς ἐθάρρει, τί ἦν τὸ θράσος τῶν φρενῶν, δι' οὗ ἐθάρρει ποιῆσαι τοῦτο.

50. ἐπέσχε] ἐκώλυσε τοῦ φόνου τὴν χεῖρα μανικῶς ὁρμῶσαν. ἐπέχω, τὸ κωλύω· καὶ ἐπέχει ἡ οἰκία τοσοῦτον διάστημα, ἀντὶ τοῦ ἐπικρατεῖ· καὶ ἐπέχει τις τοῦ διδασκάλου τάξιν.

51. ἐγώ σφ' ἀπείργω] ἤγουν ἐγὼ αὐτὸν ἀπεῖρξα ἀπὸ τῆς ἀνηκέστου χαρᾶς, ἐμβαλοῦσα τοῖς νοητοῖς αὐτοῦ ὄμμασι γνώμας, ὑπο-

5. ὁτέοις] Immo ὅτοις.
22. τὸ πᾶν οὕτως] In Lips. ἤγουν. Sed τὸ δὲ πᾶν mox in schol. ad v. 54. et ἔχει δὲ τὸ πᾶν οὕτως ad v. 90. et alibi non raro.

δυσβαστάκτως. ἐνταῦθα δὲ δυσφόρους γνώμας λέγει τὰς κακῶς φερομένας καὶ μὴ εὐοδουμένας, ἤγουν παραφόρους.

54. βουκόλων φρουρήματα] βουκόλια, περιφραστικῶς. τὸ δὲ πᾶν τῆς συντάξεως· σύμμικτα βουκόλια τῆς λείας, τὰ ἄδαστα, ἤγουν τὰ ἀμέριστα.

55. ἔκειρε] ἤγουν διὰ τοῦ κείρειν ἐποίει.

πολύκερων φόνον] ἤγουν πολλῶν κερασφόρων ζώων. λέγεται ἀντὶ κτητικοῦ.

56. κύκλῳ] ἤγουν κατὰ κύκλον. ῥαχίζων] ἤγουν διχοτομῶν.

59. φοιτῶντ᾽] ὁρμῶντα. φοιτᾶν λέγεται τὸ ἐπί τι συχνῶς πορεύεσθαι, καὶ τὸ μαίνεσθαι.

62. συνδήσας] συνδεῖν, τὸ ἀμφοτέρας τὰς χεῖρας δεσμεῖν.

63. κομίζεται] κομίζω, τὸ φέρω· κομίζομαι δὲ, τὸ λαμβάνω.

64. εὔκερων ἄγραν] ἤγουν εὐφυῶς ἔχουσαν ἐπὶ τοῖς κέρασι, τουτέστι κερασφόρον. καὶ εὔκερως ταῦρος, ὁ καλὰ κέρατα ἔχων. αἰκίζεται] μαστίζει.

67. θροῇς] θροῶ, τὸ λέγω ποιητικῶς· καὶ θροῶ, τὸ θορυβῶ, κοινῶς.

68. συμφορὰν δέχου] τουτέστι, μὴ ἰδὼν τὸν Αἴαντα δέξῃ συμφορὰν οἰκείαν. ἤγουν βλέπων αὐτὸν τοιῶσδε διακείμενον μὴ λυπηθῇς ἐπ᾽ αὐτῷ. ἄλλοι δὲ οὕτως ἐξηγοῦνται· μὴ συμφορὰν δέχου τὸν ἄνδρα, τουτέστι μὴ οἰηθῇς παθεῖν τι κακὸν ἐξ αὐτοῦ.

69. ἀποστρόφους] ἤγουν εἰς τοὐπίσω ἐστραμμένους. διάστροφοι ὀφθαλμοὶ οἱ τοῦ μαινομένου, καὶ οἱ ἐπ᾽ ἄλλο βλέποντες, εἶτα ἐπ᾽ ἄλλο δοκοῦντες βλέπειν· ἀπόστροφοι δὲ οἱ ὄπισθεν ἐστραμμένοι.

ἐγὼ γὰρ] ἐγὼ γὰρ διεστραμμένας ποιήσασα τὰς αὐγὰς τῶν ὀμμάτων αὐτοῦ ἀπείρξω θεάσασθαι τὴν σὴν πρόσοψιν.

72. ἀπευθύνοντα] εὐθύνω, τὸ κατ᾽ εὐθεῖαν ἄγω, καὶ κυβερνῶ, καὶ τὸ κολάζω. καὶ ἀπευθύνω ἐπὶ τῶν αὐτῶν ὁμοίως. καὶ τὸ προσμολεῖν οὐκ ἀπὸ τοῦ μολέω μολῶ γίνεται, ἄχρηστον γὰρ τοῦτο, ἀλλ᾽ ἀπὸ τοῦ μόλω.

2. ἀπὸ τοῦ—εὐκόλως] Hæc sic scripta in Lips. ἀπὸ ταὐτοῦ εὐφόρως παρ᾽ Ἱπποκράτει ἀντὶ τοῦ εὐχερῶς, ἀπὸ τοῦ εὐκόλως—. Conf. schol. Electr. 255.

7. τῆς συντάξεως om. Lips.

8. In A. est περιφραστικῶς. σύμμικτα βουκόλια. τῆς λείας τὰ ἄδαστα ἀντὶ τοῦ τὰ ἀμέριστα.

καὶ ταυῦν ;

78. ναὶ, αὐτὸς ἐκεῖνός ἐστιν· ἀλλ' ὅμως ἐχθρὸς ἦν ἐμοὶ καὶ πρότερον, καὶ ταυῦν ἔτι μᾶλλον ἐχθρός ἐστί μοι.

81. ὀκνεῖς] ὀκνῶ, τὸ φοβοῦμαι, καὶ τὸ ῥαθυμῶ.

88. τυχεῖν] ἀντὶ τοῦ εἶναι. τὸ τυχεῖν καὶ τὸ τυγχάνειν μετὰ μετοχῆς τάττονται. λαμβάνεται δὲ ἀντὶ τοῦ, ἐκ τοῦ κατὰ τύχην. ἰστέον δὲ ὅτι ἐπὶ τῶν τοιούτων εἰς τὸ ῥῆμα τῆς μετοχῆς ἀεὶ συνάγεται ὁ λόγος· οἷον, ἔτυχε ποιήσας, ἀντὶ τοῦ ἐποίησε, καὶ, ἔτυχεν ἀναλώσας, ἀντὶ τοῦ κατανάλωσε. ἐνταῦθα δὲ, ἤθελον ἂν εἶναι ἐκτός.

90. βαιὸν] τὸ μικρόν. λέγει δὲ ἐνταῦθα ἀντὶ τοῦ οὐδέν. ἔχει δὲ τὸ πᾶν οὕτως· τί οὐδ' ὅλως ἐντρέπῃ, ἤγουν ἐπιστρέφῃ οὕτως, ἐμοῦ δηλονότι, τῆς συμμάχου ;

96. κοὐκ ἀπαρνοῦμαι τὸ μὴ] ὤφειλεν εἰπεῖν, οὐ λέγω τὸ οὐχί. ἐπεὶ δὲ ἄρνησιν ἔχει τὸ οὐχὶ, λέγει τὸ ἀρνοῦμαι, ἵν' ᾖ ἀρνούμενος λέγω. τοῦτο δὲ σύνηθες καὶ παρὰ τοῖς κοινοῖς.

98. ἀτιμάσουσ'] καταφρονήσουσι. ἀτιμάζω, τὸ καταφρονῶ· ἀτιμῶ δὲ, τὸ ἄτιμον ποιῶ.

100. τἄμ'] τὰ ἀνήκοντα ἐμοὶ ἀφαιρείσθωσαν ὅπλα. ὥσπερ ἀπὸ τοῦ ἀφαιρείσθωσαν τὸ ἀφαιρείσθων κατὰ συγκοπὴν, οὕτως καὶ ἀπὸ τοῦ λεγέτωσαν τὸ λεγόντων καὶ ὅσα τῆς ἀκολουθίας ταύτης.

102. ποῦ σοι τύχης] ἐν ποίῳ μέρει τῆς τύχης, ἤγουν ἐν ποίᾳ τύχῃ ἐτάχθη ὑπὸ σοῦ ;

103. τοὐπίτριπτον κίναδος] τὸ ἐπίτριπτον κίναδος ὡς ἐπίθετον λαμβάνεται, ἤγουν τὸ πανοῦργον θηρίον καὶ ἐπιτριβῆς ἄξιον.

104. ἔγωγ' Ὀδυσσέα] οἱ Ἀττικοὶ ἐν τοῖς λόγοις τοῖς δεομένοις ἀποκρίσεως διὰ τοῦ ναί, λέγουσι τὸ ἔγωγε, ἢ μάλιστα, ἢ τοιοῦτόν τι, καὶ ἀρκοῦνται τούτοις. ἐν οἷς δὲ τὸ οὔ ἁρμόζει ἐν τῇ ἀποκρίσει, λέγουσι τὸ μά· ἀπωμοτικὸν, καὶ ἀρκοῦνται τούτῳ.

ἐνστάτην] τὸν ἐχθρὸν, τὸν ἀντίπαλον, τὸν ἐμποδών σοι ἱστάμενον.

108. πρὸς κίον'] πρὸς τῷ κίονι τοῦ δώματος. ὁ κίων ἀρσενικῶς, παρὰ δὲ τοῖς Ἴωσιν ἡ κίων θηλυκῶς. καὶ πολλὰ ἕτερα ἀρσενικῶς γραφόμενα θηλυκῶς οὗτοι προφέρουσιν.

109. τί δῆτα τὸν δύστηνον ἐργάσῃ κακὸν] ταῦτα διὰ μέσου. ἐκ-

καὶ ποιῶ σε κακόν· καὶ μετὰ ἐπιρρήματος, ποιῶ σε κακῶς, καὶ ἐργάζομαί σε κακῶς.

111. ὧδέ γ' αἰκίσῃ] τοιῷδε τρόπῳ μαστίξῃς.

112. χαίρειν Ἀθάνα] ἐγώ σοι ἐφίεμαι, ὦ Ἀθάνα, χαίρειν κατὰ τὰ ἄλλα, ὅσα με κελεύεις· κατὰ τοῦτο δὲ μόνον οὐχ ὑπακούσομαί σοι. κατὰ τὰ μὲν ἄλλα ὑπείκω σοι, ὥστε χαίρειν, ἀντὶ τοῦ ἵνα χαίρῃς. ἐφίεμαι, τὸ ἐπιθυμῶ· καὶ ἐφίεμαι, τὸ ἐντέλλομαι, ποιητικῶς, ἀφ' οὗ ἐφετμὴ, ἡ ἐντολή. ἐφίεμαι χαίρειν σε, ἀντὶ τοῦ εὐνοῶ σοι, καὶ ὑπείκω σοι. σύμβολον γὰρ ἡ προσαγόρευσις τῆς εὐνοίας.

115. φείδου μηδὲν] μηδενὸς φείδου ἀπὸ πάντων ὧν ἐννοεῖς. ἢ καὶ οὕτως· χρῶ τῇ σῇ χειρὶ, μηδαμῶς φείδου, καὶ ἀκριβολογοῦ τῶν ἔργων ὅπερ ἐννοεῖς.

116. χωρῶ] πορεύομαι. χωρεῖν καὶ τὸ δέχεσθαι, οἷον, χωρεῖ τὸ ἀγγεῖον τοσοῦτον ὕδωρ.

117. παρεστάναι] παρίσταται δοῦλος δεσπότῃ, καὶ παρίστανται τις τινὶ, ἀντὶ τοῦ συμμαχεῖ, ἀφ' οὗ παραστάτης. προΐσταται δὲ ὁ ἔμπροσθεν ἱστάμενος καὶ βοηθῶν τοῖς ὄπισθεν, ἀφ' οὗ προστάτης.

119. προνούστερος] ἀπὸ τοῦ εὖ μορίου καὶ τοῦ νοῦς γίνεται εὔνους· καὶ ἀπὸ τῆς ἐν καὶ τοῦ νοῦς, ἔννους, ὁ φρόνιμος, ἢ ὁ ἔχων νοῦν· καὶ ἀπὸ τοῦ α καὶ τοῦ νοῦς, ἄνους, ὁ ἀνόητος, ἢ ὁ μηδ' ὅλως ἔχων νοῦν. ἀπὸ δὲ τῆς πρό καὶ τοῦ νοῦς, πρόνους ἄχρηστον, ἀφ' οὗ προνούστερος, συγκριτικὸν, ὁ μᾶλλον προνοούμενος, ἢ ὁ προνοητικώτερος.

122. τὸ ἔμπης καὶ τὸ καίπερ σύνδεσμοί εἰσιν ἐναντιωματικοὶ, καὶ λαμβάνονται ἐνταῦθα ἐκ παραλλήλου. ὁμοίως καὶ τὸ ὅτι καὶ τὸ οὕνεκα σύνδεσμοί εἰσιν αἰτιολογικοὶ, καὶ λαμβάνονται ἐνταῦθα ἐκ παραλλήλου. ξυγκατέζευκται] συνεζεύχθη. ἀπὸ τῶν ἐν ἑνὶ ζυγῷ ζώων.

126. εἴδωλα] τὰ φαινόμενα ἐν τῷ ἀέρι φαντάσματα ἅπερ ἅμα τῷ φανῆναι ἀφανίζονται, ἄστατα ὄντα καὶ ἀβέβαια.

127. ὑπέρκοπον] τὸ ὑπέρκομπον. ἀφεῖλε δὲ τὸ μ διὰ τὸ μέτρον. ὑπερηρμένον.

33. τὸ A. ἦγον vulgo. 34. ὑπερηρμένον om. A.

δὲ, ὑπερέχεις.

131. ἡμέρα] ἤγουν ἅπαντα τἀνθρώπεια πράγματα ἡμέρα μία κατάγει καὶ ἀνάγει. τοὺς δὲ σώφρονας] ἤγουν τοὺς ἀρετὴν μεταχειριζομένους (τὸ σωφρονεῖν γὰρ ἐπὶ πάσης ἀρετῆς λέγεται.) οἱ θεοὶ φιλοῦσι, καὶ εἰσὶν ἀκλινεῖς δηλονότι καὶ βέβαιοι. λέγεται δὲ τὸ σωφρονεῖν, ὡς εἴπομεν, ἐπὶ πάσης ἀρετῆς, ἐπεὶ τὸ σωφρονεῖν ἐναντίον ἐστὶ τῷ μαίνεσθαι. τὸ μαίνεσθαι δὲ λέγεται καὶ ἐπὶ τῶν ἀμέτρως χρημάτων ἐρώντων, καὶ ἐπὶ τῶν φιλοδόξων καὶ φιληδόνων· ὥστε τὸ σωφρονεῖν οὐ τῷ φιληδονεῖν μόνον ἐστὶν ἐναντίον, ἀλλὰ καὶ τῷ φιλοδοξεῖν καὶ τῷ φιλοχρηματεῖν. τὸ δὲ τούτοις ἐναντίον, ἐφ' οἷς πᾶσα κακία παρίσταται, ἐπὶ πάσης ἀρετῆς οἰκείως ἂν λέγοιτο.

136. εὖ πράσσοντ'] καλῶς διακείμενον. πράττω γὰρ, τὸ διάκειμαι, καὶ τὸ ἐνεργῶ.

139. πεφόβημαι] φοβοῦμαι. τὸ σχῆμα ἀλλοίωσις κατὰ χρόνον, ὃ καὶ ἀντιχρόνισμος καλεῖται. ὄμμα πελείας] ἤγουν ὡς περιστερά. περίφρασις, ἀπὸ τῶν ὀφθαλμῶν, ἐφ' οἷς μάλιστα δείκνυται ἡ δειλία.

141. τῆς νῦν φθιμένης] ἐπὶ τῆς ἀρτίως παρελθούσης νυκτός. θόρυβοι] ταραχαί. δυσκλείᾳ] κακῇ φήμῃ. τὸν ἱπποµανῆ] τὸν ἵπποις χαίροντα. ἤγουν ἱππασίαις. λειμὼν, ὁ ὕδασι κατάρρυτος τόπος· ἀπὸ τοῦ λείβω, ἀφ' οὗ καὶ λιβάδιον. λειμωνία δὲ, ἡ ἐν τῷ λειμῶνι χλόη.

148. ψιθύρους] ἤγουν κρυφίους, ἠρέμα λεγομένους.

155. ἁμάρτοι] ἁμαρτάνω, τὸ ἁμαρτίαν ποιῶ, ἀμεταβάτως· ἁμαρτάνω δὲ, τὸ ἀποτυγχάνω, μεταβατικῶς, καὶ συντάσσεται γενικῇ.

[157. φθόνος, νόσημα ψυχῆς ἀνθρωπίνης, καὶ ἐσθίον ψυχὴν, ἣν ἂν καταλάβῃ, ὥσπερ ἰὸς τὸν σίδηρον. καὶ φθονερὸς, ὁ λυπούμενος ἐπὶ

29. φθόνος—γεγραμμένον] Scholion hoc, quod non legitur in Lips., primus edidit Brunckius. Compilatum est ab recentissimo aliquo grammatico ex Suida s. v. φθόνος, nulla cum memorabili scripturæ diversitate, nisi quod in initio ἀνθρωπίνης scriptum pro ἀνθρωπικὸν, quod apud Suidam legitur, cui ἀνθρωπίνης restituebat Meinek. ad Menand. p. 198. ex conjectura, scholii Sophoclei ignarus.

τὸ δεύτερον δὲ τοῦ φθόνου γράμμα ξέσας
εὗρεις ἐν αὐτῷ τὸν φόνον γεγραμμένον.]

159. σφαλερὸν] ἐπισφαλὴς φυλακὴ πόλεως ὑπάρχουσιν.

164. ὑπὸ τοιούτων] τοιοῦτοι ἄνδρες θορυβοῦσι κατὰ σοῦ, λοιδοροῦσί σε.

169. αἰγυπιὸς, εἶδος ἀετοῦ, ὃν φασιν ἐν μεθορίῳ εἶναι ἀετοῦ καὶ γυπὸς, ὡς καὶ τὸ ὄνομα μαρτυρεῖ.

173. ὦ μεγάλα—ἐμᾶς] διὰ μέσου οἱ δύο στίχοι οὗτοι. τὸ δὲ ἐξῆς· ἦ ῥά σε Ἄρτεμις ὥρμησε πανδήμους ἐπὶ βοῦς. τὸ πᾶν τοιοῦτόν ἐστιν· ὄντως δὴ ἡ Ἄρτεμις τοῦ Διὸς, θυγάτηρ δηλονότι, παρώρμησέ σε ἐπὶ τὰς πανδήμους βοῦς τὰς ἀγελαίας, ἢ διὰ χάριν τινὸς νίκης ἀκερδῆ, καὶ ἀχάριστον, καὶ ἀθυσίαστον, ἢ ψευσθεῖσα, ἤγουν μὴ τυχοῦσα ἐν τοῖς δώροις καὶ κέρδεσι τῶν ἐνδόξων σκύλων, ἢ ἐν ταῖς ἐλαφηβολίαις, ἤγουν μὴ μετέχουσα θυσιῶν ἐκ τῶν γενομένων, ἐλαφηβολιῶν, ἢ ὁ χαλκοθώραξ Ἄρης, ποιὰν μομφὴν ἔχων κατὰ σοῦ ἕνεκα κοινῆς συμμαχίας, ἀπέδωκέ σοι βλάβην νυκτεριναῖς μηχαναῖς. οὐ γὰρ οἴκοθεν ἔβης ἐπὶ τὰ ἀριστερά.

183. φρενόθεν] ἤγουν οἴκοθεν, ἀπὸ οἰκείας γνώσεως. ἀριστερὰ] ἄτοπα, καὶ ἀπρεπῆ, μωρά.

185. ἐν ποίμναις πιτνῶν] ἐμπίπτων, ἐπιτιθέμενος ταῖς ποίμναις. τὸ δὲ πιτνῶν ἔμφασιν ἔχει καταφορᾶς.

186. τὸ δὲ ἥκοι, ἀντὶ τοῦ ἦλθεν ἄν.

188. ὑποβαλλόμενοι] ὑποσπείροντες. κλέπτουσι] λανθάνουσι. ἤγουν εἰ δολίως καὶ λάθρα σπείρουσι λόγους Ἀγαμέμνων καὶ Μενέλαος, ἢ ὁ τῆς γενεᾶς τῶν Σισυφιδῶν τῆς ἀσώτου, τουτέστι τῆς φαύλης, τῆς ἐξώλους, ἤγουν ὁ Ὀδυσσεύς.

194. ἄνα] ἀντὶ τοῦ ἀνάστα. ἀγωνίῳ σχολᾷ] ἀγωνίαν ἐμποιούσῃ ἀνέσει· ἄταν οὐρανίαν φλέγων] εἰς οὐράνιον ὕψος ἀνάπτων τὴν βλάβην.

197. ἐχθρῶν δ' ὕβρις] ἡ κατὰ σοῦ φήμη ὑπὸ τῶν ἐχθρῶν λεγομένη. καγχαζόντων] ἐπιγελώντων, βλασφημούντων. ἄχος] λύπη.

201. ἀρωγοὶ] ἐπιμεληταί. χθονίων] αὐτοχθόνων. Ἐρεχθειδᾶν] τουτέστι τῶν Ἀθηναίων. Ἐρεχθεῖδαι δὲ οὗτοι ἀπὸ τοῦ Ἐρεχθέως.

ἡμέρας; λέχος δουριάλωτον] γυναῖκα αἰχμάλωτον. στέρξας] ἀγαπήσας. ἀνέχει] τιμᾷ. θούριος] ὁ ὁρμητικός· Θούριον δὲ οὐδετέρως, πόλις, ἡ καὶ Σύβαρις. ἄϊδρις] ἀγνοοῦσα, μὴ εἰδυῖα. ὥστ' ἀκριβῶς ἂν εἴποις, τὸ πᾶν εἰδυῖα.

214. ἄρρητον] τὸ μὴ δυνατὸν ῥηθῆναι, καὶ τὸ μὴ ἄξιον ῥηθῆναι. μανίᾳ ἁλοὺς] ὑπὸ μανίας κρατηθείς. νύκτερος] ἀντὶ τοῦ νύκτωρ. ὅμοιον τῷ, ἧσυχοι θάσσουσιν, ἀντὶ τοῦ ἡσύχως. ἀπελωβήθη] ἐφύβριστα ἔπαθε. ἐνυβρίσθη καὶ λωβητὸς γέγονε. χειροδάϊκτα] χειρὶ κατατετμημένα. αἱμοβαφῆ] ὑφ' αἵματος βεβαμμένα, ἃ ἐκεῖνος ἐσφαγίασε.

222. ἀνδρὸς ἀγγελίαν] ἀγγελία τινὸς λέγεται ἣν ἂν ἀγγείλῃ τις ὑπ' ἐκείνου πεμφθεὶς, καὶ ἣν εἴπῃ τις περὶ ἐκείνου, οὐχ ὑπ' αὐτοῦ ἀποσταλείς. αἴθοπος] διαπύρου. ἄτλατον] ἀνυπομόνητον, ἀφόρητον. ὁ μέγας μῦθος] ἡ μεγάλη καὶ πλατεῖα φήμη. τὸ προσέρπον] τὸ ἀκόλουθον, τὸ ἑπόμενον. περίφαντος] φανερός. θανεῖται παραπλήκτῳ χερὶ] ἤγουν διὰ τῆς αὐτοῦ ἰδίας χειρὸς τῆς μανικῆς. ἔμπληκτος, καὶ ἀπόπληκτος, καὶ παραπλὴξ ταυτόν.

235. ὧν τὰ μὲν εἴσω] μὴ ξενισθῇς, εἰ πρὸς τὸ ποίμνην, ἐνικὸν ὄν, τὰ μέν καὶ τὰ δέ ἀποδίδωσιν. ὥσπερ γὰρ λέγομεν, αἰτίαν ἐπάγει ὁ δεῖνα τῷ δεῖνι, τὰ μὲν ὡς προδότῃ, τὰ δὲ ὡς συκοφάντῃ· κατὰ τὸν αὐτὸν τρόπον γίνεται καὶ ἐνταῦθα. καὶ ἕτερα μυρία τοιαῦτα εὑρήσεις πανταχοῦ. μαρτυρεῖ δὲ καί τις τῶν λογοποιῶν λέγων οὕτω "καὶ "ζημίας, τῆς μὲν ἀπὸ τοῦ τὴν χεῖρα ἀργεῖν, τῆς δὲ ἀπὸ τῆς τοῦ "ὀφθαλμοῦ καχεξίας." ἄλλως τε καὶ ποίμνην εἶπεν, ὅ ἐστιν εἶδος περιληπτικὸν, καὶ πάλιν ἐν τῇ διαιρέσει, τὸ ὧν προσέταξε, δεικνὺς ὅτι ἡ ποίμνη πλῆθος δηλοῖ, ὥσπερ γένος τῶν ὕστερον. λέγει δὲ καὶ ὁ Λιβάνιός που κατὰ τὸ σχῆμα τοῦτο "Εἰ φίλῳ τῷ μὲν χαριοῦμαι, τὸν "δὲ προσλήψομαι." δίχ' ἀνερρήγνυ] δίχα ἀντὶ τοῦ χωρὶς, καὶ ἀντὶ τοῦ εἰς δύο μοίρας. ἀργίπους] ταχύπους, ἢ λευκόπους. ἀνελὼν] ἀνελόμενος, βαστάσας. γλῶσσαν ἄκραν] τὸ ἄκρον τῆς γλώσσης. ὅμοιον τῷ, μέσος κατέχῃ, ἀντὶ τοῦ κατὰ μέσον. ῥίπτει] ῥίπτειν, τὸ ἁπλῶς ῥίπτειν. ῥιπτεῖν δὲ, τὸ μετὰ σφοδρότητος. ῥυτῆρα] τὸ κοινῶς λωροκάπιστρον. ῥυτῆρες κυρίως οἱ λῶροι τοῦ χαλι-

245. ὥρα τιν' ἤδη] καιρός ἐστιν ἤδη τινά, τουτέστιν ἕκαστον ἡμῶν, κρυψάμενον καλύμμασι τὴν κεφαλήν, ἀρέσθαι κλοπὴν διὰ τῶν ποδῶν, ἤγουν φεύγειν διὰ ξηρᾶς· ἢ ἑζόμενον κατὰ τὸν ταχὺν ζυγὸν τῆς κωπηλασίας, μεθεῖναι ἑαυτὸν, καὶ ἀπολῦσαι διὰ νηὸς ποντοπόρου. ζυγὸν ἑζόμενον] μὴ λάβῃς εἰς τὸ ζυγὸν ἔξωθεν τὸ εἰς, ἀλλ' οὕτω λέγε· ἑζόμενον ζυγόν. καθῆσθαι γὰρ καθέδραν φαμέν. ζυγὸς, ἔνθα καθήμενοι κωπηλατοῦσι. ποντοπόρῳ ναὶ μεθεῖναι] διὰ ποντοπόρου νηὸς εἰς θάλατταν ἀφεῖναι ἑαυτόν. λιθόλευστον Ἄρη] λιθόβλητον φόνον.

256. ἀπέλαστος, καὶ κατὰ συγκοπὴν ἄπλαστος, ἡ ἀπλησίαστος, τουτέστι κακὴ, ἡ μὴ παραχωροῦσα πλησιάζειν αὐτῇ.

257. οὐκ ἔτι] ἔχει δηλονότι αὐτὸν κακὴ μοῖρα. τὸ πᾶν τοιοῦτον· ἔληξε γὰρ ὥσπερ ὀξὺς νότος ὁρμήσας χωρὶς ἀστραπῆς. παραπράξαντος] παραπλήσια παθόντος. ὑποτείνει] αἴρει, ἐγείρει, ὑποβάλλει. ἐξέτεινεν, ἀντὶ τοῦ ἐξεπλήρωσεν. ὑπέτεινεν, ἀντὶ τοῦ κάτωθεν εἰς ὕψος ἔτεινεν. διατείνεσθαι δὲ, τὸ διϊσχυρίζεσθαι.

263. εἰ πέπαυται ὁ Αἴας τῆς μανίας, κομιδῆ νομίζω εὐτυχήσειν. ἀφανοῦς γὰρ ὄντος τοῦ κακοῦ οὐδεμία φροντίς.

265. αἵρεσιν] πρόκρισιν. ἀνιῶν] ἀνιῶ τινα, τὸ κακῶς ποιῶ αὐτόν. καὶ ἀνιῶ τινα, ὅταν κακῶς ἔχω, ὁ δὲ συναλγεῖ τῷ ἐμῷ πάθει, καθὸ λέγεται ἐνταῦθα. ἢ κοινὸς] ἀντὶ τοῦ, κοινῇ λυπεῖσθαι ἐν φίλοις κοινῇ λυπουμένοις, τουτέστιν ὁμοῦ τοῖς φίλοις λυπεῖσθαι.

268. τό τοι διπλάζον] τουτέστι τὸ λυπεῖν καὶ τὸ λυπεῖσθαι, μεῖζον κακὸν, δηλονότι τοῦ ἁπλοῦ.

269. ἡμεῖς] τοῦτο λέγει ἡ Τέκμησσα, ὡς ἀπὸ τοῦ προσώπου τοῦ Αἴαντος. ἀτώμεσθα] βλαπτόμεθα.

273. φρονοῦντας] σωφρονοῦντας. ἀνέπνευσε] ἄνεσιν ἔσχε. λύπῃ ἐλήλαται] ἐλαύνεται ὑπὸ λύπης. ἡμεῖς θ' ὁμοίως] ἐλαυνόμεθα κακῇ λύπῃ.

278. συνομολογῶ σοι, καὶ φοβοῦμαι μή τις ἦλθεν ἐκ θεοῦ πληγή. πῶς γὰρ, ἐπεὶ πεπαυμένος ὁ Αἴας τῆς μανίας μηδέν τι μᾶλλον εὐφραίνεται, ἢ ὅτε ἦν μαινόμενος, ἀλλ' ἔτι ἐν μεγάλῃ λύπῃ διάγει;

283. ξυναλγοῦσιν τύχας] συναχθομένοις κατὰ τὰς δυστυχίας.

ματαιας. ἐξοδος, ἡ ἐξέλευσις· ἐκφορὰ δὲ ἐπι νεκρου.

288. ἐπιπλήσσω καὶ λέγω] ἀντὶ τοῦ ἐπέπληξα, ἐπετίμησα καὶ ἔλεξα.

292. βαιὰ] ὀλίγα. ὑμνούμενα] ᾀδόμενα. κόσμον] καλλωπισμόν.

294. μαθοῦσα] ἀκούσασα.

296. συνδέτους] πόδας καὶ χεῖρας δεδεσμημένους. ηὐχένιζε] ἐλαιμοτόμει, τὸν τράχηλον ἀπέκοπτεν. ἄνω τρέπων] ἀνατρέπων, ἤγουν ὑπτίους τιθείς. καὰρράχιζε] καὶ ἐδίχαζε. ᾐκίζεθ᾽] ἐμάστιζε. ἐν ποίμναις πιτνῶν] ἀντὶ τοῦ, ἐμπιτνῶν ταῖς ποίμναις, ἐπιτιθέμενος.

301. ὑπάξας] κρυφίως ὁρμήσας. ἀνέσπα] σφοδρῶς, μετὰ βίας καὶ δεινοπαθείας ἀνέπεμπε. ἐκτίσαιτ᾽] ἀπέλαβεν.

306. ἔμφρων καθίσταται] ἐν καταστάσει φρονήσεως ἐγένετο. μόλις ξὺν χρόνῳ] σὺν βίᾳ, βραδέως. πῶς] κατά τινα τρόπον.

308. ἐρειπίοις] πτώμασι. ἐρειφθεὶς] πεσών.

309. νεκρῶν ἀρνείου φόνου] ἤγουν νεκρῶν ἔργον ὄντων φόνου. φόνου δὲ ἀρνείου ἤγουν εἰς ἄρνας γενομένου, τουτέστι νεκρῶν ἀρνῶν πεφονευμένων.

310. ἀπρὶξ] ὅλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς, προσπεφυκότως, ᾗ οὐχ οἷόν τε πρῖσαι διὰ σύμφυσιν.

ἀπρὶξ ὄνυξι] τὸ διὰ τῶν ὀνύχων στερρῶς κρατεῖν, καὶ μὴ ἀπολύειν.

311. καὶ τὸν μὲν] κατὰ μὲν τὸν πλεῖστον χρόνον ἐκάθητο ἄφωνος.

313. εἰ μὴ φανοίην] εἰ μὴ δείξαιμι, ἐξείποιμι.

319. βαρυψύχου] οἱ λέγοντες τὸ βαρυψύχου ἀντὶ τοῦ γενναίου, καὶ διὰ τοῦτο προστιθέντες τὸ οὐ, τἀληθὲς ἠγνοήκασι. βαρύψυχος γὰρ, ὁ βαρεῖαν καὶ λιθώδη καὶ ἀκίνητον ἔχων ψυχὴν, ἀλλὰ μὴ πρὸς πόλεμον ὁρμητικὴν καὶ πρόθυμον.

320. ἐξηγεῖτ᾽ ἔχειν] ἡρμήνευεν εἶναι. ἤγουν τοὺς τοιούσδε γόους ἀεί ποτε ἡρμήνευεν εἶναι, ἰδίους δηλονότι, ἀνδρὸς κακοῦ καὶ βαρυψύχου. ἐξήγησις ἐπὶ θείων, ἑρμηνεία δὲ ἐπὶ τῶν τυχόντων.

321. ἀψόφητος ὀξέων κωκυμάτων] ἤγουν ὑψηλῶν. ὅμοιον τῷ (Ἠλέκ. 36.) "ἄσκευον ἀσπίδος τε καὶ στρατοῦ." τὸ ὀξὺ ἐπὶ μὲν φω-

322. βρυχώμενος] τὸ βρυχᾶσθαι κυρίως ἐπὶ φωνῆς τῶν λεόντων λέγεται.

326. δρασείων] ἀντὶ τοῦ θέλων καὶ μέλλων ποιῆσαι. τὸ γὰρ δρασείω, τυψείω, πολεμησείω, καὶ τὰ τοιαῦτα, ἀπὸ ἐνεστώτων καὶ μελλόντων τινῶν ἄλλων ῥημάτων παράγονται. ἐκ μὲν τοῦ δράσω μέλλοντος τὸ δρασείω, καὶ ἐκ τοῦ τύψω τὸ τυψείω, καὶ ἐκ τοῦ πολεμήσω τὸ πολεμησείω. ἐκ δὲ τοῦ χρῶ ἐνεστῶτος τὸ χρείω· καὶ ἐκ τοῦ κίχω τὸ κιχείω. καλοῦνται δὲ ἐφεκτικὰ, καὶ σημασίαν ἔχουσιν ἀεὶ μέλλοντος.

328. ἐστάλην] ἤγουν ἐπορεύθην. λέγεται δὲ τὸ ἐστάλην κυρίως ἐπὶ θαλάσσης, οἷον ἐστείλατό τις τόνδε τὸν πλοῦν.

330. οἱ τοιοίδε γὰρ φίλοι, ἤγουν ὁποῖοι ἐστὲ ὑμεῖς, νικῶνται φίλων, ἤγουν ἡττῶνται. ἡττᾶται δὲ ὁ ἐρῶν τινὸς καὶ πολλὴν ἀγάπην εἰς αὐτὸν τρέφων, κρατεῖ δὲ ὁ ἐρώμενος.

334. μᾶλλον] ἀλγεῖ δηλονότι. θωΰσσει] βοᾷ.

342. Τεῦκρον καλῶ] εἰπὼν παῖ παῖ, μεταπίπτει εἰς ζήτησιν τοῦ Τεύκρου, ὑπ' ἀμηχανίας, ὥσπερ ἐπιλαθόμενος ἐκείνου. ἢ τὸν εἰσαεὶ] ἤγουν κατὰ τὸν ἑξῆς χρόνον πάντα. τὸ ἀεί λέγεται ἐπὶ ἐνεστῶτος, καὶ παρεληλυθότος, καὶ μέλλοντος· τὸ δὲ εἰσαεί, ἐπὶ μέλλοντος ἀεί. λεηλατήσει] λείαν ἐλάσει, λαφυραγωγήσει, λῃστεύσει, πορθήσει, ἁρπάσει.

350. ὀρθῷ νόμῳ] ὀρθότητι, ὥσπερ εἴ τις εἴποι, ἐν εὐθείᾳ στάθμῃ, ἤγουν εὐθύτητι. νόμος ἐστὶν ἔγγραφος συνήθεια· συνήθεια δὲ ὁ ἄγραφος νόμος.

351. ἴδεσθε] σκοπήσατε ὁποῖον κῦμα περίδρομον ὑπὸ μανίας φοινικῆς κυκλεῖται, ἤγουν ποντίζει ἐμὲ ἄρτι. κυκλέω κυκλῶ, τὸ στρέφω· κυκλόω δὲ κυκλῶ, τὸ περιλαμβάνω.

354. μαρτυρεῖν] κατήγορος ἐστὶ μάρτυς κακῶν. μάρτυς δὲ καὶ μαρτυρεῖν ἐπὶ καλοῦ. ἐνταῦθα δὲ τὸ μαρτυρεῖν ἐπὶ τοῦ ἁπλῶς λέγειν λαμβάνεται. ἀφροντίστως ἔχει] ἀλόγως, χωρὶς λογισμοῦ διάκειται.

357. ἁλίαν ὃς ἐπέβας] ἤγουν ὃς ἐπέβης, τῶν νεῶν δηλονότι, ἐλίσσων, ἤγουν ἐλαύνων πλάτην ἁλίαν. ὁμοῦ δὲ ἑλίσσων πλάτην ἁλίαν,

362. μὴ
ἄκος κακὸν τ
369. νέμο
μομαι δὲ, τ
καὶ νέμομαι,
371. ὕπει
372. χερ
374. ἐλίκ
ἐνώτια λέγοι
ἢ διανγές, ἐ
381. πίνα
384. ἀτώ
ἀταρτηρὸς, ὁ
καὶ τὸ παθη
386. μηδ
387. πρό
ἔκγονος, καὶ
γεννημένοι, ἃ
δὲ πρόγονοι
δὲ λέγονται
Αἴαντος ὁ Ζ
λεὺς καὶ Τε
392. εὔχ
χὴν ποιοῦμα
395. ὡς
396. ἑλοῖ
ἔλαβεν. ἐντ
402. αἰκί
405. τὰ
407. μώ
χρήσατο.
408. δίπο



τὸ συντελοῦν εἴς τι. θέλει οὖν ἐνταῦθα δεῖξαι ὅτι ἀσυντελὲς φωνεῖν τοιάδε ἄνδρα, ἃ οὐδέποτε οὗτος πρότερον ὑπέμεινεν ἂν φωνῆσαι.

413. πάραλα] ἤγουν παράλια, τουτέστι παραθαλάσσια.—νέμος ἐπάκτιον] χωρίον παραθαλάσσιον, νομὴν ἔχον εἰς βόσκησιν. ἀκτὴ ὁ κρημνώδης τόπος ἐν θαλάσσῃ· αἰγιαλὸς δὲ ὁ ἐπίπεδος καὶ ὁμαλός.

415. κατείχετε] εἴχετε. κατέχειν γὰρ λέγεται τὸ κρατεῖν, καὶ ἔχει ἐναντίον τὸ ἀπολύειν. ἀλλ' οὐκ ἔτι μ'] ἔξετε δηλονότι.

420. εὔφρονες] ἡδεῖς, εὐφροσύνην ποιοῦσαι διὰ τὸ ποτόν. ἔμφρων ὁ φρόνιμος, εὔφρων δὲ ὁ ἡδύς.

423. οὔ τινα] οὐδένα, ἄλλον δηλονότι, ἀπὸ τοῦ στρατοῦ ἡ Τροία εἶδεν.

428. ἀπείργω τινὰ βουλόμενον ἐνεργεῖν τι, ἀνείργω δὲ τὸν ἀρξάμενον καὶ ὁσονοῦν τοῦ ἔργου ἀνύσαντα. ἀντὶ τοῦ ἀναστέλλω.

431. ξυνοίσειν] συμβήσεσθαι.

435. τὰ πρῶτα καλλιστεῖα] τὰ τιμιώτατα τῶν γερῶν. εἴληφε γὰρ τὴν Ἡσιόνην παρὰ τοῦ Ἡρακλέους. ἀριστεύσας] ἕνεκα ἀριστείων εἰληφώς.

πρεσβεῖον, ἡ διὰ γῆρας προτίμησις, καὶ τὸ δι' αὐτὸ διδόμενον γέρας κατὰ προτίμησιν. ἀριστεῖον, τὸ ἕνεκα ἀριστείας γέρας. καλλιστεῖον, τὸ ἐκλεγὲν τινὶ γέρας. πρωτεῖα, τὰ τῆς πρώτης τάξεως γέρα· δευτερεῖα, τὰ τῆς δευτέρας.

441. ἐξεπίστασθαι δοκῶ] γιγνώσκειν νομίζω.

444. οὐκ ἄν τις] οὐδεὶς ἄλλος κατέσχεν ἂν ταῦτα πρὸ ἐμοῦ ἐν ταῖς ἀριστείαις.—καίτοι τοσοῦτόν γε δοκῶ γιγνώσκειν, ὅτι εἰ ὁ Ἀχιλλεὺς εἴη ζῶν, καὶ ἔμελλε κρίνειν, ἤγουν κρίσιν καὶ ἀγῶνα ποιῆσαι περὶ τῶν ἰδίων ὅπλων, καὶ διδόναι τινὶ κράτος καὶ βραβεῖον ἕνεκα ἀριστείας, αὐτὰ τὰ ὅπλα, οὐκ ἄν τις ἄλλος ἀντ' ἐμοῦ ἔμαρψεν αὐτὰ, τὰ ὅπλα δηλονότι.

448. ἀπῆξαν] ἀπήγαγον. γράφεται καὶ ἀπεῖρξαν, ὅ ἐστιν ἐκώλυσαν.

449. ψηφίζω, τὸ λογαριάζω· ψηφίζομαι δὲ, τὸ ψήφους τίθημι.

451. χεῖρ' ἐπεντύνοντ'] εὐτρεπίζοντα. ἔσφηλεν] παρέτρεψεν, σφαλῆναι ἐποίησεν. βλάπτοι] ἐμποδίζοι. ὁ δειλὸς φύγοι ἂν τὸν

διωκόμενον, ἢ ὅταν παροραθῇ λαθόν, ἢ ὅταν κρατηθὲν διολισθήσῃ.

458. ἐχθαίρομαι] ἀπὸ τοῦ ἔχθω τὸ μισῶ, ἔχθος, τὸ μῖσος, καὶ ἐχθαίρω, τὸ μισῶ, καὶ ἐχθαίρομαι, τὸ μισοῦμαι.

460. ναύλοχοι λιμένες, ἔνθα δηλονότι αἱ νῆες ἵστανται κατὰ λόχον, τουτέστι κατὰ τάξιν· καὶ ἀπὸ τούτου ναύλοχοι ἕδραι, αἱ ναυτικαί.

464. τὸ γυμνὸν καὶ τὸ ἄτερ ἐκ παραλλήλου, ἀντὶ τοῦ, μεμονωμένον καὶ κεχωρισμένον τῶν ἀριστείων, ἤγουν τῶν ἕνεκα ἀριστείας γερῶν.

467. ἔρυμα, καὶ φρούριον, καὶ πολίχνιον, ταὐτόν.

ξυμπεσὼν] συμπεσεῖν τὸ συνελθεῖν εἰς μάχην, προσπεσεῖν τὸ ἐξαίφνης μὴ εἰδότα τινὰ ἀποκτεῖναι.

470. οὐκ ἔστι ταῦτα] οὐδέν εἰσι ταῦτα, ἤγουν οὔτε τὸ τὰς ἕδρας ναυλόχους λιπεῖν καὶ ἀπιέναι πρὸς τὸν πατέρα, οὔτε μὴν τὸ εἰς μάχην συνελθεῖν, εἶτα τελευταῖον ἀπιθανεῖν.

472. σπλάγχνον, ἡ καρδία, ἀφ' οὗ καὶ εὔσπλαγχνος, ὁ εὐκάρδιος καὶ ἀνδρεῖος· ἄσπλαγχνος δὲ, ὁ ἀκάρδιος καὶ δειλός.

473. αἰσχροῦ δὲ εἴδη τέτταρα, ἄδικον, δειλὸν, ἄκοσμον, ἄμορφον.

475. τί γὰρ παρ' ἦμαρ] τί γὰρ ἔχει τέρπειν ἡμέρα, προσθεῖσα, ἑαυτὴν δηλονότι, παρ' ἦμαρ, ἤγουν φωτισθεῖσα, ἐπὶ ἦματι, καὶ ἀνεθεῖσα τοῦ κατθανεῖν, ἤγουν ἀπολυθεῖσα καὶ ἐλευθερωθεῖσα τοῦ θανάτου; παρ' ἦμαρ] ἐπ' ἦματι. τέρπειν] εὐφραίνειν. ἔχει] δύναται. προσθεῖσα] παρατεθεῖσα, προσθήκην ποιήσασα ἑαυτὴν δηλονότι. κἀναβεῖσα] ἀναβολὴν ποιήσασα, ὅθεν καὶ ἀνάθεσις ἡ ὑπέρθεσις.

478. θερμαίνεται] ἤγουν θαρρεῖ, καθ' ὃ λέγεται θάλπον παρ' Ὁμήρῳ τὸ θάρσος, κατ' ἐναντιότητα τοῦ δέους, ὃ ψυχρὸν αὐτὸς λέγει· "Ψυχρὸν δέος εἶλεν."

480. τὸν εὐγενῆ] τὸν μεγαλοπρεπῆ, γενναῖον. εὐγενεῖς, ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. καὶ ἀπὸ τούτου κατὰ μεταφορὰν καὶ εὐγενὴς ὁ μεγαλοπρεπὴς καὶ γενναῖος, καὶ εὐγενὲς ἦθος τὸ ἀστεῖον καὶ πεπαιδευμένον καὶ ὄγκον ἔχον, καὶ εὐγενὴς ψυχὴ, καὶ εὐγενὴς λόγος.

481. ὑπόβλητον] ὑποβολιμαῖον, νόθον.

485. τῆς ἀναγκαίας τύχης] τῆς δουλικῆς, τῆς ἐξ ἀνάγκης γενομένης.

σοι εἰμί. τὸ φρονῶ αἰτιατικῇ συντάσσεται, καὶ τὸ εὖ φρονῶ, ἐπεὶ διαλελυμένον ἐστί· τὸ δὲ εὐφρονῶ δοτικῇ ἐνίοτε καὶ αἰτιατικῇ.

492. ἀντιάζω] ἀντιβολῶ. ἐφεστίου Διός] τοῦ τιμωμένου ἐν τῇ οἰκίᾳ καὶ ἐφορῶντος τὴν συνοίκησιν ἡμῶν. Ἐφέστιον Δία προτείνουσιν οἱ συνοικοῦντες· οἱ δὲ φίλοι Φίλιον· οἱ δὲ ἐν μιᾷ τάξει καταλεγόμενοι καὶ μιᾷ συμμορίᾳ, Ἑταιρεῖον· οἱ δὲ ξένοι, Ξένιον· οἱ δὲ ἐν ὅρκοις συμφωνίας ποιοῦντες, Ὅρκιον· οἱ δὲ δεόμενοι, Ἱκέσιον· οἱ δὲ ἀδελφοὶ, Ὁμόγνιον.

494. βάξιν ἀλγεινὴν] κλῆσιν, φήμην λυπηράν.

495. ὑπ' ἐχθρῶν χειρίαν] ἤγουν ὑποχειρίαν ἀφείς τινι τῶν σῶν ἐχθρῶν.

496. τελευτήσας] τὸν βίον δηλονότι, ἀποθανών. τελευτῶ τὸ ἔργον, καὶ τελευτῶ, ἀντὶ τοῦ ἀποθνήσκω, ἐφ' ᾧ συνυπακούεται τὸν βίον, ἵν' ᾖ, τελευτῶ τὸν βίον. καὶ τελευτῶ γὰρ λέγεται καὶ τελευτῶ τὸν βίον, ὥσπερ καταστρέφω καὶ καταστρέφω τὸν βίον· ἔστι δὲ τελευτᾶν καὶ τὸ καταστρέφειν, καὶ ἔτι τὸ μεταλλάττειν, τὰ αὐτά· δηλοῖ γὰρ τὸ ἀποθνήσκειν.

501. ἰάπτων] βάλλων, λοιδορῶν, βλάπτων.

503. λατρείας] δουλείας. κυρίως λατρεία δουλεία ἐπὶ μισθῷ. ζήλου] μακαρισμοῦ, εὐδαιμονισμοῦ.

508. πολλῶν ἐτῶν κληροῦχον] πολυετῆ. κληρούχους καὶ τοὺς γεωργοὺς φησὶν Ἡρόδοτος. κληροῦχοι καὶ οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις, ἃς ἐλάμβανον, κλήρους ἑκάστῳ διανέμοντες.

511. τροφῆς] ἀνατροφῆς. λέγει δὲ ἀνατροφὴν, ἣν ἀνατρέφουσιν αὐτὸν ἄλλοι.

διοίσεται μόνος] ἤγουν κομισθήσεται κεχωρισμένος. ὁ νοῦς οὗτος· σοῦ τοῦ Αἴαντος θανόντος, οἱ ὀρφανισταὶ οὐκ ἐάσουσι τὸν Εὐρυσάκην εἶναι σὺν ἐμοὶ, ἀλλὰ διοίσουσιν αὐτὸν μόνον.

512. ὀρφανισταὶ οἱ ἐπίτροποι τῶν ὀρφανῶν· χηρωσταὶ οἱ τῶν χηρῶν.

515. ᾔστωσας] ἠφάνισας. ἀνιστῶ, τὸ πεπτωκὸς ἐγείρω· ἀϊστόω

7—11. Eadem verba leguntur ap. schol. Eurip. Hec. 345. et Lycophronis v. 288. LOBECK.

ῥῆμα.] ἀλλ' ἡ μοῖρα] ἡ εἱμαρμένη. τὸ ἀλλά ἀντὶ τοῦ δέ.

516. ἡ μοῖρα] ἤγουν ὁ κοινὸς θάνατος, ἡ τύχη. καθεῖλεν] κατήγαγε, κατεβίβασε, κατέβαλε.

519. ἔγωγε σώζομαι] ὥσπερ ἄν, εἰ ἐσωζόμην ἐν πᾶσι, σώζομαι ἐν σοί. σώζεται δέ τις ἔν τινι, ὅταν ἐν αὐτῷ ἡ σωτηρία αὐτοῦ ᾖ, ὡς σωζομένου αὐτοῦ δηλονότι, σώζεσθαι καὶ αὐτὸν, ἀπολωλότος δὲ συναπόλλυσθαι.

521. τερπνὸν] τὸ τέρψιν ποιοῦν· χαροποιὸν δὲ, τὸ χαρὰν ἔχον, οἷον χαροποιὸν ὄμμα.

531. καὶ μὴν ἐξελυσάμην αὐτὸν, εἰς τοῦτο δηλονότι, ἵνα σὺ ὁρᾷς αὐτόν. φόβοισι] ἀντὶ τοῦ ἐπὶ τοῖς φόβοις, τουτέστι διὰ τοὺς φόβους ἐξήγαγον αὐτὸν, ῥύσασθαι θέλουσα.

534. πρέπον] εἰρωνικόν.

535. 'φύλαξα] ἐπετήρησα, εἰς τὸ ἐπαρκέσαι, βοηθῆσαι, ὑπηρετῆσαι.

537. τί δῆτ' ἄν] ἤγουν κατὰ τί, ἢ τί δῆτα ἂν ἴσως ἐκ τοῦ φέρειν τὸν παῖδα πρὸς σὲ ὠφελοῖμί σε; τουτέστι τίνα ὠφέλειαν ἔξεις ἐκ τοῦ φέρειν τὸν παῖδα πρὸς σέ; ἐκ τῶνδε] κατὰ τὰ μετὰ ταῦτα. ὠφελοῖμι] ὠφελοίην ἔδει εἰπεῖν· ποιητικῇ δὲ ἀδείᾳ οὕτος οὕτω χρῆται τοῖς εὐκτικοῖς.

538. προσειπεῖν] προσφθέγξασθαι, ἀσπάζεσθαι λόγοις.

540. μέλλει] βραδύνει. παρουσίαν ἔχειν] ὁμοῦ παρεῖναι.

542. ἄγ' αὐτὸν] δεῦρο ἄγε, ἢ κόμιζε, αὐτὸν, ὅστις ἀπὸ τῶν προσπόλων κυβερνᾷς αὐτὸν ταῖς χερσίν.

543. ἕρποντι] ἐρχομένῳ. λελειμμένῳ λόγου] ἔνδειαν ἔχοντι τοῦ σοῦ λόγου, ἤγουν οὐκ ἀκούοντι.

545. αἶρε] κόμιζε, πρόσφερε. φόνον] τὰ πτώματα τῶν ἀρτίως πεφονευμένων ποιμνίων.

547. εἴπερ δικαίως] εἴπερ ἐστὶν ἐμὸς, υἱὸς δηλονότι, ἤγουν ὅμοιος ἐμοὶ, καθὰ ἀπαιτεῖ τὸ δίκαιον. τὰ πατρόθεν] κατὰ τὰ πατρὸς ἰδιώματα, λέγω δὴ ἀνδρείαν καὶ φρόνησιν, καὶ τὸ γενναῖον ἐν συμ-

11. χαροποιὸν] χαροπὸν Lips. utrobique.

ἤθεσι.

549. τὸ πωλοδαμνεῖν] ἐπὶ ἀλόγων λέγεται κυρίως, ἐπὶ δὲ ἀνθρώπων τὸ παιδαγωγεῖν, καὶ τὸ παιδοτριβεῖν λέγεται, ἀφ' ὧν παιδαγωγὸς καὶ παιδοτρίβης, ὁ λεγόμενος βαΐουλος.

554. ἐν τῷ φρονεῖν μηδὲν] ἐν τῷ μηδενὸς ἐπαισθάνεσθαι μήτε λυπηροῦ μήτε ἡδέος.

555. μάθῃς] εἰς τὴν πρέπουσαν ἡλικίαν ἐλθών. πρὸς τοῦτο] ὅταν δ' ἀφίκῃ εἰς τὴν αἴσθησιν τῆς χαρᾶς καὶ τῆς λύπης.

557. ὅπως δείξεις] τὸ ὅπως ἐπὶ παραγγελίας κείμενον οὐδέποτε κατὰ τοὺς Ἀττικοὺς ὑποτάσσει. ἀντὶ γὰρ τοῦ πῶς ἀεὶ κεῖται. οἷος ἐξ οἵου 'τράφης] οὐ πρὸς τὸ ἐξ οἵου λέγεται τὸ ἐτράφης, ἀλλὰ πρὸς τὸ οἷος, οἷον οἷος ἐτράφης. τὸ δὲ ἐξ οἵου, ἀντὶ τοῦ ἐξ οἵου, πατρὸς δηλονότι, γεγονώς. τὸ πᾶν· οἷος ἀνετράφης ἐξ οἵου πατρὸς υἱὸς ὤν.

558. κούφοις πνεύμασιν] ἤγουν ἐλαφροῖς. τουτέστιν ἐλαφρῶς καὶ ἐλευθερίως ἀνάπνει τὸν ἀέρα.

559. ψυχὴν ἀτάλλων] ζωὴν βρεφικῶς διαβιβάζων καὶ τρέφων. ἀτάλλειν γὰρ τὸ νηπιάζειν καὶ σκιρτᾶν. οὔ τοί σ' Ἀχαιῶν] ἤγουν οἶδα ὅτι οὐ μὴ ὑβρίσει σέ τις τῶν Ἀχαιῶν.

561. στυγναῖσι λώβαις] λυπηραῖς ὕβρεσι.

562. πυλωρὸν] ἀπὸ μεταφορᾶς τῶν φυλασσόντων τὰς πύλας. λέγει νῦν τὸν ἀποσοβοῦντα καὶ μὴ ἐῶντα προσβαλεῖν κακόν τι.

563. τροφῆς ἄοκνον ἔμπακα] ἀνατροφῆς πρόθυμον φροντιστήν.

564. τηλωπὸς οἰχνεῖ] μακρὰν διατρίβει, περιέρχεται. τὸ ὄνομα ἀντὶ ἐπιρρήματος. δυσμενῶν θήραν ἔχων] δυσμενεῖς θηρῶν.

566. ἐπισκήπτω χάριν] ἤγουν καὶ ὑμῖν ἐπισκήπτω τήνδε τὴν χάριν ὁμοῦ καὶ ἐκείνῳ ἀγγείλατε τὴν ἐμὴν ἐντολήν. ἐπισκήπτω τήνδε τὴν ἐντολὴν ὤφειλεν εἰπεῖν· ὁ δὲ λέγει τήνδε τὴν χάριν, ἐπεὶ ὅπερ ἐντέλλεται, ὡς χάριν τοῦτο αἰτεῖ παρ' αὐτῶν.

570. γηροβοσκὸς] γηροτρόφος. [τὸ δὲ γηροβοσκῶ γράφεται καὶ

7. Eadem leguntur apud Moschopulum in Lex. Philostrati: v. Ducang. Gloss. vol. 1. p. 168. LOBECK.

13. ἀεὶ addidi ex A. qui habet verba τὸ ὅπως—κεῖται.

572. τεύχη] τεῦχος μὲν τὸ ἀγγεῖον, τεύχη δὲ πληθυντικῶς τὰ ὅπλα.

574. ἀλλ' αὐτό μοι] ἀλλὰ σὺ Εὐρύσακες παῖ ἐμοὶ λαβὼν αὐτὸ τὸ σάκος τὸ ἑπτάβοιον, τὸ ἄρρηκτον, τὸ ἐπώνυμον, σοῦ δηλονότι, ἔχε στρέφων διὰ τοῦ πολυρράφου πόρπακος. ἔστι δὲ πόρπαξ ὁ λῶρος δι' οὗ κατέχουσι τὴν ἀσπίδα, ὃς λέγεται καὶ ὄχανον. [σάκος δὲ οὐδετέρως, ὅπλον, ἀσπίς· σάκος δὲ ἀρσενικῶς, καὶ αὐτὸ δι' ἑνὸς κ, ὁ θύλακος· κωρύκιον δὲ, πλέγμα δεκτικὸν ἄρτων.]

ἑπτάβοιον] ἤγουν ἑπτάβυρσον.

579. ἀπάκτου] ἄγω, ἄξω, ἀγήοχα, ἦγμαι, ἦκται. ἀκτὸν ὄνομα, καὶ ἀπὸ τούτου ἀπακτόω, ἀπακτῶ, ῥῆμα. ἐπισκήνους] θρήνους λέγει, ἐπεὶ καὶ ἐπιτάφιοί εἰσι θρῆνοι, καὶ ἐξόδιοι. ἐπίσκηνοι δὲ θρῆνοι οἱ ἐπὶ τῆς σκηνῆς.

581. θᾶσσον] ταχύτερον. λαμβάνεται δὲ ἐνταῦθα ἀντὶ τοῦ ταχέως. οὐ πρὸς ἰατροῦ σοφοῦ] ἀντὶ τοῦ, οὐκ ἴδιον ἰατροῦ σοφοῦ ἐπῳδαῖς χρῆσθαι, τοῦ τραύματος ἤδη τομῆς δεομένου.

582. τομῶντι] τομῆς ἐπιθυμοῦντι καὶ δεομένῳ νοσήματι, ὡς τὸ θανατῶντι, βασιλειῶντι. τὰ γὰρ τοιαῦτα δευτέρας ὡς ἐπίπαν συζυγίας τῶν περισπωμένων ἐστίν. ἔστι δὲ γλυκύτατον τὸ λέγειν τραῦμα τομῆς ἐπιθυμεῖν, ὥσπερ εἰ αἴσθησιν εἶχε.

584. οὐ γάρ μ' ἀρέσκει] οὐκ ἀρέσκουσιν ἐμοὶ οἱ λόγοι σου θρασεῖς ὄντες. τὸ ὄργανον γὰρ λέγει τῶν λόγων, ἀντὶ τῶν λόγων. θρασείεις] ἐπιθυμεῖς δράσειν.

588. καὶ θεῶν] συνίζησις. ἱκνοῦμαι] τὸ παρακαλῶ· ἀφικνοῦμαι δὲ τὸ παραγίνομαι. προδοὺς] προδίδωμι, ἐπὶ προδοσίας, ἀφ' οὗ προδότης· καὶ προδίδωμι, τὸ καταλιμπάνω, ὡς ἐνταῦθα.—μὴ προδῷς, μὴ καταλίπῃς.

590. οὐκ οἶσθα ὅτι ἐγὼ οὐκέτι, ἤγουν οὐδαμῶς, εἰμὶ ὀφειλέτης ἐπαρκεῖν, ἤγουν ὑπηρετεῖν τοῖς θεοῖς.

596. ὦ κλεινὰ Σαλαμὶς] ἐνταῦθα ἐμιμήσατο τὸ ἦθος τῶν ἀφεστώτων τῆς οἰκείας. ὁπόταν γάρ τι δυσχερὲς ἀπαντᾷ, μακαρίζειν

20. τομῆς—νοσήματι addidi ex A. ὡς ἐπίπαν vulgo. Quæ post σ. ἐστίν
21. ὡς ἐπίπαν συζυγίας A. συζυγίας sequuntur non habet A.

ποις περιφανὴς διόλου· ἐγὼ δὲ ὁ ἄθλιος μακρὸς καὶ πολύς ἐστιν ὁ χρόνος ἀφ' οὗ προσμένω τῇ γῇ ταύτῃ τῇ Τρωϊκῇ, λειμῶνας ἐχούσῃ εἰς βοσκημάτων νομὴν ἐπιτηδείους, οὐδενὸς λόγου ἀξιούμενος, διόλου τηκόμενος καὶ δαμαζόμενος τῷ χρόνῳ τῷ εὐκινήτῳ, ἔχων κακὴν ἐλπίδα καὶ φόβον, τελέσειν ποτὲ τὴν ὁδὸν, καὶ διελθεῖν ἐμὲ εἰς τὸν Ἅιδην τὸν μισητὸν καὶ σκοτεινόν. καὶ ὁ Αἴας συνυπάρχει μοι, δυσίατος, ἤγουν δυσκόλως ἰαθῆναι δυνάμενος, ἐπικαθήμενος ἀεὶ τῇ οἰκίᾳ· ἰώ μοι, διὰ μέσου· ξύνοικος τῇ ἀπὸ θεοῦ γενομένῃ μανίᾳ· ὅντινα ἐξέπεμψας σὺ, ὦ Σαλαμὶς δηλονότι, πρότερον δήποτε ἀριστεύοντα ἐν πολέμῳ τῷ ὁρμητικῷ. νῦν δὲ μόνος ἀποπλανηθεὶς τῆς οἰκείας γνώσεως καὶ διανοίας, εὑρίσκεται μεγάλη λύπη τοῖς φίλοις αὐτοῦ. τὰ δὲ πρότερον αὐτοῦ ἔργα, τὰ διὰ τῶν χειρῶν αὐτοῦ γενόμενα, ὄντα μέγιστα τῆς ἀρετῆς, ἀχάριστα συνῆλθον καὶ συνέβησαν παρ' αὐτοῖς ἀχαρίστοις καὶ ἀγνώμοσι καὶ ἀθλίοις υἱοῖς τοῦ Ἀτρέως.

597. ναίεις] ἐνεργητικὸν ἀντὶ παθητικοῦ ναίῃ. ἁλίπλακτος] ἀντὶ τοῦ ἁλίκλυστος. ἁλίπλακτος ἀντὶ τοῦ ἁλιπλάκτως, ἤγουν ἐν θαλάσσῃ ἀτακτούσῃ περὶ σέ.

602. λειμωνίᾳ ποίᾳ] ὅμοιον τῷ "Τελαμώνιε παῖ." λειμωνία γὰρ ἡ ἐν λειμῶνι χλόη. μήλων] γενικὸν ὄνομα τοῦτο παρ' Ὁμήρῳ. εἰπὼν γὰρ οἵτος (Ὀδ. ι', 184.) μῆλα ἐπάγει ὄϊές τε καὶ αἶγες.

604. ἀνήριθμος] ἤγουν οὐδενὸς λόγου ἀξιούμενος. εὐνόμᾳ] εὐκινήτῳ, ἢ τῷ καλῶς μεριζομένῳ χρόνῳ εἰς τέσσαρα, ἔαρ, θέρος, μετόπωρον καὶ χειμῶνα.

605. τρυχόμενος] ὑπὸ τοῦ εὐκινήτου χρόνου ἀεὶ δαμαζόμενος, κακοπαθῶν.

606. κακὰν ἐλπίδα] ἤγουν φόβον ἔχων, ἀνύσειν ἐμὲ ἔτι ποτὲ τὸν Ἅιδην, τουτέστι λήψεσθαι σπεύδοντα εἰς τοῦτο. ἀνύω τὴν ὁδὸν, ἀντὶ τοῦ τελειῶ· καὶ ἀνύω τὸ βραβεῖον, ἤγουν σπουδάσας λαμβάνω, καθ' ὃ λέγεται ἐνταῦθα.

608. τὸν ἀπότροπον] τὸν ἀποτρόπαιον, ἤγουν τὸν ἀποστροφῆς καὶ ἀποτροπιασμοῦ ἄξιον. ἀΐδηλον δὲ Ἅιδην λέγει τὸν σκοτεινὸν, ὥσπερ ἄν τις εἴποι ἀλυκὸν ἅλα. ἀπὸ γὰρ τοῦ ἀΐδης γίνεται τὸ ἀΐδηλον κατὰ παραγωγὴν, καθ' ὃν τρόπον ἀλυκὸν ἀπὸ τοῦ ἁλός.

φορᾶς τῶν πλανηθέντων προβάτων καὶ μόνων βοσκομένων.

618. τὰ πρὶν δ' ἔργα] τὰ δὲ πρότερα αὐτοῦ ἀνδραγαθήματα, φροῦδα παρὰ τοῖς Ἀτρείδαις.

622. παλαιὸν, τὸ πάλαι ἀρξάμενον, ᾧ ἀντίκειται τὸ νέον. νέον γὰρ τὸ νεωστὶ ἀρξάμενον. ἐνταῦθα οὖν ἔντροφος παλαιᾷ ἡμέρᾳ ἀντὶ τοῦ παλαιῷ χρόνῳ, ἤγουν μακρῷ καὶ πάλαι ἀρξαμένῳ. ἤγουν ὄντως ἡ μήτηρ ἡ παλαιῷ μὲν χρόνῳ ἔντροφος, λευκῷ δὲ γήρᾳ, ὅταν ἀκούσῃ αὐτὸν φρενομόρως νοσοῦντα, αἴλινον ἡ δύσμορος ἀφήσει, οὐδὲ ἀφήσει γόον οἰκτρᾶς ὄρνιθος ἀηδόνος, ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς, καὶ τὸ ἑξῆς. λευκῷ γήρᾳ] ἐπειδὴ τὸ γῆρας λευκαίνει τὰς τρίχας. διὰ τοῦτο εἶπε λευκῷ ἀπὸ τοῦ ποιουμένου τὸ ποιούμενον.

628. οἰκτρᾶς ἀηδοῦς] τῆς εὐφροσύνης ἐστερημένης ἀηδόνος, διὰ τὸ ἀεὶ θρηνεῖν τὸν υἱὸν Ἴτυν. παραβάλλει δὲ τὸν ἀηδόνος θρῆνον καὶ τὸν Ἐριβοίας, καὶ εἰκάζει μείζω ἐκεῖνον ἔσεσθαι τῆς ἀηδόνος.—ἡ ἀηδὼν, τῆς ἀηδόνος, καὶ ἡ ἀηδὼ, τῆς ἀηδόος, ἀηδοῦς.

630. ὀξυτόνους] ὀξυφώνους. τόνος, ὁ κοινῶς ἦχος, καθ' ὃ λέγεται Λύδιος τόνος καὶ Φρύγιος.

631. χερόπληκτοι] ὑπὸ πληγῆς χειρῶν. ἀμύγματα] σπαράγματα. κεύθων] κευθόμενος, κρυπτόμενος. κρείσσων] ὁ ἀμείνων καὶ ἐπικρατέστερος. μάτην δὲ ἀντὶ τοῦ ψευδῶς, καὶ ἀντὶ τοῦ ματαίως, ὡς ἐνταῦθα.

643. δύσφορον] δυσβάστακτον, ἀνυπομόνητον. ἄτερθε τοῦδε] τοῦ αἰῶνος δηλονότι, ἤγουν τοῦ χρόνου.

648. ἁλίσκεται] θηρᾶται. ἀπὸ μεταφορᾶς τῶν ἁλισκομένων θηρίων ὑπὸ τῶν θηρευτῶν.

649. δεινὸς] φοβερός. ἐθηλύνθην στόμα] ἐμαλάχθην τὴν σφοδρὰν ὁρμήν. ἀπὸ μεταφορᾶς τοῦ στόματος τῆς μαχαίρας. τὸ πᾶν δὲ οὕτως· κἀγὼ γὰρ, ὃς ἐδεινοπάθουν τότε, ἐμαλάχθην τὸ στόμα παρὰ τῆσδε τῆς γυναικὸς, ὡς ὑπὸ βαφῆς σίδηρος. Ἄλλως. ἢ πρὸς τὸ ὡς στικτέον, ἵν' ᾖ οὕτως· ὃς ἐκαρτέρουν τὰ δεινὰ, ἤτοι σκληρὸς καὶ ἀνένδοτος ἦν, καθάπερ βεβαμμένος σίδηρος. ἢ πρὸς τὸ τότε, ἀντὶ τοῦ ἐθηλύνθην τὸ στόμα ὑπὸ τῆσδε τῆς γυναικὸς, ὥσπερ ἐν βαφῇ σίδηρος, ἤτοι βεβαμμένος ὑπὸ ἐλαίου, θηλύνεται. ἔστι δὲ κρεῖττον τὸ πρῶ-

655. λύματα ἐμὰ, ἤγουν τοὺς μολυσμοὺς τοὺς ἐμούς. ἁγνίσας] καθάρας. ἔθος γὰρ ἦν τοῖς παλαιοῖς, ὅταν ἢ φόνον ἀνθρώπου, ἢ ἄλλας σφαγὰς ἐποίουν, ὕδατι ἀπονίπτειν τὰς χεῖρας εἰς κάθαρσιν τοῦ μιάσματος.

658. ἔχθιστον βελῶν] τὸ ἔχθιστον τῶν βελῶν ἐμοῦ. τὸ πάνυ μεμισημένον. βελῶν ἀντὶ τοῦ ἀμυντηρίων. βέλη γὰρ τὰ πεμπόμενα. γαίας ὀρύξας] ἐκεῖ τῆς γῆς κατορύξας, τουτέστι κρύψας, ἔνθα οὐδεὶς ὄψεται. μὴ λάβῃς εἰς τὸ γαίας ἔξωθεν τὸ ἐπί, ἀλλ' οὕτω λέγε· κρύψω τὸ ἐμὸν ἔγχος ὀρύξας ἔνθα τῆς γαίας μή τις ὄψεται.

660. τὸ νύξ καὶ τὸ Ἅιδης εἶπε κατὰ μὲν τὸ φαινόμενον, ἀντὶ τοῦ ἀφάνεια καὶ φθορά· τὸ δὲ ἀληθὲς, διὰ τὴν μέλλουσαν αὐτὸν καταλήψεσθαι νύκτα καὶ θάνατον, ὧν αἴτιον τὸ ξίφος. δυσμενεστάτου] δυσμενὴς, ὁ κακὰ νοῶν τινι, ᾧ ἐναντίον ὁ εὐμενής.

668. τί μή;] διὰ τί οὐχὶ ἄξιον εἶκειν; νιφοστιβεῖς] τουτέστιν οἱ χιόνας συντιθέντες. στιβάζειν γὰρ καὶ τὸ συντιθέναι. ἐξίσταται] λέγεται τοῦτο καὶ μετὰ τῆς ὑπό, καὶ τάσσεται ἀεὶ ἐπὶ ὁδοῦ· τὸ δὲ ὑπανίστασθαι ἐπὶ καθέδρας. οἷον ὑπεξίσταμαί σοι τῆς ὁδοῦ· ὑπανίσταμαι δέ σοι τῆς καθέδρας. λευκόπωλον δὲ λέγει τὴν ἡμέραν, ἐπεὶ τὸν Ἥλιον, ὃς ποιεῖ τὴν ἡμέραν, ἐπὶ ἅρματος φασὶν ὀχεῖσθαι δύο ἵππους ἔχοντα λευκοὺς, ὧν τὸν μὲν Λάμποντα, τὸν δὲ Φαέθοντα ὀνομάζουσιν.

671. εὐκάρπῳ θέρει] τῷ καρποφόρῳ. ὅμοιον τῷ εὔκερων ἄγραν.

673. φέγγος φλέγειν] φέγγειν, ἤγουν λάμπειν φέγγος. ὁμοῦ ἀντὶ τοῦ λάμπειν.

674. δεινῶν τ' ἄημα] καὶ πνοὴ μεγάλων ἀνέμων κατεπράϋνεν ἠχοῦντα πόντον, παυσαμένη δηλονότι καὶ ἡσυχάσασα. ἀὴρ, οὗτος ὃν ἀναπνέομεν· πνεῦμα δὲ, ἄνεμος, ἀήτης ποιητικῶς· καὶ αὖραι, ἀὴρ κινηθείς. διαφέρουσι δὲ ἀλλήλων τῷ τὴν μὲν αὖραν ἐπὶ τῶν ἐξ ὑγροῦ ἐκπνοῶν τάττεσθαι, τὸν δὲ ἄνεμον, ἐπὶ τῶν ἐν ἀέρι πνευμάτων, τὰ πνεύματα δὲ καὶ τοὺς ἀήτας ἐπὶ παντὸς ἀέρος κινηθέντος.

677. σωφρονεῖν] εἰρηνεύειν.

678. ἐγὼ δ' ἐπίσταμαι] ἐγὼ δὲ καὶ εἰς τὸν φίλον κατὰ τοσαῦτα βουλήσομαι ὑπουργῶν ὠφελεῖν, ἤγουν ὠφέλιμος γίνεσθαι, ὡς ἀεὶ οὐ



683. λιμὴν] καταφυγὴ, ὑποδοχή.

684. ἀλλὰ περὶ μὲν τούτων καλῶς ἔξει τὰ πράγματα. σὺ δὲ ἐλθοῦσα εἶσω, ὦ γύναι, εὔχου τοῖς θεοῖς διὰ τέλους τελεῖσθαι, ἐκεῖνα δηλονότι, ὧν ἐρᾷ ἡ ἐμὴ ψυχή.

688. τιμᾶτε] ποιεῖτε. τιμᾷ ἀρετήν τις, ἀντὶ τοῦ ἐργάζεται. καὶ ἐπαινεῖ σιωπὴν, ἀντὶ τοῦ σιωπᾷ.

690. εἶμ' ἐκεῖσ'] πορεύσομαι ἐκεῖσε, ὅποι ἄξιον πορευθῆναι.

691. τὸ τάχα καὶ τὸ ἴσως ἐκ παραλλήλου.

693. περιχαρ�ὴς ἀνεπτάμαν] ὑπὸ περιχαρείας ἀνέπτην, ἤγουν ὥσπερ ὑπόπτερος ἐγενόμην. ἀνεπτάμην, ἀντὶ τοῦ ἀνέπτην. οἱ εἰς ην γὰρ ἀόριστοι τῆς δευτέρας συζυγίας τῶν εἰς μι οὐ χρείαν ἔχουσι τῶν παθητικῶν καὶ τῶν μέσων, ἐπεὶ οὗτοι τὰ αὐτὰ ἐκείνοις δύνανται· οἷον ἵστημι, στήσω, ἔστησα, ἐπὶ ἐνεργείας· ἔστην δὲ ἐπὶ πάθους. ἵπταμαι, πτήσω, ἔπτην. ἀφ' ὧν καὶ σταίην καὶ πταίην.

695. ἁλίπλαγκτον λέγει τὸν Πᾶνα, διότι ἐν τοῖς ἀκρωτηρίοις ἐτιμᾶτο, ἔνθα πλάζεται ἡ θάλασσα. Κυλλήνη, ὄρος ἐν τῇ Ἀρκαδίᾳ, ἔνθα πόλις ἦν, Κυλλήνη καὶ αὐτὴ ὠνομασμένη. δειρὰς, ἀκρωτήριον, ἀπὸ τῆς δείρης τοῦ τραχήλου. φάνηθι ἀπὸ τῆς δειρᾶδος τῆς Κυλληνίας τῆς χιονοκτύπου, ὦ ἄναξ θεῶν χοροστάτα.

χιονοκτύπου] ἤγουν χιονοβλήτου, ὑπὸ χιόνος τυπτομένης.

699. Νύσια Κνώσσια] ἀπὸ πόλεων, ἔνθα ὀρχήσεις ἐτελοῦντο, Διονυσιακαὶ καὶ Κορυβαντικαί. ἐν μὲν τῇ Νύσῃ Διονυσιακαί· ἐν δὲ τῇ Κνωσσῷ, πόλις δὲ αὕτη τῆς Κρήτης, αἱ Κορυβαντικαὶ, ἐπικρατήσασαι ἀπὸ τῶν Κορυβάντων τοῦ Διός.

701. μέλει μοι τόδε τὸ πρᾶγμα, καὶ τοῦδε τοῦ πράγματος. καὶ μέλει μοι τῶνδε τῶν πραγμάτων, καὶ μέλουσί μοι τάδε τὰ πράγματα.

702. Ἰκαρίων] ἐν τῇ Ἰκαρίῳ θαλάσσῃ ἐστὶν ἡ Δῆλος, ἐν ᾗ λέγεται ὁ Ἀπόλλων τεχθῆναι. Ἰκάριος δὲ ὠνομάσθη ἀπὸ τοῦ Ἰκάρου, τοῦ υἱοῦ τοῦ Δαιδάλου. διὰ τῶν Ἰκαρίων δὲ πελαγέων ὁ ἄναξ Ἀπόλλων ὁ Δήλιος ἐλθὼν εὔγνωστος συνείης διὰ παντὸς ἐμοὶ μετὰ ἡδονῆς.

710. θοῶν ὠκυάλων] ἐκ παραλλήλου, ἀντὶ τοῦ ταχειῶν, τουτέστι

5. καλῶς ἔξει τὰ πράγματα] Hæc tantum habet A.

εἰς τὸ μετανεγνώσθη αἰτιατικὴν ἐπήνεγκε, τὸν θυμὸν, ἔπειτα γενικὴν, τῶν μεγάλων νεικέων. καὶ φαμὲν ὅτι τὴν μὲν αἰτιατικὴν οὐ καθὼς ἀπήτει τὸ μετανεγνώσθη, ἀλλὰ καθ' ὅλον καὶ μέρος συνέταξε, καὶ μετανεγνώσθη λέγων κατὰ τὸν θυμὸν, εἰς δὲ τῶν μεγάλων νεικέων κατὰ φύσιν.

721. στρατήγιον] κυρίως ὁ τόπος ὃς τοῖς στρατηγοῖς ἀφιέρωται, μετὰ τῶν ἄλλων τῶν προὐχόντων βουλεύεσθαι.

727. οὐκ ἀρκέσει] ἤγουν οὐκ ἐπαρκέσει, ἑαυτῷ δηλονότι, ἤγουν οὐ βοηθήσει τὸ μὴ θανεῖν καταξανθεὶς πέτραις, ἤγουν διαλυθεὶς ὑπὸ τῶν πετρῶν. πέτρα κοινὸν, πέτρος Ἀττικόν.

730. διεπεραιώθη] ὥστε καὶ ξίφη διὰ τῶν χειρῶν ἐπεραιώθη ἐρυστὰ, ἤγουν διόλου ἐξειλκύσθη τῶν κουλεῶν.

731. λήγει δ' ἔρις] ἔληξε τοῦ πρόσω ἡ ἔρις ἐπὶ πολὺ δραμοῦσα.

740. χρείας τῆσδε] ἤγουν τῆς σῆς ταύτης χρείας τί ἐστι τὸ ἐλλιπές;

741. τὸν ἄνδρ' ἀπηύδα] ἀπηγόρευε μὴ παριέναι τὸν Αἴαντα ἐκ τῆς σκηνῆς ἔξω. τοῦ δὲ μή καὶ παρόντος καὶ ἀπόντος ἡ ἔννοια σώζεται.

743. πρὸς τὸ κέρδιστον] ἤγουν πρὸς τὴν ἐπικερδῆ καὶ ἐπωφελῆ γνώμην, πρὸς τὴν ἀμείνονα βουλήν· τοῦτο γὰρ δηλοῖ τὸ κέρδιστον τῆς γνώμης. λέγει δὲ τὴν ἐπὶ καθάρσει ἔξοδον.

745. πλέα] ἤγουν πεπληρωμένα. πλέον, τὸ περισσότερον, μικρὸν, καὶ κλίνεται πλέονος. πλέων δὲ, τὸ ἀνάπλεων, μέγα.

749. ξυνέδρου] συνεδρίου. τυραννικοῦ κύκλου] βασιλικοῦ χοροῦ.

750. μεταστὰς] μεταχωρήσας. μεθίστασθαι, τὸ ἀμείβειν στάσιν ἐκ στάσεως. καὶ μεταβαίνειν, τὸ ἀμείβειν τόπον ἐκ τόπου.

752. παντοίᾳ τέχνῃ] διὰ παντοίας μηχανῆς. εἶρξαι παντοίᾳ τέχνῃ τὸν Αἴαντα ὑπὸ ταῖς σκηναῖς κατὰ τὴν παροῦσαν ταύτην ἡμέραν.

754. ἀφέντ' ἐᾶν] ἀπολύσαντα ἀφεῖναι. ὅμοιον δὲ τῷ ἔφη λέγων.

3–8. Hoc scholion non est in Lips.

16. ἔληξε τοῦ π. ἡ ἔρις ἐ. π. δραμοῦσα A. Legebatur ἔληξε δὲ ἡ φιλονεικία ἐπὶ πολὺ προχωρήσασα τοῦ πρόσω.

19. ἀπηγόρευε A. Legebatur ἀπηγόρευσεν ὁ Τεῦκρος.

τὸ σημαινόμενον τοὺς ἀνθρώπους, εἰ καὶ μὴ πληθυντικῶς εἶπεν. ἁπλούστερον γὰρ οἵτινες εἰπεῖν ἔδει. τὸ δὲ ὅλον· ὅστις ἄνθρωπος πεφυκὼς ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ. φύσιν] οὐσία φύσεως διαφέρει. οὐσία μέν ἐστιν ἡ ὕπαρξις· φύσις δὲ ἡ ἐνοῦσα τινὶ δύναμις. οἷον φύσις ἐστὶ γῆς τὸ ἀναβλαστάνειν βοτάνας, καὶ φύσις τοῦ πυρὸς τὸ θερμαίνειν. ἀφ' οὗ εὐφυὴς, ὁ εὖ ἔχων τῆς φύσεως, καὶ εὐφυΐα ἐπὶ τούτου. εἰκότως οὖν εὐφυΐα καὶ ἐπὶ ἀνθρώπων λέγεται καὶ φυτῶν καὶ γῆς καὶ τῶν τοιούτων. λέγεται φύσις καὶ ἡ ποιότης, οἷον· ὄρη δὲ προμήκη περιβέβληται φύσεως οὐ μιᾶς, ἤγουν ποιότητος· φύσις καὶ εὐφυΐα, ἤγουν τὸ κάλλος, ὡς λόγος τὸ εὔλογον. φύσις καὶ τὸ γένος, ἀπὸ τοῦ φύειν· "οὐ μαθὼν ὃς εἶ φύσιν." (v. 1259.)

769. ἐπισπάσειν] ἤγουν ἐπισπάσεσθαι, λήψεσθαι. σπῶ, τὸ μεταλαμβάνω, καὶ συντάσσεται γενικῇ, οἷον ἔσπασε τοῦ ὕδατος· ἐπισπῶμαι δὲ, τὸ μεταλαμβάνω, καὶ συντάσσεται αἰτιατικῇ.

770. εἶτα δεύτερον πρὸς τὸ ἄνους καλῶς λέγοντος ἀποδίδοται. ἤγουν τοῦ πατρὸς καλῶς λέγοντος ἄνους ἐφωράθη· εἶτα δεύτερον τῆς δίας Ἀθάνας, λεγούσης δηλονότι, ἄνους εὑρέθη. ὀτρύνουσά νιν] παρορμῶσα αὐτόν. ἀντιφωνεῖ] ἀπεκρίνατο. ἄρρητον] οὐκ ἄξιον λέγεσθαι, βλάσφημον. ἐκρήξει] σχίσμα ποιήσει.

778. ἔστι] περίεστιν, ἤγουν ζῇ.

779. ξὺν θεῷ] μετὰ τῆς βοηθείας τοῦ θεοῦ. σωτήριοι] σωτηριώδεις, χρήσιμοι εἰς τὴν αὐτοῦ σωτηρίαν.

782. φυλάσσειν] ὥστε φυλάσσειν, αὐτὰς δηλονότι. εἰ δ' ἀπεστερήμεθα] τῶν ἐντολῶν δηλονότι, ἤγουν τῆς φυλακῆς τοῦ Αἴαντος, οὐκ ἐν τοῖς οὖσιν ἤδη τάττεται.

785. ὅρα μολοῦσα τόνδ'] σκόπει ἐλθοῦσα τόνδε τὸν ἄγγελον. ὅμοιον τῷ (245.) "ὥρα τιν' ἤδη κρᾶτα καλύμμασι κρυψάμενον."

786. ξυρεῖ ἐν χρῷ] παροιμία ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων, ἐν ξυρῷ ἵσταται τὸ πρᾶγμα.

788. ἀτρύτων] πολυτρύτων, πάνυ κακούντων.

792. τὴν σὴν πρᾶξιν] τὸ σὸν πάθος. περὶ τοῦ Αἴαντος δὲ, οἶδα δηλονότι, ὅτι, εἴπερ ἐστὶ θυραῖος, ἤγουν ἐκτὸς, οὐ θαρρῶ. θυραῖος] ἀντὶ τοῦ ἐκτὸς, καὶ δηλοῖ στάσιν· θύραζε δὲ, ἀντὶ τοῦ ἔξω, καὶ δηλοῖ

795. ἐξεφίεται] ἀντὶ τοῦ ἐφίεται, ἤγουν ἐντέλλεται.

799. ὀλεθρίαν] ἀντὶ τοῦ ὀλεθρίως. ἐλπίζει φέρειν] νομίζει, μέλλει δέχεσθαι.

803. πρόστητ᾽] βοηθοὶ, προστάται γένεσθε, ἕνεκα τῆς ἀνάγκην καὶ βίαν ἐχούσης τύχης. ἐν τάχει] καὶ σὺν τάχει, καὶ κατὰ τάχος, καὶ ὅσον τάχος, καὶ διὰ τάχους, καὶ διὰ ταχέων, ἐπὶ τοῦ αὐτοῦ, ἤγουν ταχέως. ἀντηλίους] τοὺς ἀντικρὺ τῆς ἀνατολῆς τοῦ ἡλίου. ἑφ̓ους, ἀγκῶνας δηλονότι. οὐχ ἱδρυτέον] οὐκ ἄξιον καθέζεσθαι.

811. ἐγκονῶμεν] τὸ ἐγκονεῖν λέγουσιν ἀντὶ τοῦ σπεύδειν, ἐπεὶ οἱ μετὰ σπουδῆς πορευόμενοι κόνιν ἐγείρουσι. οὐχ ἕδρας ἀκμὴ] καθέδρας, ἀναπαύσεως οὐκ ἔστι καιρός.

814. τάχος γὰρ ἔργου] ἤγουν ἅμα γὰρ ἕψεται, ἀντὶ τοῦ συνδραμεῖται, τάχος ἔργου καὶ ποδῶν, ἤγουν πορείας· τουτέστι καὶ ταχέως ἅψομαι τοῦ ἔργου, καὶ ταχέως ἐργάσομαι αὐτό.

815. τομώτατος] ὥσπερ ἀποδίδοται τὸ ὡς πρὸς τὸ οὕτως, οὕτω καὶ τὸ ᾗ ἐπίρρημα πρὸς τὸ ταύτῃ. εἴ τῳ καὶ λογίζεσθαι] ὅμοιον τῷ, ἵνα τι καὶ παραθεωρήσω, καὶ, εἰ δεῖ τοῦτο εἰπεῖν, καὶ τοῖς τοιούτοις, ἃ λέγεται, ὅτε ἀνακύψει τι καὶ προαρπάσει τοῦτο ὁ νοῦς. εὐθὺς γὰρ ἐπάγεται ταῦτα, ἵνα δηλώσῃ ὅτι καὶ ἕτερόν τι ἀνέκυψεν, ὅπερ οὐκ ἦν ἐν τῇ γνώμῃ τοῦ προκειμένου σκοποῦ. ἐμφαίνει δὲ ταῦτα εὐπορίαν τοῦ λέγοντος, ὡς μεταξὺ δύνασθαι σχεδιάζειν παρέργως καὶ ἑτέρας ἐπιβολάς.

τοῖς ἐπειγομένοις πρὸς θάνατόν ἐστιν ἴδιον ἀποθνήσκειν ἐν σιωπῇ. ἐκτυφλοῦνται γὰρ καὶ ἀφαιροῦνται τοὺς λογισμοὺς τῷ πάθει τῆς λύπης. ὁμοίως καὶ τοῖς ποιηταῖς ἐστιν ἴδιον εἰσάγειν ἄλλους διηγουμένους τὸν τρόπον τοῦ θανάτου τῶν ἀποθνησκόντων. ἐπειδὴ τοίνυν καινόν τι ποιῶν ὁ Σοφοκλῆς, εἰσφέρων τὸν Αἴαντα ἐξαγορεύοντα τὸν τρόπον τῆς αὐτοῦ τελευτῆς, δι᾽ ἑνὸς λόγου, τοῦ εἴ τῳ καὶ λογίζεσθαι σχολὴ, οἰκονομεῖ λῦσαι τὸ ἄτοπον, ἤγουν, εἰ σχολὴ καὶ ἀδεια ἐστὶν ἐμοὶ καὶ ἄλλῳ τινὶ, λογίζεσθαι λογισμοὺς ἐν τῇ ὥρᾳ τοῦ θανάτου, ὅτι δοτόν ἐστι, θνήσκειν ἐν σιωπῇ.

818. ἐχθίστου θ᾽ ὁρᾶν] ἐμοὶ δηλονότι, εἰς τὸ ὁρᾶν. ὅμοιον τῷ, ἡδὺς ὁ ποταμὸς πιεῖν, ἤγουν εἰς τὸ πιεῖν τινὰ ἐξ αὐτοῦ.

νειν βοηθείας. οὐ μακρὸν γέρας λαχεῖν] οὐ μεγάλου δώρου τυχεῖν· λαχεῖν κυρίως τὸ ἀπὸ κλήρου τυχεῖν· ἐνταῦθα δὲ ἁπλῶς ἀντὶ τοῦ τυχεῖν. συντάσσεται δὲ τὸ μὲν λαχεῖν αἰτιατικῇ, τὸ δὲ τυχεῖν γενικῇ. φάτιν] ἀγγελίαν. φέροντα] οἴσοντα, κομίσοντα. πεπτῶτα] ἀντὶ τοῦ περιπεπτωκότα. γίνεται δὲ κατὰ συγκοπὴν πεπτῶτα. νεορράντῳ] τῷ δι' ὀλίγου ῥαντισθησομένῳ ὑπὸ αἵματος. οἰωνοῖς] οἰωνοὶ κυρίως οἱ γῦπες. ῥιφθῶ] ῥιφῶ. ὡς ἐπὶ τὸ πλεῖστον ὅτε εἰσὶν οἱ εἰς ην παθητικοὶ δεύτεροι ἀόριστοι ἐν χρήσει, οἱ παθητικοὶ πρῶτοι ἀόριστοι ἄχρηστοι εἰσὶν, εἰ μὴ παρὰ τοῖς ποιηταῖς. οἷον ῥίπτω, ῥίψω, ἔρριψα, ἐρρίφην, ἐρρίφθην. φαίνω, φανῶ, ἔφανα, ἐφάνην, ἐφάνθην.

836. ὁρώσας] ἐφορώσας, ἐκδικούσας τὰ ἀνθρώπινα πάθη.

837. τανύποδας] τὰς μακρὰς ὁδοὺς διερχομένας.

839. πανωλέθρους] ἀντὶ τοῦ πανωλεθρίους, τουτέστι παντελεῖ καὶ καθολικῷ ὀλέθρῳ. ξυναρπάσειαν] ἀντὶ τοῦ ἀναρπάστους ὁμοῦ ποιήσειαν. ἀνάρπαστος δὲ, ὁ αἰφνιδίως ἀποθανών. αὐτοσφαγῆ] αὐτουργῷ σφαγῇ, ἀντὶ τοῦ αὐτοχειρίᾳ σφαγῇ. ἔστι δὲ ἀντὶ ἐπιρρήματος. πίπτοντα] ἀποθνήσκοντα.

842. πρὸς τῶν φιλίστων] γράφεται πρὸ τῶν φιλίστων, ἤγουν ἔμπροσθεν. ὀλοίατο] ὄλοιντο, ἀφανισθεῖεν. ποίνιμοι] τιμωροὶ, αἱ ἐκδικοῦσαι τοὺς ἀδικουμένους. ἐπισχὼν] κωλύσας τῆς πορείας. ἡνίαν, ἀντὶ τοῦ ἅρμα. ᾗ που] ὄντως. ἥσει] ἀφήσει. ὁ δὲ κωκυτὸς καὶ ὁ γόος ποιαὶ φωναί.

849. τροφῷ] τῇ ἀναθρεψαμένῃ με, τουτέστι τῇ μητέρι.

855. καίτοι] ἐναντιωματικῶς.

858. πανύστατον] ὕστατον. τῶν ποιητῶν ἐστὶ τὸ προστιθέναι τοῖς ὑπερθετικοῖς ἑτέρας ἐπιτάσεις, οἷον ὕστατον πανύστατον, ἄριστον πανάριστον.

860. πατρῷον] ἀντὶ τοῦ πατρῴας. ἤγουν κρηπὶς τῆς πατρῴας οἰκίας.

863. ὦ τροφῆς] ὦ ἀναθρεψάμενοί με, τουτέστιν οἱ γονεῖς.

866. φέρει] ἀντὶ τοῦ ἐπιφέρεται.

τοῦ ναυτικοῦ λαοῦ τοῦ ὁμοῦ ἡμῖν πλεύσαντος. πᾶν ἐστίβηται] ἤγουν ὅλον τὸ ἐσπέριον μέρος τῶν νεῶν διώδευται. ἔχεις οὖν] ἀπὸ μεταφορᾶς τῶν ἐχόντων τι ἐν ταῖς χερσὶ, καθ' ὃ λέγεται, οὐ κεναῖς χερσὶν ἐπανήκειν, καὶ ἐπὶ πραγμάτων μὴ χειρῶν δεομένων.

876. κοὐδὲν] ἔχω δηλονότι.

877. τὴν ἀφ' ἡλίου βολῶν] κατὰ τὴν ὁδὸν τὴν ἀπὸ τῶν βολῶν τοῦ ἡλίου. ἔστι δὲ καὶ οὕτω. ἀλλ' οὐδὲ μὲν δὴ μολὼν, ἤγουν ἐλθὼν, ὁ ἀνὴρ τὴν ὁδὸν, τὴν ἀπὸ τοῦ ἡλίου ἄγουσαν, δηλοῦται φανεὶς οὐδαμοῦ, τουτέστιν ἐν οὐδενὶ τόπῳ φαίνεται. δηλοῖ] ἀντὶ παθητικοῦ δηλοῦται.

880. ἁλιαδᾶν] ἁλιὰς, ἁλιάδος, τὸ ἁλιευτικὸν πλοῖον. ἁλιάδαι δὲ, οἱ παῖδες τῶν ἁλιέων, ἤγουν οἱ ἁλιεῖς, ὡς Ἀσκληπιάδαι, οἱ ἰατροί.

882. ἢ τίς] ἢ τίς ἀπὸ τῶν θεαινῶν τῶν Ὀλυμπίων, τῶν ποταμῶν ἐπιστήμων, τῶν εἰς τὸν Βόσπορον ῥεόντων.

886. πλαζόμενον] πλανώμενον. σχέτλια] σχέτλιον, χαλεπόν. οὐρίῳ] εὐωδωμένῳ μὴ πλησιάσαι δρόμῳ. ἀμενηνὸν] ἐξησθενηκότα τῷ κόπῳ. ἄνδρα] ἐμὲ δηλονότι. πάραυλος] πλησίον.

894. τὴν δουρίληπτον] ἤγουν τὴν Τέκμησσαν ὁρῶ τὴν δύσμορον καὶ δυστυχῆ, τὴν δορίληπτον, τουτέστι τὴν ἐν αἰχμαλωσίᾳ νυμφευθεῖσαν.

895. οἴκτῳ] τῷ σχετλιασμῷ. συγκεκραμένην] συμμεμιγμένην. οὐχωκ'] ἔφθαρμαι. διαπεπόρθημαι] ἐκπεπολιόρκημαι. ἀπὸ μεταφορᾶς τῶν ἑαλωκότων φρουρίων. κρυφαίῳ] λαθραίῳ, ἤγουν λάθρα ἐργασαμένῳ τὸν φόνον. περιπτυχὴς] περικεκλιμένος περικεκυλισμένος.

900. ἐμῶν νόστων] ἕνεκα τῆς ὑποστροφῆς, ἣν μέλλω ὑποστρέψειν χωρὶς σοῦ. κατέπεφνες] ἐφόνευσας. τόνδε συναύταν] ἐμὲ τὸν συμπλεύσαντα.

905. οἱ Ἀττικοὶ τὸ ἆρα, ὅταν μὲν ἐρωτηματικὸν ᾖ, τροχαϊκῶς γράφουσιν· ὅταν δὲ ὡς σύνδεσμος συναπτικὸς κέηται, ἀδιαφόρως ποτὲ μὲν τροχαϊκῶς, ποτὲ δὲ πυρριχιακῶς.

33. κέηται A. Legebatur λέγηται.

34. πυρριχιακῶς correxi pro πυρριχικᾶς. In Lips. πυρριχαϊκῶς, ut interdum scriptum in libris, de quo dixi in Thesauro vol. 7. p. 2280.

καὶ δεικνύειν, μετὰ αἰτιατικῆς μόνης λέγεται.

909. αἱμάχθης] ἐφονεύθης. ἄφρακτος φίλων] ἔξω τῆς φυλακῆς τῶν φίλων. ἄϊδρις] ἀνόητος, ἀπράγμων. δυστράπελος] ὁ σκληρὸς, ᾧ ἐναντίον ὁ εὐτράπελος. δυσώνυμος] ὁ δύσφημον ὄνομα ἔχων.

914. λέγεται δυσώνυμος καὶ οὗ τὸ ὄνομα ἐπαχθῶς οἱ ἄνθρωποι δέχονται διὰ τὸ μῖσος, ὅπερ ἔχουσι πρὸς αὐτὸν, καθ' ὃ λέγεται δυσώνυμος ὁ Ἰούδας.

915. περιπτυχεῖ φάρει] περιλαμβάνοντι ἐνδύματι. ἀπὸ τοῦ πᾶν, πάμπαν· καὶ ἀπὸ τοῦδε παμπήδην, ἀντὶ τοῦ παντελῶς.

917. τλαίη] τλῶ, τὸ ὑπομένω καὶ τολμῶ, οὗ ὁ μέλλων τλήσω· δεύτερος ἀόριστος, ἔτλην· ἡ μετοχὴ, ὁ τλὰς, τοῦ τλάντος· τὸ εὐκτικὸν, τλαίην. μελανθὲν αἷμα] χυθὲν ὤφειλεν εἰπεῖν, ἢ γεγονὸς ἀπὸ τῆς οἰκείας σφαγῆς· ὁ δὲ, διὰ τὸ μέλαν εἶναι τὸ αἷμα, μελανθὲν αἷμα λέγει. τίς σε βαστάσῃ φίλων;] πάντα τὰ ἀπορηματικὰ, καὶ μάλιστα ἐπὶ τῶν πρώτων προσώπων τῶν ἑνικῶν ὑποτακτικῶς γράφεται.

922. πεπτῶτα] πεπτωκότα, ἀποθανόντα. συγκαθαρμόσαι] καταστάξαι.

926. χρόνῳ] διὰ χρόνου. ἐξανύσειν] λήψεσθαι, τελειώσειν.

930. πάννυχα καὶ φαέθοντα] ἐπιρρηματικῶς, ἀντὶ τοῦ κατὰ πᾶσαν νύκτα καὶ κατὰ τὴν ἡμέραν. Φαέθων, ὁ ἥλιος, καὶ ὁ υἱὸς τοῦ ἡλίου. ὠμόφρων] Ἀττικῶς. οὗτοι γὰρ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς. οὕτω καὶ τὸ ὦ δύσμορ' Αἶας ἀντὶ τοῦ Αἶαν.

934. μέγας ἄρα ἄρχων, ἤγουν ἐπιστάτης, ἦν πημάτων, ὁ χρόνος ἐκεῖνος, ἦμος περὶ τῶν ὅπλων ἔκειτο ἀγὼν ἀριστόχειρ, ἤγουν ὑπὲρ τοῦ φανῆναι τὸν ἄριστον ταῖς χερσίν.

935. ἀριστόχειρ] ἤγουν ὁ κρίνων τίς ἐστιν ὁ ἄριστος κατὰ τὴν χεῖρα.

941. ἀποβλαφθεῖσαν] σφαλεῖσαν, ἀποτυχήσασαν.

942. σοὶ μὲν δοξάζειν ἐστὶ ταῦτα· ἐμοὶ δὲ ἄγαν φρονεῖν, ἔστι ταῦτα δηλονότι, ἤγουν ἀκριβῶς γινώσκειν.

18. πάντα τὰ—γράφεται] Hoc scholion habet A.

26. καὶ τὸ A. qui habet verba ὠμόφρων (vulgo additur μέγα)—ἀντὶ τοῦ Αἶαν. Aberat τό.

τὸ περιστρέφεσθαι. οἱ γὰρ ἐν δεινῷ τινι καταστάντες ἢ χρείᾳ, καὶ μὴ εὑρίσκοντες λύσιν τούτων, ἄνω καὶ κάτω φέρονται πλανώμενοι ὑπ' ἀπορίας, ἐφ' ὧν λέγεται καὶ τὸ ἀλύειν, ὃ γίνεται ἀπὸ τοῦ ἄλη, ἡ πλάνη.

988. ἴθ', ἐγκόνει] ἄπιθι, σπεῦδε. φιλοῦσι] εἰώθασι. κειμένοις] τὸ κεῖσθαι ἐπὶ τοῦ τεθνηκότος ἰδίως εἰώθασι τάττειν.

992. ὦ ἀλγεινότατον, λυπηρότατον ἐμοὶ, θέαμα δηλονότι, ἁπάντων τῶν θεαμάτων, ὧν εἶδον ἐγὼ τοῖς ὀφθαλμοῖς. καὶ ὦ ὁδὸς ἀνιάσασα τὸ ἐμὸν σπλάγχνον μάλιστα πασῶν τῶν ὁδῶν, ἣν νῦν ἔβην, ὦ φίλτατ' Αἴας, φθάσαι ζητῶν, καὶ κατ' ἴχνος ἀκολουθῶν, ὡς ἐπῃσθόμην, ἀντὶ τοῦ ἤκουσα, ἐγνώρισα, ἔμαθον, τὸν σὸν μόρον.

997. διώκων] φθάσαι ζητῶν. κἀξιχνοσκοπούμενος] κατ' ἴχνος ἀκολουθῶν.

1000. ἐκποδὼν] μακρὰν, πόρρω. ὑπεστέναζον] κατ' ἐμαυτὸν ἐστέναζον ἡσυχῇ. ἐκκάλυψον] τοῦ καλύμματος γύμνωσον, αὐτὸν δηλονότι. δυσθέατον] δυσκόλως θεαθῆναι δυνάμενον. πικρᾶς] ἀλγεινῆς. τὸ πικρὸν ἐπὶ γεύσεως λέγεται, καὶ ἀπὸ τούτου ἐπὶ τοῦ ἄλγους τῆς ψυχῆς. ὃ γὰρ πικρὸν ἐπὶ γεύσεως, τοῦτο ἀλγεινὸν ἐπὶ ψυχῆς. λέγεται καὶ πικρόν τι, ὡς πρόξενον πικρίας, οὐχ ὡς πικρὸν αὐτὸ ὄν, ὡς τὸ ξίφος ἐνταῦθα λέγεται πικρόν. κατασπείρας] ὅσων λυπῶν ἀφορμὴν δούς.

1008. ἦ που] ὄντως. εἰρωνικόν. εὐπρόσωπος] χαρίεις, ἱλαρῷ τῷ προσώπῳ. εὐπρόσωπος, ὁ εὐειδὴς, καὶ ἀπὸ τούτου, εὐπρόσωπος αἰτία, ἡ πιθανὴ καὶ εὐπρεπής. συνάγει δὲ τὸ ἐναντίον ὁ λόγος· ἤγουν οὐκ εὐμενῶς με δέξαιτ' ἄν, πρὸς ὃ ἐπάγεται πῶς γὰρ οὐχ, ὅτῳ πάρα, ἤγουν ὅτῳ μηδὲν, τουτέστι μηδαμῶς, πάρεστιν οὐδ' εὐτυχοῦντι γελᾶν ἡδέως.

1012. τί κρύψει ;] τί σιγήσει ; κακὸν, ἀπὸ κοινοῦ. τὸν] ἐρεῖ, δηλονότι. ἐκ δορὸς] γεγονότα ἐξ αἰχμαλώτιδος γυναικός. ἐκ μάχης πολεμίας, τουτέστιν ἐκ γυναικὸς μάχῃ πολεμίᾳ κρατηθείσης.

1014. δειλίᾳ] διὰ δειλίαν, ἢ ὑπὸ δειλίας. ὡς τὰ σὰ] ἵνα, θανόντος σοῦ δηλονότι, τὴν σὴν ἀρχὴν καὶ τοὺς σοὺς δόμους ἔχοιμι. κράτη] τὴν ἀνήκουσάν σοι ἀρχήν. δύσοργος] πάνυ ὀργίλος. ἔστι

συναγομένων καρπῶν εἰς τὰς ἀποθήκας. ἐπ' ἐκείνων γὰρ λέγεται κυρίως τὸ συγκομίζειν καὶ ἡ συγκομιδή.

1052. ὅθ' οὕνεκα] ἐκ παραλλήλου. οἴκοθεν] ἀντὶ τοῦ, ἀπὸ τοῦ οἴκου· καὶ ἀπὸ τούτου οἴκοθεν ἀντὶ τοῦ, ἀφ' ἑαυτοῦ. ἐξεύρομεν] ἀντὶ τοῦ εὕρομεν. εὑρίσκει τις τὸ ὄν, καὶ ἐξευρίσκει τὸ μὴ ὄν· ἐφευρίσκει δὲ, οὐ τὸ μὴ ὂν, κἂν διϊσχυρίζωνται τοῦτο τινὲς, οὐδὲ μὴν τὸ ὄν, ἀλλ' ἐφευρίσκει τις, τουτέστιν ἐπινοεῖ πρός τι καὶ ἕτερόν τι, εἶτα τοῦτ' ἐκείνῳ προστίθησι. καὶ ἔστι μὲν αὖθις καὶ μετ' αὐτοῦ τοῦ προστεθέντος ἐκείνῳ, ὃ καὶ πρότερον ἦν· ἀλλ' οὖν τῇ ἐκείνου ἐφευρέσει τε καὶ προσθήκῃ χρησιμώτερον ἀποπέφανται. οἷον λέγεταί τις Θρᾷξ Διονύσιος ἐξευρεῖν τινὰ τῶν γραμμάτων ἀπὸ τῆς τῶν Φοινίκων γλώττης, ᾧ προσεφεῦρέ τις τινὰ τῶν διπλῶν, ψαλίδα εἰπὼν τὴν σπαλίδα, ἀντιστρόφως ταυτὶ τὰ σύμφωνα θείς. εὗρε δέ τις ἁπλῶς πλήθη χρημάτων. ζητοῦντες] ἐξετάζοντες. ζητῶ, τὸ ἐρευνῶ· καὶ ζητῶ, τὸ ἐξετάζω.

1057. πεῖραν ἔσβεσεν] ὁρμὴν ἔπαυσεν. τήνδ' ἣν ὁδ'] ἡμεῖς μὲν ἂν κατὰ ταύτην τὴν τύχην, ἣν εἵλητο ὁ Αἴας, προὐκείμεθα θανόντες λίαν ἀσχήμονι θανάτῳ, τουτέστι δι' αἰσχίστου θανάτου. ἐνήλλαξεν] ἀντέστρεψε, ὥστε τὴν ἄτιμον πρᾶξιν τοῦδε πρὸς βοσκήματα καὶ πρόβατα πεσεῖν. μῆλα κοινῶς ἐπὶ τῶν βοσκημάτων λέγεται.

1063. σῶμα τυμβεῦσαι τάφῳ] κατὰ τὸ σῶμα ἐνταφιάσαι αὐτόν. αὐτὸν εἰπὼν, εἶτα ἐπάγει τὸ σῶμα· καὶ ἔστιν ὅμοιον τῷ· (Ἰλ. Ζ, 350.) "ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;" ἐφ' οἷς ὅλον τι δείκνυται καὶ μέρος. προαρπάζει δὲ τὸ ὅλον τὴν δύναμιν τοῦ ῥήματος· εἶτα ὥσπερ ἐκ μεταμελείας δίδωσιν αὐτὴν τῷ μέρει. συνυπακούεται οὖν ἐν τούτοις ἐπὶ τοῦ μέρους ἡ κατὰ πρόθεσις, ἵν' ᾖ οὕτως· ποῖον ἔπος ἔφυγέ σε; λέγω κατὰ τὸ ἕρκος τῶν ὀδόντων. καὶ οὐδεὶς ἐστὶν ἀνὴρ

8–17. τὸ—χρημάτων Brunckii editio. In Lips. ut vulgo τὸ ὄν, ἐξευρίσκει δὲ καὶ ἐφευρίσκει τὸ μὴ ὄν, reliquis omissis.

12. τῇ ἐκείνου ἐφευρέσει] Legebatur τι κείνου ἐφευρήσει. Correxi ex cod. Vat. ap. Bekk. Anecd. p. 1168.

1066. δεινὸν ἐξαρῆς μένος] μὴ ἀνταρῆς χαλεπὴν ἐνοσοῦσιν. τὸ ἀνταίρειν κυρίως ἐπὶ τῶν ἀντιτασσομένων λέγεται χερσὶν αἰρομέναις, ἢ ῥάβδοις, ἢ τοιούτοις τισί· καὶ ἐπὶ τούτου καὶ ἐπὶ γνώμης καὶ ἐπὶ τοιούτων τινῶν· οἷον ἀνταίρει γνώμην, καὶ ἀνταίρει μένος. παρευθύνοντες] ἐκτρέποντες. ἀπὸ τῶν μὴ ἐώντων τινὰς βαδίζειν τὴν ἑαυτῶν ὁδὸν, ἀλλὰ παρεκκλινόντων αὐτούς. οὐ γὰρ ἔσθ' ὅπου] οὐκ ἔστιν ὅπου, ἀντὶ τοῦ οὐδαμοῦ, τουτέστιν, οὐκ ἔστι τόπος ὅπου. οὐκ ἔστιν ὅτε, ἀντὶ τοῦ οὐδέποτε, ἤγουν οὐκ ἔστι χρόνος ὅτε. οὐκ ἔστιν ὅπως, ἀντὶ τοῦ, οὐκ ἔστι τρόπος ὅπως.

1070. ἀκοῦσαι] ὑπακοῦσαι. κακοῦ πρὸς ἀνδρὸς] ἴδιόν ἐστιν ἀνδρὸς κακοτρόπου.

1072. μηδὲν δικαιοῦν] μηδαμῶς δίκαιον κρίνειν τῶν ἐπιστατῶν, τῶν ἀρχόντων, ὑπακούειν. φέροιντ' ἄν] διοικοῖντο.

1075. σωφρόνως] εὐτάκτως. μηδὲν φοβοῦ] ἤγουν μὴ προτείνων φόβον μηδὲ αἰδῶ. πρόβλημα] φυλακήν. γεννήσῃ] ἤγουν φύσῃ, ἕξῃ. δοκεῖν πεσεῖν] νομίζειν καταστραφῆναι. ἃ βούλεται] τις δηλονότι. πάρα] πάρεστι. ἐξ οὐρίων] πνευμάτων δηλονότι. ἀπὸ μεταφορᾶς τῆς νεὼς τῆς ἀπὸ τῆς πρύμνης ἐχούσης τὴν φοράν.

1085. προλαβὼν τὸ δρῶντες, λαμβάνει τὴν αἰτιατικὴν οἰκείως, εἶτα ἐπάγει τὸ ἡδώμεθα ἀποδεδομένον πρὸς τὴν προηγησαμένην πτῶσιν, καὶ ἐπὶ τοῦ ἑφεξῆς στίχου τὸ αὐτὸ συμβαίνει, καὶ ἐφ' ἑτέρων πλείστων. παραλλὰξ] κατὰ διαδοχήν. ἀλλάττομαι τοῦδε τόδε, ἤγουν διὰ τοῦδε, ὡς τὸ ὠνοῦμαι τοῦδε τόδε. ἐναλλάττειν, τὸ μετατιθέναι τὴν τάξιν ἀντιστρόφως. ἐξαλλάττειν, τὸ ἀμείβειν καὶ ἀλλοιοῦν, οἷον ἐξαλλάττει τις τὸ χρῶμα, ἤγουν ἀμείβει. συναλλάττειν, ἐπὶ συμφωνίας γάμου, ἀφ' οὗ συνάλλαγμα. καταλλάττειν καὶ διαλλάττειν, εἰς φιλίαν συνάγειν τινάς· καταλλάττεσθαι δὲ καὶ διαλλάττεσθαι, τὸ εἰς φιλίαν συνάγεσθαι. μεταλλάττειν, τὸ μεταβαίνειν ἀπό τινος εἴς τι, καθ' ὃ λέγεται τὸ, μετήλλαξε τὸν βίον, ἀντὶ τοῦ ἐτελεύτησε. παραλλάττειν, τὸ τῇ παραθέσει ἀλλοῖον δείκνυσθαι, ἀφ' οὗ παραλλὰξ ἐπίρρημα, ὅταν ἑφεξῆς ἕτερον ἑτέρῳ ἀλλοῖον κέηται, καὶ ἁπλῶς τὸ ἑφεξῆς ἑτέρῳ ἕτερον κεῖσθαι. ἀπαλλάττειν, τὸ ἐλευθεροῦν καὶ διάγειν. ὑπαλλάττειν, τὸ μὴ κύριον ἀντὶ κυρίου λέγειν.

1091. γνώμας] γνωμολογίας.

1099. αὐτός] ἤγουν αὐτοδέλως. στρατηγεῖς] ἀντὶ τοῦ εὐστρατήγεις.

1103. οὐδ' ἔσθ' ὅπου] οὐδ' ἔστι τόπος, ὅπου—. κοσμῆσαι] ἤγουν τάξαι, ἀφ' οὗ κοσμήτωρ ποιητικῶς ὁ βασιλεὺς, ὃς καὶ παρ' αὐτοῖς ταγὸς λέγεται, ἀπὸ τοῦ τάττειν. ἔστι δὲ τὸ πᾶν οὕτως· οὐδέ ἐστι τόπος, ὅπου ἔκειτό σοι νόμος ἀρχῆς κοσμῆσαι τοῦτον πλέον παρ' ὃ ἔκειτο καὶ τῷδε κοσμῆσαί σε. ὕπαρχος] ὁ ὑπὸ ἀρχὴν ἄλλων· ἔπαρχος δὲ, ἀξίωμα.

1108. κόλαζε] δίδασκε τοὺς ἀρχομένους ὑπὸ σοῦ τοὺς σεμνοὺς τούτους λόγους. κολάζειν, τὸ παιδεύειν, ἀφ' οὗ κεκολασμένα ἤθη, τὰ πεπαιδευμένα καὶ ἀκόλαστα, τὰ ἀπαίδευτα.

1109. ἄτερος] ὁ ἕτερος. τὸ σὸν στόμα] τοὺς σοὺς λόγους.

1119. κἂν ὑπέρδικ' ᾖ] κἂν ὑπερβολικῶς ὦσι δίκαια. οἱ ἀστεμφεῖς λόγοι καὶ μὴ ἱλαροὶ λυποῦσι, κἂν ὦσιν ὑπερβολικῶς δίκαιοι.

1120. σμικρὰ φρονεῖν] ἀντὶ τοῦ ταπεινοφρονεῖν, ᾧ ἐναντίον τὸ ὑψηλὰ φρονεῖν, καὶ μέγα φρονεῖν ἀντὶ τοῦ μεγαλοφρονεῖν καὶ ὑψηλοφρονεῖν.

1122. μέγα κομπάσειας] μεγαλορρημονήσειας. ἀσπίδ' εἰ λάβοις] ἤγουν εἰ συστάδην πολεμήσειας. συστάδην μάχονται οἱ συμβάλλοντες τὴν μάχην ἐγγύθεν· ἀκροβολίζονται δὲ οἱ μακρόθεν βέλεσι μαχόμενοι, ἀφ' οὗ ἀκροβολισμὸς, ὁ κοινῶς ἀνεμοπόλεμος. κτείναντά με] ὅσον ἐπ' αὐτῷ δηλονότι. δεινὸν] μέγα, ἄξιον θαύματος.

1128. τῷδε δ' οἴχομαι] ὅσον τὸ ἐπὶ τούτῳ ἀπόλωλα. ἀτίμα] ἀτίμους ποίει. ἀτιμάζω, τὸ καταφρονῶ· ἀτιμάω δὲ ἀτιμῶ, τὸ ἄτιμον ποιῶ, καὶ ἠτιμωμένος ἐπὶ τοῦ αὐτοῦ κατὰ τὸν παθητικὸν παρακείμενον ἐν τῇ τρίτῃ συζυγίᾳ.

1133. ψέξαιμι] ἀτίμους ποιήσαιμι.

1132. τούς γ' αὐτὸς] ἤγουν τοὺς πολεμίους αὐτὸς αὐτοῦ, ἀντὶ τοῦ ἐμαυτοῦ, οὐκ ἐῶ θάπτειν. πολέμιος προὔστη ποτέ] ἤγουν

9. τοὺς σεμνοὺς τούτους λόγους A. Legebatur ἢ τοὺς σεμνοὺς λόγους. Reliqua om. A.

21. ἀνεμοπόλεμος] Hujus vocabuli tria sunt exempla apud Nicetæ Choniatæ paraphrastam p. 493, 24. 503, 26. 720, 23. ed. Bekk.

1136. τόδ' ἐσφάλη] τὸ τῆς κρίσεως.

1137. πόλλ' ἂν κακῶς] ἤγουν πολλὰ ἂν κακὰ κακῶς κλέψειας σὺ, ἤγουν μετὰ κλοπῆς ἐργάσαιο λάθρα.

1140. τόνδ' ἐστὶν οὐχὶ θαπτέον] ἤγουν οὐκ ἄξιόν ἐστι θάπτειν τόνδε. θαπτέον, κοινῶς· θαπτέον ἐστὶν, Ἀττικῶς. οἱ γὰρ Ἀττικοὶ ἀπὸ τοῦ συνήθους ἀεὶ καὶ χθαμαλοῦ τὸν λόγον ἐπαίροντες, ἐπεὶ εὗρον ἐν τῇ συνηθείᾳ τὸ θαπτέον, τὸ ποιητέον, καὶ τὰ τῆς ἀκολουθίας ταύτης χωρὶς προσθήκης τινὸς λεγόμενα, προστιθέασιν αὐτοῖς τὸ ἐστίν, ὃ συνυπηκούετο ἔξωθεν παρὰ τοῖς κοινοῖς, ἵνα καινότερον τὸν λόγον ἐργάσωνται.

1143. ἐφορμήσαντα τὸ πλεῖν] ἤγουν ἐπὶ τὸ πλεῖν ὁρμήσαντα. τὸ δὲ ὁρμήσαντα, ἀντὶ τοῦ παρορμήσαντα ἐπὶ καιρῷ χειμῶνος. παρεῖχε] ἑαυτὸν δηλονότι, τῷ θέλοντι ναυτίλῳ, ὥστε καταπατεῖν. λάβρον] σφοδρὸν, θρασύ. χειμὼν] μεγάλη ζάλη ἀνέμου. κατασβέσειε] καταπαύσειε. τὸ πᾶν· οὕτω δὲ ἴσως ἂν καταπαύσειε καὶ σὲ, καὶ τὸ σὸν θρασὺ στόμα κατὰ τὴν πολλὴν βοὴν, μεγάλη ζάλη ἀνέμου ἐκ μικροῦ νέφους πνεύσασα.

1151. ἐν κακοῖς] ἡ ἐν ἀντὶ τῆς ἐπί. ὃς ἐφύβριζε ταῖς δυστυχίαις τῶν πλησίον. εἰσιδὼν] ἰδών. μὴ δρᾶ κακῶς] δρῶ σε κακῶς, μετὰ αἰτιατικῆς, καὶ δρῶ σε κακὸν, ὁμοίως. ἄνολβον] ἀνόητον. ὄλβος γὰρ κυρίως ἡ φρόνησις. ἐνουθέτει] ἐδίδασκε. ᾐνιξάμην] εὐστόχως παρείκασα.

1159. πύθοιτο] ἀκούσειε. λόγοις κολάζειν] διὰ λόγων σωφρονίζειν, ἐκεῖνον δηλονότι, ᾧτινι πάρεστιν ἀναγκάζειν. ἄφερπε] ἀπέρχου. ματαίου] ἀνοήτου. φλαῦρ' ἔπη] φλύαρα. ἔριδος] φιλονεικίας.

1164. σπεῦσον ταχύνας] κατ' ἐπίτασιν λέγεται τῆς σπουδῆς. ἔνθα καθέξει] οὗτος δηλονότι, τὸν εὑρόντα τάφον, τὸν ἀείμνηστον, ἐσόμενον δηλονότι, τοῖς βροτοῖς, ἤγουν ὑπὸ τῶν βροτῶν.

5. λάθρα] Sequitur in Lips. scholion ad v. 1139. συνεκδοχικῶς—ἢ ἐλιπήσαμεν, quod legitur inter scholia Laurentiana apud Elmsl. p. 262. 263., nulla cum scripturæ diversitate, nisi quod in Lips. bis est λυπησόμεθα pro λυπηθησόμεθα.

καὶ ἰκτῆριος θησαυρὸς ὁμοίως.

1178. ἐξημημένος] ἐκτεθερισμένος, ἀφῃρημένος.

1179. αὖτως] ὡσαύτως. ὥσπερ ἀπὸ τοῦ οὗτος γίνεται οὕτως ἐπίρρημα παρὰ τοῖς κοινοῖς, καὶ δηλοῖ δύο· λαμβάνεται γὰρ καὶ ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον, καὶ ἔχει ἀνταποδοτικὸν τὸ ὡς, οἷον, οὕτως ποιῶ, ὡς ἐκέλευσας· καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν· οὕτως ἀπὸ τοῦ αὕτη τὸ αὕτως παρὰ ποιηταῖς, κατὰ τὰ δύο ταῦτα σημαινόμενα. λέγεται γὰρ τὸ αὕτως καὶ ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον, ἐφ' ᾧ σημαινομένῳ τὸ ὡσαύτως λέγεται παρὰ τοῖς κοινοῖς μετὰ τοῦ ὡς, καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν.

τέμνω πλόκον] σὺν τῷ λόγῳ ἐκκόπτει ὁ Τεῦκρος καὶ τὸν πλόκαμον τῆς αὐτοῦ κεφαλῆς. ἔχου] ἅπτου τοῦ πατρός. ἔς τ' ἐγὼ μόλω] ἕως ἂν ἔλθω.

1185. νέατος] ὁ ἔσχατος, καὶ νεάτη, ἡ ἐσχάτη· ἀφ' οὗ νήτη, κατὰ κρᾶσιν, ἡ τελευταία χορδὴ τῆς μουσικῆς. ἐς πότε λήξει] μέχρι πότε παύσεται ὁ ἀριθμὸς τῶν πολυστρόφων ἐτῶν, ἐπάγων ἐμοὶ τὴν ἀτελεύτητον βλάβην τῶν πολεμικῶν καμάτων, κατὰ τὴν σήπουσαν ἡμᾶς Τροίαν τῷ χρόνῳ; τὴν Τροίαν λέγω, τὴν ἀθλίαν μέμψιν τῶν Ἑλλήνων, διὰ τὴν ἐν αὐτῇ δηλονότι χρονίαν διατριβήν.

1192. ὄφελε] ἀπὸ τοῦ ὀφείλω, ὄφειλον, καὶ ἐκβολῇ τοῦ ι, ὄφελον, ὃ ἐξ ἀνάγκης γράφεται διὰ τοῦ ω. τάσσεται δὲ ἀεὶ μετὰ ἀπαρεμφάτου, λέγεται καὶ μετὰ τοῦ οὐκ, οἷον, οὐκ ὄφελον, καὶ μετὰ τοῦ ὡς· καὶ τοῦ μὴ, ἢ τοῦ οὐκ, προτασσομένου τοῦ ὡς· οἷον, ὡς μὴ ὄφελον, ἢ οὐκ ὄφελον. οἷον, ἐπεὶ ἐγένετο τόδε, ὡς οὐκ ὄφελεν, γενέσθαι δηλονότι. συνυπακούεται γὰρ ἐξ ἀνάγκης τὸ ἀπαρέμφατον. καὶ, ἐπεὶ παρεγενόμην, ὡς μὴ ὄφελον, παραγενέσθαι δηλονότι. ἀφ' οὗ ὄφελες ἐπὶ δευτέρου, καὶ ὄφελεν ἐπὶ τρίτου· λαμβάνεται δὲ ἀντὶ τοῦ ἔπρεπεν. ὄφελον δὲ ἐπίρρημα ἀντὶ τοῦ εἴθε, διὰ τοῦ ο, καὶ τάσσεται ἀεὶ μετὰ εὐκτικοῦ, ἢ μετὰ παρεληλυθότος χρόνου. λέγεται τοῦτο ἐνίοτε μετὰ τοῦ ὡς, οἷον "ὡς ὄφελόν γε καὶ σὲ κακοδοξίᾳ "νενεκρωμένον."

1203. οὔτε ἐννυχίαν, ἤγουν νυκτερινὴν τέρψιν ἔδωκεν ἐμοὶ ἔχειν ἐν

λακτήριον τοῦ νυκτερινοῦ δείματος καὶ τοῦ πολέμου. ἀνεῖται] δέδοται, συγκεχώρηται.

1217. γενοίμαν] εἴθε γενοίμην ὅπου ἐστὶν ἐπὶ τοῦ πόντου τὸ σύνδενδρον ἀκρωτήριον, τὸ κλυζόμενον ὑπὸ τῆς ἁλὸς, λέγω ὑπὸ τὴν ἄκραν πλάκα, ἤγουν γῆν, τοῦ Σουνίου, ἀντὶ τοῦ ὑπὸ τὸ ἄκρον τῆς γῆς τοῦ Σουνίου. ἔστι δὲ τὸ Σούνιον ὄνομα ἀκρωτηρίου.

1225. σκαιὸν ἐκλύσων στόμα] ἀντὶ τοῦ σκαιοὺς λόγους, ἤγουν κακοὺς, ἀφήσων. σκαιὸν, τὸ κακὸν, καὶ τὸ ἀπαίδευτον, καὶ τὸ ἀριστερόν. τλῆναι] τολμῆσαι. ἀνοιμωκτεὶ] χωρὶς οἰμωγῆς, ἀτιμωρήτως. χανεῖν] εἰπεῖν.—σὲ δὴ ἀγγέλλουσιν ἐμοὶ τολμῆσαι εἰπεῖν οὕτως ἀνοιμωκτεὶ τὰ χαλεπὰ ῥήματα.

1287. στάντος] συσταδὴν μαχεσαμένου.

1239. πικροὺς] πικροποιοὺς, εἰς πικρίαν ἡμῶν. πικροὺς ἀγῶνας ἐοίκαμεν κηρῦξαι τοῖς Ἀργείοις τότε ἕνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ πανταχοῦ φανοίμεθα κακοὶ ἐκ Τεύκρου. ἐν μὲν τῷ ἔοιγμεν τρέπεται τὸ κ εἰς γ ἀπὸ τοῦ ἐοίκαμεν· ἐν δὲ τῷ στύξω, τὸ γ εἰς κ, ἀπὸ τοῦ στυγήσω, ὅθεν στύξαι.

1244. κακοῖς] λόγοις δηλονότι. βαλεῖτε] λοιδορήσετε.

1245. ξὺν δόλῳ κεντήσεθ'] λάθρα σφάξετε. οἱ λελειμμένοι] οἱ νικηθέντες, ἀπολειφθέντες. ἀπὸ μεταφορᾶς τῶν δρομέων ταῦτα λέγει.

1247. κατάστασις νόμου] εὐταξία, ἣν ὁ νόμος ποιεῖ.

1249. τοὺς ὄπισθεν] τοὺς ἀπολειπομένους, τοὺς νικωμένους. ἀπὸ μεταφορᾶς τῶν δρομέων ταῦτα λέγεται. ἀλλ' οἱ φρονοῦντες εὖ] ἤγουν οἱ φρόνιμοι κρατοῦσιν, καὶ πρὸς τοῦτο ἐπάγεται τὸ μέγας δὲ βοῦς ὢν τὴν πλευρὰν, καὶ τὸ ἑξῆς. ὀρθὸς] ἤγουν κατ' εὐθεῖαν εἰς τὴν ὁδὸν πορεύεται, οὐ παρακλίνων.

1257. ἀλλ' ἤδη σκιᾶς] ὑπὲρ ἀνδρὸς οὐκ ἔτι ζῶντος, ἀλλὰ ὄντος σκιᾶς, τουτέστιν ἀνυποστάτου.

1258. ὑβρίζεις] ὑβριστικὰ λέγεις. ἐξελευθεροστομεῖς] θρασυλογεῖς, λαβραγορεῖς. ὃς εἶ φύσιν] κατὰ φύσιν, ἤγουν κατὰ τὸ γένος. ἐλεύθερον] νόμος ἦν Ἀθήνησι, τοὺς ἐξ ἑταίρας ἢ δούλης τεχθέντας μὴ δημηγορεῖν. μάθοιμ'] νοήσαιμι. οὐκ ἐπαΐω] οὐ νοῶ.

1266. τοῦ θανόντος χάρις] ἤγουν ἡ ὀφειλομένη τῷ τεθνηκότι.

τις, πόθεν εἰς ἀνδρῶν; ἐν τούτῳ γὰρ ὁ ἐρωτῶν οἶδε μὲν ὅτι ἀνὴρ πρὸς ὃν τὴν ἐρώτησιν ποιεῖται, ζητεῖ δὲ τοὔνομα, ᾧ ἂν οὗτος τῶν ἄλλων ἀνδρῶν χωρίζοιτο. ἐπεὶ δὲ πρὸς τὸ τίς οὐκ ὄνομα μόνον ἀπαντᾷ κύριον, ἀλλὰ καὶ σὺν ἐπιθέτῳ ἐνίοτε κύριον, οἷον, τίς ὅδ' ἐστὶν ὁ ἡδὺς Λουκιανός; διὰ τοῦτο οὐκ ὀνόματι μόνον κυρίῳ τὸ τίς ὑποτάσσεται, ἀλλ' ἔστίν ὅτε καὶ ἐπιθέτῳ, οἷον, Λουκιανός τις ἐποίησε τόδε, καὶ, ὁ Λουκιανὸς ἡδύς τις ἐστίν. ἐνταῦθα οὖν ἡ χάρις ἐπίθετον ἔχει τὸ ταχεῖα ὄνομα, εἰ καὶ ἄλλως τοῦτο ἐπιρρηματικὴν ἔχει σημασίαν, διὸ μετὰ τοῦ τίς αὐτὸ ἐπάγεται, καὶ ταχεῖά τις αὖτη λέγεται διαρρεῖν. κατὰ ταῦτα λέγεται καὶ τὸ ὅστις καὶ τὸ ὁποῖός τις. καὶ τὸ μὲν ὅστις νοεῖται ἐπὶ κυρίου ὀνόματος· τὸ δὲ ὁποῖός τις, ἐπὶ ἐπιθέτου· ὡς παρὰ Λουκιανῷ· Τὸ δὲ ὅλον οἱ δῆμοι οὐκ ἐξετάζοντες τίς ἐστιν ὁ τοῖς πράγμασι ἐφεστηκώς· εἴτε καλὸς δηλονότι, εἴτε τὸ ἐναντίον, ἅπερ ἐπιθετικῶς λέγεται. προδοῦσ' ἁλίσκεται] καταλαμβάνεται προδεδομένη, ἢ προδοῦσα, τὸν τεθνηκότα δηλαδή. εἰ σοῦ γ' ὅδ' ἀνὴρ] εἰ σοῦ γε, ὦ Αἴας, ὅδε ὁ ἀνὴρ οὐκ ἔτι ἔχει μνήμην.

1270. προὔκαμες] προηγωνίσω.

1274. ἑρκέων] ἐντὸς τῶν ἑρκέων, ἤγουν τείχους, ἐγκεκλεισμένους. ἢ ἐν ἀντὶ τοῦ ἐντός. ἐν τροπῇ δορὸς] ἐν ἥττῃ τοῦ πολέμου. τρόπαιον, ἡ νίκη· τροπὴ δὲ, ἡ ἧττα. τρόπαιον, ἐπὶ τῶν διωκόντων· τροπὴ, ἐπὶ τῶν διωκομένων. ἄκροισιν ἤδη] ἐπὶ μὲν τοῖς ἄκροις ναυτικοῖς ἐδωλίοις, ἤγουν ὑποστρώμασι, σανιδώμασι τῶν νεῶν, τοῦ πυρὸς ἤδη ἀναπτομένου καὶ ἀναφλεγομένου. ἄρδην] αἴρω, τὸ ἀφανίζω, καὶ τὸ ὑψῶ· ἀφ' οὗ ἄρδην, ἀντὶ τοῦ μετεώρως καὶ κούφως, ὡς ἐνταῦθα. καὶ ἀντὶ τοῦ ἀφανιστικῶς καὶ ὁμοῦ.

1281. συμβῆναι] συνελθεῖν. βαίνω, τὸ πορεύομαι, ἀφ' οὗ τὸ συμβῆναι ἐνταῦθα· καὶ ἵσταμαι, ἀφ' οὗ βάσις ἀνδριάντος. λαχὼν] κληρωθείς· ἀφ' οὗ λαχμὸς, ὁ κλῆρος, ποιητικῶς.

κἀκέλευστος] καὶ αὐθόρμητος. τὸ πᾶν· καὶ οὐ μνημονεύεις, ὅτε αὖθις ὁ Αἴας κληρωθεὶς, αὐθόρμητος, οὐ περιμένων τὸν προστάξοντα, ἐμονομάχησε μετὰ τοῦ Ἕκτορος.

1285. δραπέτην] ἐπιτήδειον εἰς τὸ διαφεύγειν. κλῆρος, δι' ὃν ἐκληροῦντο· καὶ κλῆρος, αὐτὸ τὸ κληροῦσθαι. ἀρούρας] χέρσος, ἡ

ἀφορῶν ταῦτα λέγεις ;

1291. οὐκ οἶσθα] οὐ γινώσκεις Πέλοπα τὸν σὸν πρόπαππον ὄντα ἀρχαῖον, βάρβαρον Φρύγα, ὃς τοῦ σοῦ πατρὸς προὔπῆρξε πατήρ· Ἀτρέα δὲ, ὄντα δηλονότι, δυσσεβέστατον, προθέντα τῷ ἀδελφῷ δεῖπνον ἀπὸ τῶν σαρκῶν τῶν ἰδίων τέκνων, ὃς ἔσπειρέ σε ;

1296. ἐπακτὸν] ἐπείσακτον μοιχόν. ὁ φιτύσας] ὁ γεννήσας. φυτεύειν, τὸ τῇ γῇ φυτὸν ἐνθεῖναι. ψιλὸν τὸ φυ καὶ βραχύ. φιτύειν, τὸ σπείρειν, ποιητικῶς, ὃ παράγεται ἀπὸ τοῦ φῖτυς, ὁ πατήρ. ι καὶ μακρὸν, ὃ καὶ ἐνταῦθα τῷ ποιητῇ τέτακται. τοῖς δὲ ὕστερον ἡμαρτήθη. ἐφῆκεν] ἐπέταξε δοθῆναι εἰς διαφθοράν. τὰ πρῶτ' ἀριστεύσας] τὰς τῆς πρώτης μοίρας ἀνδραγαθίας ἀνδραγαθήσας.

1301. φύσει] γένει. ἐπὶ γένους λέγεται κυρίως τὸ φύσει· ἐπὶ δὲ τῶν υἱοθετουμένων, τὸ θέσει. καὶ ἀπὸ τούτων μετάγεται ταῦτα καὶ ἐφ' ἕτερα.

1302. βασίλεια] βασιλὶς, Λαομέδοντος θυγάτηρ. ἐκλελεγμένον δὲ αὐτὴν δῶρον Τελαμῶνι ἔδωκεν Ἡρακλῆς. βλαστὼν] βλαστήσας, εἰς φῶς προαχθείς. τοὺς πρὸς αἵματος] τοὺς ἀπὸ γένους. τοιοῖσδ' ἐν πόνοισι] τοιαύταις ἐν συμφοραῖς.

1309. βαλεῖτε χἠμᾶς] ἑαυτὸν λέγει, καὶ τὴν Τέκμησσαν, καὶ τὸν Εὐρυσάκην.

1310. ἐπεὶ καλόν μοι προδήλως ὑπὲρ τοῦδε πονουμένῳ μᾶλλον ἀποθανεῖν ἢ ὑπὲρ τῆς σῆς γυναικὸς, ἢ καὶ ὑπὲρ τῆς γυναικὸς λέγω τοῦ σοῦ ἀδελφοῦ.

1315. δειλὸς καὶ θρασὺς ἐναντία κακὰ ὑπερβολὴν ἔχοντα καὶ ἔλλειψιν. μέσον δὲ τούτων ἡ ἀνδρεία. ἢ 'ν ἐμοὶ] ἤγουν ἢ ἐν ἐμοί.

1316. καιρὸν] εἰς καιρὸν, ἐγκαίρως. ξυνάψων] αὐτοὺς δηλονότι εἰς μάχην, ἀλλὰ διαλύσων, χωρίσων, παρεγένου.

1320. οὐ γὰρ κλύοντες] ἆρα γὰρ οὐ πάνυ αἰσχροὺς λόγους ἀκούομεν, ὦ ἄναξ Ὀδυσσεῦ, ὑπὸ τοῦδε τοῦ ἀνδρὸς ἀρτίως ;

1324. λόγῳ ἤκουσεν αἰσχρὰ, καὶ γὰρ αὐτὸς ἔργῳ ἐποίησεν ἐμὲ αἰσχρά.

1325. τί γάρ σ' ἔδρασεν] τί δέ σε ἐποίησεν τοιοῦτον, ὥστε καὶ ἐπέχειν σοι βλάβην ;

1328. ἔξεστιν οὖν φίλῳ εἰπόντι τἀληθῆ, οὐδὲν ἔλαττον ἢ πρότερον συνηρετμεῖν σοι, τουτέστιν, ὥσπερ πρότερον συμφωνεῖν σοι, φίλῳ εἶναι. ξυνηρετμεῖν] ἀπὸ μεταφορᾶς τῶν τὴν αὐτὴν εἰρεσίαν ἐρεσσόντων καὶ μὴ ἐναντιουμένων. εἶην οὐκ ἂν εὖ φρονῶν] εἰ μὴ φίλου ἀκούσαιμι, σοῦ δηλονότι. νέμω] ἀντὶ τοῦ ἔχω.

1334. ἡ βία] ἡ δυναστεία. τὴν δίκην πατεῖν] ἀντὶ τοῦ, καταφρονεῖν τοῦ δικαίου. ἔχθιστος] πάνυ ἐχθρὸς, μάλιστα μεμισημένος. ἐκράτησα] ἐγκρατὴς ἐγενόμην. ἀλλ' αὐτὸν ἔμπας] ἀλλ' ὅμως ἐγὼ ὄντα αὐτὸν ἐμοὶ ἔχθιστον οὐκ ἂν ἀπαξιώσαιμι, ὥστε μὴ ὁμολογεῖν, καὶ τὸ ἐξῆς. ἀτιμάζοιτό σοι] ὑβρίζοιτο ὑπὸ σοῦ.

1344. ἄνδρα δ'] οὐ δίκαιον δὲ βλάπτειν σε τὸν ἄνδρα τὸν ἀνδρεῖον, εἰ θάνοι, οὐδ' ἐὰν μισῇς. τοῦδ' ὑπερμαχεῖς ἐμοὶ] ἤγουν ὑπὲρ τούτου μάχῃ ἐμοί.

1348. οὐ γὰρ θανόντι] ἤγουν θανόντι δὲ οὐ χρή σε προσεπεμβῆναι; τουτέστι, πρὸς τῷ μισεῖν καὶ ἐπεμπηδῆσαι. ἐπὶ τῶν λὰξ ἐναλλομένων λέγεται τὸ ἐπεμβῆναι. μὴ χαῖρε] ἤγουν μὴ πρόσκεισο.

1352. κλύειν] χρὴ τὸν ἀγαθὸν ἄνδρα ὑπακούειν τῶν βασιλέων. τουτέστι, πρέπει σε εἴκειν ἐμοί. ἐσθλὸς, ὁ ἐθελοντὴς μαχόμενος, ἤγουν ὁ ἀνδρεῖος καὶ ἀπὸ τούτου ὁ ἀγαθός.

1353. κρατεῖς] νικᾷς τοι, ὑπὸ τῶν φίλων νικώμενος.

1354. μέμνησ'] ἀναλογίζου.

1357. ἀρετὴ] ἡ ἀρετὴ αὐτοῦ δηλονότι, ἤγουν ἡ ἀνδρεία. πολὺ] ἀντὶ τοῦ πλέον. ἔμπληκτοι βροτοῖς] παραπλῆγες παρὰ τοῖς βροτοῖς. οἱ τοιοίδε φῶτες, οἷος ἦν ὁ Αἴας δηλονότι εἰς μάχην ῥᾳδίως μεταβαλλόμενος, ἔμπληκτοί εἰσι παρὰ τοῖς βροτοῖς. πρὸς ὃ ἀπαντᾷ ὁ Ὀδυσσεύς· Ὄντως πλεῖστοι, καὶ ἄλλοι δηλονότι, νῦν εἰσι φίλοι, καὶ κατὰ τὸ ἐπιὸν ἄλγους πρόξενοι. ἔμπληκτος, ἀπόπληκτος, καὶ παραπλὴξ, ταυτό. λέγεται δὲ ταῦτα ἐπὶ τῶν ἐκτετραμμένων τὴν ψυχήν.

1361. ἐπαινεῖν οὐ φιλῶ] ἀποδέχεσθαι οὐκ εἴωθα, ἤγουν οὐκ εἴωθα σκληρὸς εἶναι. φανεῖς] δείξεις.

1363. μᾶλλον μὲν οὖν ὑμᾶς δείξω πᾶσι τοῖς Ἕλλησιν ἄνδρας δικαίους. ἄνωγας] συμβουλεύεις.

1365. ἔγωγε] ἄνωγα δηλονότι. καὶ γὰρ αὐτὸς ἐνθαδ'] ἤγουν εἰς

πονεῖ. τὸ γὰρ ὅμοια ἀντὶ τοῦ συμφέροντα, ἁρμόδια. πονεῖ] ἐργάζεται. τῷ γάρ με μᾶλλον] τίνι γὰρ ἄλλῳ δηλονότι, ἤγουν τίνος ἄλλου χάριν εἰκός ἐστι πονεῖν ἐμὲ, μᾶλλον ἢ χάριν ἐμαυτοῦ; σὸν ἆρα] τὸ ἆρα ἀντὶ τοῦ δή. ὡς ἂν ποιήσῃς] καθὰ, ἤγουν καθ' ὁποῖον δή τινα τρόπον ἂν ποιήσῃς. πανταχῇ] ἐν πᾶσι.

1370. συγκατάθεσις συνυπακούεται, πρὸς ἣν ἐπάγεται τὸ ἀλλ' εὖ γ' ἐπίστασο, τοῦτο μὲν ποιήσω· ἀλλ' εὖ γε τοῦτο ἐπίστασο, καὶ τὸ ἑξῆς.

1372. κἀκεῖ κἀνθάδ' ὤν] ἐν τῷ Ἅιδῃ καὶ ἐν τῇ παρούσῃ ζωῇ, τουτέστι καὶ ζῶν καὶ ἀποθανὼν ὁμοίως.

1376. τἀπὸ τοῦδ'] κατὰ τὸ ἀπὸ τοῦδε, κατὰ τὸ ἑξῆς. ἀγγέλλομαι] ἀντὶ τοῦ ἐπαγγέλλομαι, ὑπισχνοῦμαι.

1378. συνθάπτειν θέλω] σὺν ὑμῖν δηλονότι θέλω θάπτειν. σὺν σοὶ θάπτω τόνδε. διττῶς δύναται νοεῖσθαι οὗτος ὁ λόγος. ἢ ὅτι καὶ σὲ θάπτω μετὰ τοῦδε· ἢ ὅτι τοῦτον ἐγὼ καὶ σὺ θάπτομεν.

1382. μ' ἔψευσας ἐλπίδος] ψευσθῆναι ἐποίησας προσδοκίας, τῆς πρὸς σὲ δηλαδή.

1384. παρέστης χερσὶν] συνεμάχησας ἔργῳ, οὐ λόγῳ. τοῦτο δὲ λέγεται ἐπὶ τῶν μετὰ σπουδῆς ἐργαζομένων τι.

1386. οὐπιβρόντητος] ὁ ἐμβρόντητος, ὁ ἐκτραπεὶς τῶν φρενῶν ἀπὸ ἤχου βροντῆς. λωβητὸν] ἐφύβριστον. τοιγάρ σφ' Ὀλύμπου] διὰ ὃ αὐτοὺς τῶν ἐν Ὀλύμπῳ θεῶν τὰ πρεσβεῖα ἔχων Ζεὺς, μνήμων τε, τῶν ἀδικημάτων δηλονότι, ἡ Ἐρινὺς, ἡ ταμιεύουσα τὰς τιμωρίας, καὶ τελεσιουργὸς Δίκη, καὶ τὸ ἑξῆς. Ἐρινῦς εἰσιν αἱ κατάραι, καὶ ἔφοροι τῶν καταρῶν θεαί.

1393. σὲ δ' ὦ] σὲ δὲ, ὦ σπέρμα πατρὸς τοῦ γεραιοῦ Λαέρτου, ἕνεκα μὲν τάφου, ἤγουν ἐνταφιασμοῦ, δέδοικα ἐᾶν ἐπιψαύειν τοῦδε. ὄκνος, ὁ φόβος, καὶ ἡ ἀναβολή.

1396. κεῖ τινα ἄλλον δηλονότι ἀπὸ τοῦ στρατοῦ.

1398. πορσυνῶ] παρέξω. ἀλλ' ἤθελον μὲν] συνεργῆσαι δηλονότι εἰς τὴν ταφήν. μάλιστα καινόσχημον τοῦτό γε. εἶμι] ἀπέρχομαι, ἐπαινέσας. τὸ σὸν] ἤγουν ὃ σὺ λέγεις.

1402. ἅλις] ἀντὶ τοῦ ἀρκούντως ἔχει τὸ πρᾶγμα. κοίλην κά-

τέρωθεν τὸ πῦρ δεχόμενον, ἕνεκα ἐπιταφίων λουτρῶν. ὑψίβατον δὲ, ὑψηλὴν βάσιν ἔχοντα. χυτρόπους, ὁ κοινῶς πυροστάτης, ὃ καὶ λάσανον λέγεται. ἀπὸ δὲ τῆς θέσεως τοῦ χυτρόποδος νοεῖται ὁ λέβης, καὶ τὸ θερμαινόμενον ὕδωρ.

1409. παῖ σὺ δὲ] σὺ δὲ, ὦ Εὐρύσακες, σὺν φιλοφροσύνῃ θιγὼν, ἤγουν ψαύσας σὺν ἐμοὶ τῆς πλευρᾶς τῆσδε τοῦ πατρὸς, ὅσον ἰσχύεις ἐπικούφιζε, ἀντὶ τοῦ ἀνακούφιζε, ἀναβάσταζε.

1412. σύριγγες] αἱ ὀπαὶ τῆς πληγῆς ἀναφυσῶσιν, ἀναπέμπουσι μέλαν αἷμα μετὰ ἰσχύος.

1413. ἀλλ' ἄγε πᾶς] ἀλλ' εἶα πᾶς, ὅστις φησὶν εἶναι φίλος τῷ ἀνδρὶ τῷδε, τῷ κατὰ πάντα ἀγαθῷ, ὁρμάσθω πονῶν ὑπὲρ τοῦδε, καὶ ὑπὲρ μηδενὸς ἄλλου ἀπὸ τῶν θνητῶν κρείττονος τοῦδε τοῦ Αἴαντος, ὅτε ἦν, ἤγουν ὑπῆρχε, τότε φωνῶ, τουτέστι λέγω. σούσθω] παρακινείσθω. βάτω] πορευέτω.

1420. ὅ τι πράξει] ὅπως διακείσεται. ἢ εὐπραγήσει λέγω, ἢ δυσπραγήσει. ἀμφότερα γὰρ ἡ λέξις δηλοῖ.

1. τάφον] Sic Lips. et editiones veteres, pro quo τάφρον edidit Brunckius. Grammatici utroque modo explicant. Hesych.: κάπεος· τάφος, σορός. ubi v. Albert.

5. λάσανον] λόβανον ed. Turnebi vitiose. Conf. Moschop. ad Hesiodi Op. 746.

ΕΙΣ ΦΙΛΟΚΤΗΤΗΝ.

2. Ἄστιπτος] ἄβατος.
38. θάλπεται] ξηραίνεται.
79. φύσει] ἐκ φύσεως. κτῆμα τῆς νίκης] αὐτὴν τὴν νίκην.
82. τόλμα] προστακτικόν.
91. ἐξ ἑνὸς ποδὸς] ἥγουν χωλὸς ὤν.
98. εἰς ἔλεγχον] εἰς πεῖραν τῶν πραγμάτων.
116. θηρατέα] δυνατὴ ληφθῆναι, ἥγουν ἡ Τροία.
134. νίκη τ' Ἀθηνᾶ] οὕτως Νίκη Ἀθηνᾶ ἐν τῇ Ἀττικῇ.
136. ὑπόπταν] τὸν ὑφορώμενον ἡμᾶς ὡς ἐπιβούλους.
139. καὶ γνώμα] ἡ γνώμη τῶν βασιλέων κρατεῖ.
153. ἔνεδρος] ἔνοικος.
180. πρωτογόνων] εὐγενῶν.
208. τρυσάνωρ] ἡ τρύχουσα τοὺς ἄνδρας.
216. τηλωπὸν] μεγάλην.
221. κατέσχετ'] προσωρμίσατε.
231. τοῦτό γ'] ἤτοι τῆς προσηγορίας ὑμῶν.
251. κλέος] φήμην.
275. οἷ' αὐτοῖς τύχοι] ἢ καταρᾶται αὐτοῖς. ἢ οἷα αὐτοῖς ἔτυχεν. ποίαν μ' ἀνάστασιν] τίνα ἐξ ὕπνου ἔγερσιν.
293. πάγου] παγετοῦ.
305. ἔσχε] προσέσχε.
313. ἀδηφάγον] βρωτικήν.
320. συντυχὼν] οὐχ ἁπλῶς τυχών· ἐκεῖνο γὰρ δοτικῇ συντάσσεται· ἀλλὰ σὺν σοὶ τυχὼν τῶν κακῶν Ἀτρειδῶν.
324. θυμῷ] ὀργῇ. χεῖρα] πρᾶξιν.
351. ἄθαπτον] ζῶντα. ζῶντα γὰρ οὐκ εἶδον.
355. πικρὸν] διὰ τὸ ἐκεῖ τεθάφθαι τὸν Ἀχιλλέα.
363. τλημονέστατον] λυπηρότατον.

25. Ἀτρειδῶν om. A.

καὶ τὸ εἰς Λῆμνον ἥκων.

388. διδασκάλων] βασιλέων ἢ συμβούλων.

399. παρεδίδοσαν] ἡ παρά τὸ ἄλογον καὶ ἄδικον δηλοῖ. τὸ δὲ ἑξῆς· παρεδίδοσαν τῷ Λαερτίου.

423. ἐξήρυκε] ἐκώλυσεν.

429. Ὀδυσσεὺς δ' ἐστὶν αὖ κἀνταῦθ'] ἐν τοῖς ζῶσι. ἐσχημάτισται ὁ λόγος, εἰ καὶ ἄκοντος Φιλοκτήτου. ἵν' ᾖ ἐνταῦθα, ἐν τῇ Λήμνῳ.

437. αἱρεῖ πονηρὸν] ὡς φεύγοντα δηλονότι.

448. παλιντριβῆ] ἐπίτριπτα.

455. φυλάξομαι] ὡς κακούς.

467. ἐξ ἀπόπτου] μακρόθεν τῆς θαλάσσης.

474. φορήματος] βάρους.

477. ὄνειδος] φήμη.

494. βεβήκοι] τεθνήκοι.

497. τὰ τῶν διακόνων] ἀντὶ τοῦ οἱ διάκονοι.

509. ὅσσα τύχοι] ὅσων τύχοι.

561. φροῦδοι] ἀφανεῖς, κρυπτοί.

568. αὐτάγγελος] ἀφ' ἑαυτοῦ ἄγγελος.

572. πρὸς ποῖον ἂν τόνδ'] καὶ τὸ τόνδε ἐσχημάτισται. ἤτοι τὸν παριστάμενον Φιλοκτήτην.

579. διεμπολᾷ] πωλεῖ.

618. καὶ τούτων] τὸ ἑξῆς· καὶ τούτων μὴ τυχὼν ἐφεῖτο καὶ ὑπέσχετο τῷ θέλοντι τὸ κάρα τέμνειν.

627. συμφέροι] συνενέγκοι.

639. ἄγῃ] πέσῃ, θραυσθῇ.

668. δοῦναι] ἀποδοῦναι. κἀξεπεύξασθαι] καυχήσασθαι.

678. ἄμπυκα δρομάδα] τροχὸν περιφερόμενον.

684. οὔτ' ἔρξας τιν'] βλαβερὸν δηλονότι.

685. ἴσος] δίκαιος.

1. ἔοικεν A. Legebatur ἔοικε μέν.

3. ὁ δ' om. A.

23. πρὸς ποῖον ἂν τόνδ'] Pro his verbis in A. est lemma ⸗ (corr. ⸗ν) δή τις ex versu proximo.

696. αἱμάδα κηκιομέναν] τὸ αἷμα ἀναδιδόμενον.

700. φορβάδος] τῆς πάντας τρεφούσης.

708. αἴρων] λαμβάνων.

712. ἀνύσειε] περιποιήσαιτο.

812. σοῦ μολεῖν ἄτερ] ἐσχημάτισται.

830. ὄμμασιν] ἐναντιωθεὶς τοῖς ὄμμασι τοῦ Φιλοκτήτου, μὴ ἐάσῃς αὐτὸν βλέψαι τανῦν.

845. βαιὰν] μικρὰ καὶ ἥσυχά μοι διαλέγου, μή ποτε ἀκούσῃ κοιμώμενος.

865. ἀφεστάναι φρενῶν] παραφρονεῖν.

871. μεῖναι] ὑπομεῖναι.

919. κακοῦ τοῦδε] τῆς νόσου.

925. τῶν ἐν τέλει] τῶν βασιλέων.

930. τὸν προστρόπαιον, τὸν ἱκετὴν] ἐκ δισσοῦ τὸ αὐτό.

948. ὧδ' ἔχοντ'] νοσοῦντα.

950. ἐν σαυτοῦ γενοῦ] ἀντὶ τοῦ φρόνησον.

968. ἐκκλέψας] ἀπατήσας.

974. τί δρῶμεν] ταῦτα λέγων βούλεται δοῦναι τὰ τόξα ὁ Νεοπτόλεμος.

1001. τί δ' ἐργασείεις] τί ἐργάσασθαι βούλει;

1016. νοεῖς] διανοῇ. προὐβαλοῦ] ἔρριψας.

1019. ὅλοιο· καὶ σὺ] γράφεται· ὅλοιο, καὶ σοί.

1039. κέντρον] ἐρεθισμός.

1085. συνοίσῃ] συνελεύσῃ.

1093. πτωκάδες] Ἅρπυιαι. πνεύματος] βοῆς.

1122. μὴ φιλότητ' ἀπώσῃ] ἣν ἔχομεν πρὸς σέ.

1125. γελᾷ μου] ὁ Ὀδυσσεύς. τὰν ἐμὰν τροφὰν] τὰ τόξα.

ἐκβεβιασμένον] ἐξηρπασμένον.

1131. τὸν Ἡράκλειον] τὸν Ἡρακλέους διάδοχον. ἄθλιον] γράφεται ἆθλον. μεταλλαγῇ] μεταβολῇ. ἐρέσσῃ] στρέφῃ.

1141. μὴ φθονερὰν] μὴ πικραίνεσθαι.

1146. χαροπῶν] φοβερῶν.

1153. ἐρύκεται] κατέχεται.

1218. ὁμοῦ] ἐγγύς.

1252. ἀλλ᾽ οὐδέ τοι] ἀλλ᾽ οὐδὲ πεισθήσομαι ποιεῖν ταῦτα τῇ σῇ χειρί. ὅ ἐστιν, οὐκ ἐπιτρέψω σοι.

1257. καίτοι σ᾽ ἐάσω] οὐ πολεμήσω.

1286. μὴ 'πεύξῃ] μὴ καταράσῃ.

1305. τοὺς πρώτους] τοὺς βασιλέας. ψευδοκήρυκας] ψευδῶς κηρυσσομένους, καὶ ἐγκωμιαζομένους.

1314. εὐλογοῦντα] εὐφημοῦντα. σοῦ τυχεῖν] παρὰ σοῦ.

1327. ἀκαλυφῆ] ἀσκεπῆ. παῦλαν] ἀνάπαυσιν, θεραπείαν.

1343. συγχώρει θέλων] ἑκὼν, βουλόμενος, σὺν ἡμῖν χώρει. παιωνίας] ἰασίμους, θεραπευτικάς.

1353. τῷ προσήγορος] τίς με προσαγορεύσει; ἐξανασχήσεσθε] ἀνέξεσθε. πανώλει] ἀξίῳ ἀπωλείας.

1371. πατρὸς] τοῦ Ποίαντος.

1385. χὠ λόγος τοιόσδ᾽] περὶ τοῦ σοι συμφέροντος.

1404. αἰτίαν] κατηγορίαν.

1421. παθεῖν] γενέσθαι. ἐκκριθεὶς] νομισθείς.

ΥΠΟΘΕΣΙΣ ΔΙΑ ΣΤΙΧΩΝ.

Ἐλθὼν Ὀρέστης εἰς πόλιν Μυκηνίδα
σὺν τῷ τροφεῖ γέροντι καὶ τῷ Πυλάδῃ
κτείνει τὸν αὐτόχειρα πατρῴου φόνου
καὶ τὴν συνεργὸν τῆς σφαγῆς τοῦ συμβίου.

Ἡ τοῦ δράματος ὑπόθεσις τοιαύτην ἔχει τὴν ἔννοιαν. ἡ Κλυταιμνήστρα τὸν Ἀγαμέμνονα ἄνδρα ἔχουσα ἠράσθη τοῦ Αἰγίσθου. Ἠλέκτρα δὲ τῆσδε οὖσα θυγάτηρ καὶ τὸν Ὀρέστην ἀδελφὸν ἔχουσα νηπιάζοντα ἔτι λάθρα τοῦτον ἐξαπέστειλεν εἴς τινα φίλον τὸν καὶ Πυλάδην καλούμενον, διὰ τὸ μὴ ὑπὸ μοιχοῦ τῆς αὐτῆς μητρὸς φονευθῆναι τοῦ καὶ πατέρα κτανόντος. Φωκὶς δὲ ἡ χώρα ἣν ὁ Πυλάδης κατῴκει. ζήλῳ τοίνυν ἀγαθῷ ὁρμηθεὶς ὁ Πυλάδης τοιοῦτόν τι ἐτέκταινε βούλευμα διὰ τὸ ὑπὸ τῶν μηνυμάτων τῆς Ἠλέκτρας ἀγανακτεῖν. λείψανον τινὸς νεκροῦ ἐν κιβωτίῳ βαλὼν ἔστειλε ταῦτα δῆθεν ἐπιπλάστως τοῦ Ὀρέστου ὄντος, ὅπως διὰ τῆς τοιαύτης ἀπάτης φονεύσωσι τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν. ἐλθὼν οὖν τις ἄγγελος πρέσβυς τὸν ἐπίπλαστον τάχα θάνατον τοῦ Ὀρέστου ἀγαθὴν ἔδοξεν ἀγγελίαν λέγειν τῷ Αἰγίσθῳ καὶ τῇ Κλυταιμνήστρᾳ, ὃς ὑπὲρ τῆς τοιαύτης ἀγγελίας καὶ δῶρα δοῦναι λέγεται τῷ ταύτην κομίσαντι. λοιπὸν ὁ τοῦ Ὀρέστου παιδαγωγὸς προλογίζων εὑρίσκεται πρὸς τὸν Ὀρέστην καὶ Πυλάδην, ἐρωτῶντας αὐτὸν ἐρχομένους ποῖ πορεύονται καὶ τίς ὁ τρόπος εἰς ὃν τότε μετέλαβον εἰς φόνον τὸν μοιχόν.

Ἀπορία. διὰ τί οὐκ ἐπιγέγραπται Σοφοκλέους θάνατος Αἰγίσθου καὶ Κλυταιμνήστρας, ἀλλ' Ἠλέκτρα, καίτοι μή τι παθούσης αὐτῆς;

Λύσις. ἀπὸ τοῦ πολυπαθεστέρου προσώπου καὶ ἐπιμονεστέρου τὴν ἐπιγραφὴν ἐποίησε. παρεισάγει μὲν αὐτὴν ἐν τῷδε τῷ δράματι

243,2—244,3. Hanc ὑπόθεσιν edidi ex cod. Florentino Abbatiæ 2788.

27. ἐπιμονεστέρου] Imo ἐπιμονωτέρου, nisi ἐπιμενεστέρου scripsit.

3. Ὧν πρόθυμος ἦσθ᾽] ἤγουν ἐπιθυμῶν, ὀρεγόμενος ἦσθα, ὑπῆρχες. ἔστι δὲ Ἀττικισμὸς ἀντὶ τοῦ ἐπεθύμεις.

4. τὸ παλαιὸν ἐνίοτε μὲν πρὸς ἕτερον λέγεται νέον, ὡς παλαιὰ Ῥώμη λέγεται πρὸς τὴν νέαν· ἐνίοτε δὲ οὐ τῶν πρός τι ἐστὶν, ἀλλὰ δηλοῖ μόνον τὸ πάλαι γεγονὸς, οἷον παλαιὰ πρᾶξις, ἡ πάλαι γεγονυῖα, καὶ ἁπλῶς τὸ παρῳχηκὸς, ἢ τὸ πάλαι μὲν τὴν ἀρχὴν εἰληφὸς, οὐ μὴν δὲ παυσάμενον, καθ᾽ ὃ λέγεται παλαιὸν Ἄργος. Ἄργος] τὰ περὶ τὰς Μυκήνας χωρία καὶ αὐταὶ αἱ Μυκῆναι, Μυκῆναι δὲ ἡ προκαθεζομένη τοῦ Ἄργους πόλις, ὥσπερ Σπάρτη ἡ προκαθεζομένη πόλις τῆς Λακεδαιμονίας, Λακεδαιμονία δὲ τὰ περὶ αὐτὴν χωρία. εἰσὶ δὲ τὸ Ἄργος καὶ ἡ Λακεδαιμονία ἐντὸς τῆς Πελοποννήσου. οὗ ᾽πόθεις] ποθεῖ τις τὸ μὴ παρὸν, ἀλλ᾽ ἀπόν.

5. οἰστροπλῆγος] τῆς οἴστρῳ, ἤγουν μανίᾳ, πληγείσης. τὰ ἀπὸ τοῦ πλήττω εἰ μὲν εἰς ος λήγει, παθητικά εἰσιν ἀεὶ, οἷον ἔμπληκτος, ἀπόπληκτος, ἃ λέγεται ἐπὶ τῶν πληγέντων τὴν γνώμην καὶ ἐκτραπέντων· εἰ δὲ εἰς ηξ, ἐνίοτε μὲν ἐνεργητικὰ, οἷον βουπλὴξ, τὸ κέντρον τὸ τὸν βοῦν πλῆττον, ἐνίοτε δὲ παθητικὰ, οἷον παραπλὴξ, ὁ φθαρεὶς τὰς φρένας, καταπλὴξ, ὁ συνεχῶς πεπληγμένος, καὶ καταπλὴξ Εἰλείθυια, ἡ πληγὰς συνεχεῖς ἔχουσα. εἰσὶ δὲ Εἰλείθυιαι οἱ τόκοι, καὶ αἱ ἔφοροι τῶν τόκων θεαί. καὶ οἰστροπλὴξ ἐνταῦθα ἡ οἴστρῳ, ἤγουν μανίᾳ, πληγεῖσα ὑπὸ τῆς Ἥρας. ταύτης γὰρ ὁ Ζεὺς ἐρασθεὶς μεταβέβληκεν αὐτὴν εἰς βοῦν, λαθεῖν πειρώμενος τὴν Ἥραν· ἡ δὲ γνοῦσα τὸν κύνα τὸν Ἄργον τὸν πανόπτην ἐπέστησε φυλάττειν αὐτὴν, ὃν Ἑρμῆς ὑπὸ τοῦ Διὸς πεμφθεὶς ἀπέκτεινεν. ἡ Ἥρα δὲ μὴ κατέχειν δυναμένη τὴν ζηλοτυπίαν εἰς μανίαν αὐτὴν ἔτρεψεν· ἡ δὲ ὑπὸ τῆς μανίας ἐλαυνομένη τὸ Ἰόνιον διεπέρασε πέλαγος, ἀφ᾽ ἧς καὶ Ἰόνιον ὠνομάσθη.

ἄλσος] δρυμὼν καὶ λόχμη ὁ σύνδενδρος τόπος· ἐρίπνη δὲ ὁ ἀνεστηκὼς τόπος καὶ ὑπὸ τῶν ἀνέμων καταπνεόμενος· νάπος δὲ ποιητικῶς, ὃ νάπη λέγεται παρὰ τοῖς κοινοῖς, ἡ κοιλότης τοῦ ὄρους.

ἦν δὲ ἀφιερωμένος τῷ Ἀπόλλωνι, καὶ ὁ Ἀπόλλων Λύκειος· Λύκειον δὲ οὐδετέρως γυμνάσιον ἐν Ἀθήναις. οἳ δ' ἱκάνομεν] ὅποι κατελάβομεν. φάσκειν] θέλε φάσκειν, ἤγουν φάσκε, λέγε. ἐνταῦθα δὲ ἀντὶ τοῦ βεβαίως ἐπίστασο.

11. ἐκ φονῶν] ἤγουν ἀφ' οὗ χρόνου ἐγένοντο οἱ φόνοι τοῦ πατρός σου. ὁμαίμου καὶ κασιγνήτης] ἐκ παραλλήλου, ἀδελφῆς.

14. τοσόνδ' ἐς ἥβης] ἐς τοσοῦτον μέτρον ἡλικίας, ἤγουν μέχρι τοσαύτης ἡλικίας.

τιμωρὸν] ἐκδικητὴν, ἐσόμενον δηλονότι.

15. ξένος λέγεται κυρίως ὁ φίλος, ὃν ἂν ποιήσῃ τις ἐν τῇ πατρίδι ἀπὸ ξένης ἐλθόντα.

17. ὡς ἡμῖν] ὅτι τὸ σέλας τοῦ ἡλίου τὸ λαμπρὸν κινεῖ ἡμῖν ἤδη δῆλα τὰ ἑωθινὰ φθέγματα τῶν ὀρνίθων.

19. μέλαινά τ' ἄστρων] τὰ ἄστρα τῆς μελαίνης νυκτὸς ἠφάνισται. νυκτὸς γενομένης φαίνεται τὰ ἄστρα· οὐ μὴν διὰ τὸ ἄστρα εἶναι γίνεται νύξ. διὸ τὰ ἄστρα λέγεται τῆς νυκτὸς, οὐ μὴν ἡ νὺξ τῶν ἄστρων. εἰ δὲ ἐποίει τὰ ἄστρα τὴν νύκτα, καὶ μὴ κατὰ συμβεβηκὸς ἐγίνετο τῇ ἀπουσίᾳ τοῦ ἡλίου, ἐλέγετο ἂν ἡ νὺξ τῶν ἄστρων, ὡς ἡμέρα ἡλίου. νυνὶ δὲ ἥλιος μὲν ἡμέρας λέγεται, διότι αἴτιός ἐστι τῆς ἡμέρας, καὶ ἡμέρα ἡλίου γίνεται. ἄστρα δὲ νυκτὸς μὲν λέγεται, διότι νυκτὸς οὔσης φαίνεται· νὺξ ἄστρων οὐ λέγεται, διότι οὐχ ὑπὸ τῶν ἄστρων ἡ νὺξ γίνεται. ἐξοδοιπορεῖν στέγης] ἐξέρχεσθαι τοῦ οἴκου.

21. ξυνάπτετον λόγοισιν] συνέρχεσθε διὰ λόγων. ἐμὲν] ἤτοι ἐσμέν. ἀναλογώτερον δὲ τὸ ἐμέν τοῦ ἐσμέν, ἐπειδὴ πλεονασμῷ τοῦ σ γέγονεν.

25. εὐγενὴς] ἀπὸ ἀγαθοῦ γένους. εὐγενεῖς, ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. γένος γὰρ ἡ πατρὶς καὶ ἡ γενεά. εὐπατρίδαι δὲ παρ' Ἀττικοῖς οἱ αὐτόχθονες, καὶ κατὰ τοῦτο περιφανεῖς, οἷον οἱ εὖ ἔχοντες ἕνεκα τῆς πατρίδος, ὡς εἶναι τοὺς εὐγενεῖς ἐπὶ πλέον τῶν εὐπατριδῶν·

27. ἐμὲν ἤτοι—τοῦ σ γέγονεν] Sic A. Legebatur ἐμὲν ἀντὶ τοῦ ἐσμέν. ἀ. δὲ τὸ ἐμέν· ἀπὸ τούτου γὰρ γίνεται τὸ ἐσμέν πλεονασμῷ τοῦ σ.

εὖ ἔχων ἕνεκα πατρίδος. οὐ γὰρ ἔχουσιν οἱ ἵπποι πατρίδας. ἀπὸ τούτων εὐγενὴς ψυχή, εὐγενὴς λόγος, καὶ εὐγενὲς ἦθος.

26. θυμὸν] τὸ θυμοειδὲς καὶ διεγηγερμένον, ἤγουν τὴν προθυμίαν. ἐν πρώτοις] ἐν τοῖς ἔμπροσθεν.

31. εἰ μή τι καιροῦ τυγχάνω] ἤγουν εἰ μὴ ἐγκαίρως λέγω κατά τι. ἐπὶ μουσικῆς λέγεται κυρίως τὸ μεθαρμόζειν, ἤγουν τὸ μετατιθέναι τὴν ἁρμονίαν.

34. ἀροίμην] λάβοιμι. ἀραίμην, μακρὸν τὸ α, ἐπεὶ ἀπὸ τοῦ ἀορίστου· ἀροίμην δὲ, βραχὺ, ἐπεὶ ἀπὸ τοῦ μέλλοντος. χρῇ] ἔχρησεν, ἀνεῖλεν.

36. ἄσκευον] δίχα παρασκευῆς. αὐτὸν] ἤγουν ἐμέ. ἀσπίδων] ὅπλων. δόλοισι χειρὸς] ἤτοι δολιότητι πράξεως. κλέψαι] ἤγουν λάθρα ἐργάσασθαι. ὅτ' οὖν] ἐπεί. ἐπίρρημα ἀντὶ συνδέσμου. εἰσηκούσαμεν] ἠκούσαμεν.

40. ἴσθι] μάνθανε. οὐ μὴ γὰρ γνῶσί σε, ἀντὶ τοῦ ἀναγνωρίσωσιν, οὐδ' ὑποπτεύσουσιν, ἤγουν ὑπονοήσουσιν, οὕτως ἠνθισμένον, τουτέστι κεχρωτισμένον, ἤτοι πεπολιωμένον, ὑπὸ γήρως καὶ χρόνου μακροῦ.

46. δορυξένων] δορύξενοι κυρίως οἱ ἐν πολέμῳ γεγονότες φίλοι, ὡς Γλαῦκος καὶ Διομήδης.

47. ἄγγελλε δ' ὅρκῳ προστιθεὶς] τὴν ἀγγελίαν δηλονότι ὅρκῳ. λέγεται δὲ ἀντιστρόφως, ἀντὶ τοῦ προστιθεὶς ὅρκον τῇ ἀγγελίᾳ. ὀθούνεκα] ἐκ παραλλήλου.

52. λοιβαῖσι] χοαῖς, θυσίαις δι' ὑγρῶν. καρατόμοις χλιδαῖς] καρατόμοις θριξὶν ὤφειλεν εἰπεῖν. ἐπεὶ δὲ αἱ τρίχες ἁβρότητα καὶ καλλωπισμὸν ἐμπαρέχουσι τοῖς ἀνθρώποις, φησὶ καρατόμοις χλιδαῖς.

53. στέψαντες] κοσμήσαντες. ἄψορρον ἦξομεν πάλιν] ὀπισθορμήτως ἐπανήξομεν. τύπωμα χαλκόπλευρον] ἀγγεῖον χαλκοῦν. ἠρμένοι] ἀντὶ τοῦ ἠρμένον ἔχοντες. ὅμοιον τῷ, πώγωνα καθειμένος, ἀντὶ τοῦ, κεχαλασμένον ἔχων.

55. θάμνοις] τὰ φυτὰ εἰς τρία διαιρεῖται, εἰς βοτάνην, θάμνον, καὶ δένδρον. που] τοπικόν.

63. μάτην] ψευδῶς.

65. ὡς κἄμ' ἐπαυχῶ] διὰ τὸ μέτρον ἴσως οὕτω γίνεται. ἥρμοζε

τὴν τὴν ὁδόν. σύ τ' ὦ πατρῷον] καὶ σὺ, ὦ δῶμα πατρῷον, δέξαι με δηλονότι εὐτυχοῦντα. καθαρτὴς γὰρ σοῦ ἔρχομαι σὺν δίκῃ. καὶ μὴ ἀποστείλητε, ἀντὶ τοῦ ἀποπέμψητε, ἐμὲ ἄτιμον, ἤγουν ἄδοξον, τῆσδε τῆς γῆς.

72. καταστάτην] εὐτρεπιστήν. εἴρηκα μὲν] κατὰ τὸ παρὸν ταῦτα ἱκανὰ δηλονότι. κατὰ ἀπόθεσιν λέγεται, ὡς τὸ εἶεν, καὶ ταῦτα μὲν δὴ ταῦτα, καὶ ταῦτα μὲν οὕτως, καὶ εἴρηται λόγος, καὶ τὰ τοιαῦτα. σοὶ δ' ἤδη γέρον] σοὶ δὲ ἀπὸ τοῦ νῦν, ὦ γέρον, μελέτω τὸ σὸν, ἤγουν ὅπερ ἐτάχθης καὶ χρεωστεῖς πληρῶσαι· λέγω τὸ πορευθέντι κατασκοπῆσαι. καιρὸς γὰρ, νῦν ἐστὶ δηλονότι, ὅς ἐστι τοῖς ἀνδράσι μέγιστος ἐπιστάτης, ἤγουν ἡγεμὼν ἔργου παντός.

77. ἰώ μοί μοι] θρηνεῖ Ἠλέκτρα μεμνημένη τοῦ πατρός. τὸ μέτρον σπονδειακόν.

78. προσπόλων] θεραπαινίδων. οὐ μόνον ἀρσενικῶς ὁ πρόσπολος, ἀλλὰ καὶ θηλυκῶς, ὡς ἐνταῦθα καὶ ἑτέρωθι.—καὶ μὴν, ὦ τέκνον, ἔδοξα αἰσθέσθαι, ἀντὶ τοῦ ἀκοῦσαι, τινὸς ἀπὸ τῶν θεραπαινίδων ἐντὸς τῶν θυρῶν ὑποστενούσης.

84. πατρὸς χέοντες λουτρὰ] σπένδοντες τῷ πατρί. τὰς τοῦ πατρὸς χοὰς τελοῦντες.

85. γῆς ἰσόμοιρος ἀήρ] κατὰ τὴν ἴσην ἐναντιότητα ἐστὶν ὁ μὲν ἀὴρ ἰσόμοιρος τῆς γῆς, τὸ δὲ ὕδωρ τοῦ αἰθέρος. ἔστι γὰρ ὁ μὲν ἀὴρ θερμὸς καὶ ὑγρὸς, ἐξαίρετον ἔχων τὸ ὑγρόν· ἡ δὲ γῆ ψυχρὰ καὶ ξηρὰ, ἐξαίρετον ἔχουσα τὸ ξηρόν. καὶ ὁ αἰθὴρ θερμὸς καὶ ξηρὸς, ἐξαίρετον ἔχων τὸ θερμόν· τὸ δὲ ὕδωρ ψυχρὸν καὶ ὑγρὸν, ἐξαίρετον ἔχον τὸ ψυχρόν.

90. αἱμασσομένων] πληττομένων ὤφειλεν εἰπεῖν. ἐπεὶ δὲ αἱ σφοδραὶ πληγαὶ αἱμάσσουσιν, στέρνων λέγει αἱμασσομένων, ἤγουν αἱματηρῶν γενομένων ὑπὸ τοῦ πλήττεσθαι.

97. μήτηρ δ' ἡ 'μὴ] μήτηρ δὲ ἡ ἐμὴ, καὶ ὁ συγκαθεύδων αὐτῇ Αἴγισθος ἔσχισαν αὐτὸν κατὰ τὸ κάρα διὰ φονικοῦ πελέκεως, καθὰ δρῦν δενδροτόμοι, σχίζουσιν δηλονότι. τὸ μὲν κάρα ἔχει τὸ πρότερον βραχὺ, καὶ τὸ δεύτερον μακρόν· (Aj. 308.) "παίσας κάρα θώϋξε." τὸ δὲ κρᾶτα, τὸ πρότερον μακρὸν καὶ τὸ δεύτερον βραχύ.

ἠχὼ ἐπὶ κωκυτῷ, ἤγουν θρηνώδη ἠχώ, πᾶσι προφωνεῖν ἔμπροσθεν τῶνδε τῶν πατρῴων θυρῶν. ἠχὼ] ἀντὶ τοῦ ἦχον οἱ ποιηταὶ ἠχὴν λέγουσιν. ἠχὼ γὰρ τὸ τῆς φωνῆς ἀντίφθεγμα. σωκῶ] ἰσχύω, δύναμαι. ἀντίρροπον] ἑτερορρεπὲς βάρος.

122. τίν' ἀεὶ τάκεις] τίς ἐστιν ἡ οἰμωγὴ, ἣν οὕτως ἀκορέστως ἀεὶ τήκουσα σαυτὴν οἰμώζεις τὸν πάλαι ἁλόντα ἀπάταις Ἀγαμέμνονα, ἐξ ἐνεργείας τῆς δολερᾶς, τῆς ἀσεβεστάτης μητρὸς ἔκδοτον, γενόμενον δηλονότι, χειρὶ κακῇ, ἤγουν κακοποιῷ καὶ φονικῇ. ἀκόρετον] ἀντὶ τοῦ ἀκορέστως. ὡς ὁ τᾶδε] ὡς ὁ Ἀγαμέμνων, ἀπώλετο δηλονότι, οὕτως εἴθε ἀπόλοιτο ὁ τᾶδε παρασχών. θέμις] τὸ ἔννομον· ὅσιον δὲ, τὸ δίκαιον. ὁμῶς ἀμφότερα ἐπὶ θεοῦ· τὸ δίκαιον ἐπὶ ἀνθρώπων.

132. φυγγάνει] ἤγουν διαφεύγει, λανθάνει. ἀπὸ τοῦ φεύγω γίνεται φευγάνω· καὶ ἐκβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ ν, εἶτα, διὰ τὸ ἐπαγόμενον γ, τροπῇ τούτου εἰς γ, φυγγάνω. οὕτω γίνεται καὶ τὸ τυγχάνω, ἀπὸ τοῦ τεύχω ἀχρήστου. καὶ τὸ ἀνδάνω, ἀπὸ τοῦ ἥδω· καὶ τὸ πυνθάνομαι ἀπὸ τοῦ πεύθομαι· καὶ τὸ ἐρυγγάνω ἀπὸ τοῦ ἐρεύγομαι, καὶ ἕτερα.

προλιπεῖν] καταλιπεῖν.

133. στοναχεῖν] στενάχω καὶ στοναχῶ, τὸ αὐτό. εἰσὶ δὲ καὶ ἀμφότερα ποιητικά. φιλότητος] φιλοφροσύνης. ἀμειβόμεναι] ἀποδιδοῦσαι. ὧδ' ἀλύειν] οὕτως ὑπ' ἀμηχανίας ἀγανακτεῖν.

136. ἱκνοῦμαι] ἀντὶ τοῦ παρακαλῶ· ἀφικνοῦμαι δὲ, ἀντὶ τοῦ παραγίνομαι καὶ φθάνω.

137. ἀλλ' οὐκ ἀναστήσεις τὸν σὸν πατέρα ἐκ τῆς λίμνης τοῦ Ἅιδου τοῦ παγκοίνου, ἤγουν τοῦ πᾶσι κοινοῦ, οὔτε διὰ γόων, οὔτε διὰ παρακλήσεων. ἀμήχανον] ἤγουν ἀνίκητον, ἀθεράπευτον, πρὸς ὃ οὐκ ἔστι μηχανήσασθαι. ἀνάλυσις] ἐπανόρθωσις. τῇ ἀναλύσει ἐναντία ἡ σύνθεσις.

145. νήπιος] ὁ ἐν βρεφικῇ ὢν ἡλικίᾳ, καὶ ἀπὸ τούτου ὁ ἀνόητος. μωρός.

οἰκτρῶς οἰχομένων] ἐλεεινῶς ἐφθαρμένων.

148. ἃ Ἴτυν] οὕτως ἦν ῥᾴδιον λέγεσθαι, Ἀλλ' ἐμὲ ἤρεσε κατὰ

ἄγγελος ἀτυζομένη ἀεὶ ὀλοφύρεται Ἴτυν Ἴτυν. νέμω θεὸν] θεόν σε ἔχω, καθότι δακρύεις ἐν τάφῳ πετραίῳ. τὸ δὲ αἰαῖ καθ' ἑαυτὴν λέγει.

160. ὄλβιος ὢν] συνυπάγει τὸν λόγον ἐνταῦθα τῷ ὑποτακτικῷ ἄρθρῳ. ὀφείλων γὰρ λέγειν, Ὄλβιος Ὀρέστης, ὃν ἡ κλεινὴ γῆ δέξεται τῶν Μυκηναίων, ὁ δὲ λέγει, Ὄλβιος ὅντινα Ὀρέστην ἡ κλεινὴ γῆ τῶν Μυκηναίων δέξεταί ποτε εὐπατρίδην, ἀντὶ τοῦ περιφανῆ μολόντα εἰς τήνδε τὴν γῆν εὔφρονι βήματι, ἀντὶ τοῦ πομπῇ ἡδείᾳ, τοῦ Διός.

164. ἀκάματα] ἀκαμάτως, ἀνενδότως. ἀνύμφευτος] ἄγαμος. οἰχνῶ] ἀναστρέφομαι, περιέρχομαι. οἰχνῶ γέγονεν ἀπὸ τοῦ οἴχομαι παρενθέσει τοῦ ν· μετέπεσε δὲ εἰς τὴν τῶν περισπωμένων συζυγίαν, ὥσπερ καὶ τὸ ἀφικνοῦμαι, γενόμενον ἀπὸ τοῦ ἵκομαι παρενθέσει τοῦ ν. ἀπὸ δὲ τοῦ οἰχνῶ καὶ ἴχνος διὰ τοῦ ι.

169. ὧν τ' ἔπαθ', ὧν τ' ἐδάη] καὶ ὧν ἔπαθε, δηλονότι ὑπ' ἐμοῦ, καλῶν, καὶ ὧν ἔμαθε. τί γὰρ εἶδος ἀγγελίας οὐκ ἔρχεται ἐμοὶ ἀπάτην ἔχον, τουτέστι ψευδές; ποθεῖ] ὁ Ὀρέστης, φανῆναι ἀπὸ κοινοῦ.

175. κρατύνει] κρατεῖ, ἄρχει. εὐμαρὴς] εὐμαρείας πάροχος, ἤγουν εὐκολίας.

180. Κρίσσα, πόλις τῆς Φωκίδος. τὴν ἀκτὴν τὴν Κρίσσαν, ἀντὶ κτητικοῦ, τουτέστι τῆς Κρίσσης.

183. παρὰ τὸν] κατὰ τόν· καὶ ἐν τῷ πεζῷ λόγῳ ἐν χρήσει αὕτη ἡ σύνταξις τῆς παρά προθέσεως.

189. ἔποικος] ἐν ἀλλοτρίᾳ οἰκίᾳ οὖσα, ξένη. ἀναξία] μηδεμιᾶς φροντίδος ἀξία.

191. ἀεικεῖ] αἰσχρᾷ, ἀπρεπεῖ· παρὰ τὸ μὴ ἐοικέναι, ὃ δηλοῖ τὸ καθήκειν.

197. ἔρος] μικρὸν γράφεται διὰ τὸ μέτρον. ὅτι δὲ καὶ μικρὸν γράφεται δῆλον ἐκ τῆς αἰτιατικῆς. τὸν ἔρον γὰρ λέγομεν. καὶ Ὅμηρος· (Ἰλ. α', 469.) "ἐξ ἔρον ἕντο." εἴτε βροτῶν] εἴτε τις ἀπὸ τῶν βροτῶν.

31. γράφεται addidi ex A. in quo sunt verba μικρὸν—ἕντο.

εἶδε πατήρ· ὁ δὲ πρὸς τὸ σημαινόμενον ἀποδοὺς λέγει, οὓς θανάτους ἀπρεπεῖς εἶδεν ὁ ἐμὸς πατὴρ ἀπὸ διδύμων χειρῶν.

206. αἰκεῖς] ἀπρεπεῖς, αἰσχρούς. διδύμαιν χειροῖν] ἡ πληγὴ γὰρ τοῦ πελέκεως δι' ἀμφοτέρων γίνεται τῶν χειρῶν ὡς ἐπὶ τὸ πλεῖστον.

209. οἷς θεὸς] ἀπὸ τῶν χειρῶν μεταβαίνει ἐπὶ τοὺς ἐργασαμένους ταῖς χερσί.

211. μηδέ ποτ'] μηδὲ ἀπολαύσαιντό ποτε λαμπρότητος. ἀνύσαντες] πληρώσαντες, ἐργασάμενοι. φράζου] σκόπει. πόρσω] πόρρω, πλείω τοῦ πρέποντος.

217. πολὺ γάρ τι] πολὺ ἐκτήσω τὸ πλῆθος τῶν κακῶν, διὰ τῆς σῆς δυσθύμου ψυχῆς τίκτουσα ἀεὶ ταραχὰς καὶ ἔριδας. δυσθύμῳ] σκληρᾷ, βαρυθύμῳ. τῷ δυσθύμῳ ἐναντίον ὁ εὔθυμος.

220. οὐκ ἐριστὰ] οὐκ ἀξίαν ἔριν ἔχοντα. ἐριστὴς, ὁ φιλόνεικος· ἐριστικὸς δὲ, ὁ ἐπιτηδειότατα ἔχων εἰς τὸ ἐρίζειν, ὥσπερ φιλικὸς, ὁ ἐπιτήδειος εἰς φιλίαν· ἐριστὸν δὲ, τὸ ἀξίαν ἔχον τὴν ἔριν, ὥσπερ παικτὸν παίγνιον, τὸ ἄξιον παίζεσθαι, καὶ παικτὴ παιδιὰ, ἡ ἀξία παίζεσθαι.

221. ἐν δεινοῖς οὖσα δηλονότι. ἠναγκάσθην] παρεκινήθην. ὀργὰ] ἣν ὀργίζομαι δηλονότι. πρόσφορον] ἁρμόδιον, πρέπον. ἄνετε] ἄφετε, ἐάσατε. ἄλυτα] ἀμετακίνητα. ἀνάριθμος] ἀμέτοχος, ἀπὸ τοῦ συναριθμεῖσθαι.

236. τί μέτρον] ποία συμμετρία κακώσεως καὶ κακοπραγίας ὑπῆρξε; φέρε] ἴδωμεν δηλονότι, κατὰ τίνα τρόπον ἐστὶ καλὸν τὸ ἀμελεῖν, ἤγουν ἀμελῶς διακεῖσθαι ἐπὶ τοῖς ἀποθανοῦσιν. ἔβλαστε] ἐφάνη. μήτ' εἴην] ἀντιστρόφως τοῦτο λέγεται, ἤγουν μὴ εἴη μοι ταῦτα διὰ τιμῆς. τὸ δὲ πᾶν· μήτε εἴη μοι ταῦτα διὰ τιμῆς, ἤγουν τὸ ἀμελῶς διακεῖσθαι δηλονότι ἐπὶ τοῖς ἀποθανοῦσι· μήτε, εἴ τινι χρηστῷ πρόσκειμαι, ξυναίοιμι, ἤγουν συνοικοίην, τούτῳ δηλονότι, ἥσυχος, ἔχουσα πτέρυγας γόων ὀξυτόνων, ἀντὶ τοῦ γόους ὑψηλοφώνους, ἐκτίμους τῶν γονέων, ἤτοι ἀφισταμένους τῆς τιμῆς τῶν γονέων.

247. πάλιν δώσουσιν] ἀντὶ τοῦ ἀνταποδώσουσιν, ἀντισταθμήσουσι τοῦ φόνου καταδίκας.

255. δυσφορεῖν] ἀγανακτεῖν. τὸ δυσφορεῖν κυρίως ἐπὶ νόσου λέγεται, ᾧ ἐναντίον τὸ εὐφορεῖν, ὡς παρ᾽ Ἱπποκράτει " εὐφόρως φορέουσι." τὸ δὲ πᾶν· αἰδοῦμαι μὲν, εἰ νομίζομαι ὑμῖν διὰ πολλῶν θρήνων ἀγανακτεῖν· ἀλλὰ σύγγνωτε, ἡ βία γὰρ ἀναγκάζει ἐμὲ δρᾶν ταῦτα.

258. οὐ δρᾴη] οὐ ποιοίη ἂν τάδε, ἅπερ ἐγὼ δηλονότι ποιῶ.

260. καταφθίνοντα] φθίνοντα, μαραινόμενα, κατὰ μεταφορὰν, ἀντὶ τοῦ μειούμενα. τὸ θάλλειν ἐπὶ τῶν φυτῶν λέγεται κυρίως, καὶ ἔχει ἐναντίον τὸ μαραίνεσθαι, ἢ τὸ φθίνειν. φθίνειν γὰρ καὶ μαραίνεσθαι ταυτόν· καὶ ἀπὸ τούτων καὶ ἐπ᾽ ἄλλων, ὡς ἐνταῦθα θάλλοντα μᾶλλον ἢ καταφθίνοντα, ἀντὶ τοῦ αὐξάνοντα μᾶλλον καὶ τρεφόμενα, ἢ μειούμενα.

268. ἐσθήματα καὶ ἐσθήσεις ἐν πεζῷ λόγῳ ἄχρηστα· ἐσθὴς δὲ ἐν χρήσει. παρεστίους] ἐφεστίους. ἐφέστιοι λοιβαὶ, αἱ ἐν τῇ οἰκίᾳ τελούμεναι. σπένδω λοιβὰς ὡς λέγω λόγον. καὶ σπένδειν ἐπὶ τῶν ὑγρῶν λέγεται.

271. τελευταίαν] μεγίστην.

273. εἰ χρεὼν] χρεὼν, ἀντὶ τοῦ χρέος, καὶ ἀπὸ τούτου πρέπον, ὡς τὸ ὄφελεν, ἀντὶ τοῦ ἐχρεώστει, καὶ ἀπὸ τούτου ἀντὶ τοῦ ἔπρεπεν.

275. τῷ μιάστορι] τῷ λυμεῶνι, τῷ φονεῖ. μιάστωρ, ὁ διὰ τὸν παρ᾽ ἑαυτῷ μιασμὸν καὶ τοὺς ἄλλους μιαίνων. ὥστε τῷ μιάστορι ξύνεστι] συνυπακούεται ὁ καί σύνδεσμος. τὸ γὰρ ὥστε μόνον μετὰ ἀπαρεμφάτου ζητεῖ τάττεσθαι.

276. ξύνεστι] συγκαθεύδει. ἐγγελῶσα] ἐπεγγελῶσα, ἐπιχαίρουσα. εὑροῦσα] καταλαβοῦσα.

279. τὸν ἀμὸν] τὸν ἡμέτερον, ἤγουν τὸν ἐμόν. ἡμέτερον μὲν, ὃ πολλοὶ ἔχομεν· ἐμὸν δὲ, ὃ μόνος ἐγὼ ἔχω.

283. τέτηκα] διαρρέομαι, φθείρομαι. κἀπικωκύω] ἀντὶ τοῦ κωκύω, θρηνῶ, δακρύω. δακρύω τὸν τεθνηκότα· ἐπιδακρύω δὲ τῷ τεθνηκότι.

284. ἐπωνομασμένην] ἐπωνυμίαν τοῦ πατρὸς ἔχουσαν δαΐτα, τὴν δηλαδὴ Ἀγαμεμνόνειον λεγομένην.

5. Ἱπποκράτει] Conf. schol. Aj. 51.

κτεί] κατὰ μεταφορὰν ἀπὸ τῶν κυνῶν, ἀντὶ τοῦ ἀπειλουσα βοᾷ.

299. ξὺν δ' ἐποτρύνει] συμπαροτρύνει δὲ ἐπὶ ταῦτα ὁ νυμφίος αὐτῆς ὁ ἔνδοξος παρὼν πέλας, ἤγουν συνωθεῖ. λέγεται δὲ τὸ συνωθεῖν ἐπὶ τῶν ἀμφοτέραις ταῖς χερσὶν ὠθούντων. ὅμοιον τῷ· (Aj. 1143.)

ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν.

ἀντὶ τοῦ, ἐπὶ τὸ πλεῖν παρορμήσαντα.

301. ἄναλκις] ἀσθενής. ἡ πᾶσα βλάβη] ὁ κατὰ πάντα βεβλαμμένος. [ὁ πανταχόθεν βλαβερὸς, ὁ λυμεὼν, ἡ αὐτοβλάβη.]

305. τὰς οὔσας τε] τὰς παρούσας καὶ τὰς ἀπούσας, ἤγουν καὶ ἃς εἶχον, καὶ αἳ ἔμελλον ἀνακύψειν. λέγεται δὲ ὑπερβολικῶς.

313. θυραῖον οἰχνεῖν] θυραίαν διατρίβειν. λέγεται δὲ ἀντὶ ἐπιρρήματος, ἀντὶ τοῦ ἐκτός. θυραῖος ἀντὶ τοῦ θυραία, καὶ ῥαγδαῖος ἀντὶ τοῦ ῥαγδαία, καὶ βίαιος ἀντὶ τοῦ βιαία, καὶ ὅσα εἰς ος ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς α ληγόντων, Ἀττικά ἐστι. χρύσεος δὲ ἀντὶ τοῦ χρυσῆ, καὶ κλυτὸς ἀντὶ τοῦ κλυτὴ, καὶ ὅσα εἰς ος ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς η ληγόντων, ποιητικά.

314. ἦ κἂν ἐγὼ] ὄντως εἰ ταῦτα οὕτως ἔχει, καὶ ἐγὼ ἂν θαρροῦσα μᾶλλον ἀφικοίμην εἰς τοὺς σοὺς λόγους.

316. ἱστόρει] ἐρώτα. ἱστορεῖν τὸ διέρχεσθαι τόπους παρὰ τοῖς κοινοῖς· παρὰ δὲ τοῖς ποιηταῖς τὸ ἐρωτᾶν.

319. φησὶν] ἐπαγγέλλεται. φιλεῖ ὀκνεῖν] εἴωθεν ἀναβάλλεσθαι. οὐκ ὄκνῳ] οὐκ ἀναβολῇ.

322. πέφυκεν ἐσθλὸς] ἤγουν ἀγαθὸς ὑπάρχει, ὥστε ἐπαρκεῖν, τουτέστι βοηθεῖν τοῖς φίλοις.

323. οὐ μακρὰν] οὐκ ἐπὶ πολύ.

325. φύσιν] κατὰ φύσιν, ἤτοι φύσει καὶ οὐ θέσει. τοῦ γνησίου ἐναντίον ὁ φυσικὸς, ὁ λεγόμενος κόπελος· τοῦ δὲ φύσει υἱοῦ ὁ θέσει, ἤγουν ὁ υἱοθετημένος.

328. τίν' αὖ σὺ] τίς ἐστιν ἡ φωνὴ αὕτη, ἣν φωνεῖς, ὦ κασιγνήτη, πρὸς ταῖς ἐξόδοις τοῦ πυλῶνος ἐλθοῦσα;

332. καίτοι] ὡς εἰ ἔλεγεν, οἶδα ὅτι καὶ αὐτὴ ἀλγῶ ἐπὶ τοῖς παροῦσι. εἰ σθένος λάβοιμι] τρία γὰρ παρακολουθοῦσιν εἰς τὸ γενέσθαι τι· βούλησις, δύναμις, καὶ ἐπιστήμη.

μοι ταπεινῶς διαλέγειν καὶ ὑπηκόως.

337. ἀλλὰ καὶ σὲ δὲ τοιαῦτα βούλομαι ποιεῖν.

340. ἀκουστέα] Ἀττικῶς ἀντὶ τοῦ ἀκουστέον, τουτέστιν ἄξιόν ἐστιν ὑπακούειν κατὰ πάντα τῶν ἀρχόντων.

343. τἀμὰ] ἤγουν ἃ ἐμὲ διδάσκεις.

345. ἔπειθ' ἑλοῦ γε] εἰ δὲ μή τοι, ἕκλεξαι θάτερον.

348. τὸ τούτων μῖσος] ὃ τούτους μισεῖς.

350. ἐκτρέπειν, τὸ παρακλίνειν τῆς ὁδοῦ· καὶ ἐκτροπὴ, ὅταν τις ἢν βαδίζει ὁδὸν ἀφεὶς ἑτέραν βαδίσῃ.

351. πρὸς κακοῖσι] ἤγουν πρὸς τῷ εἶναί σε κακὴν ὑπάρχεις καὶ δειλή. κακὴ μὲν, ὅτι οὐ τιμᾷς τὸν πατέρα· δειλὴ δὲ, ὅτι φοβῇ τοὺς κτανόντας τὸν πατέρα.

359. τὰ σὰ δῶρα] ἤγουν ἃ σοὶ δωροῦνται. χλιδᾷς] τρυφᾷς.

361. ὑπεικάθοιμι] ὑπείκοιμι, ὑποτασσοίμην. περιρρείτω] πανταχόθεν εὐπορίαν ἐχέτω.

363. ἐμοὶ γὰρ ἔστω] ἤγουν τοῦτο μόνον ἐμὲ βοσκέτω τὸ μὴ λυπεῖν ἐμὲ αὐτὴν, εἰ τοῖς φονεῦσι τοῦ πατρὸς πείθεσθαι ἀναγκασθήσομαι.

365. ἐξὸν] ἀδείας οὔσης. τὸ ἐξὸν, τὸ παρὸν, τὸ ἐνὸν, καὶ ὅσα ἄλλα οὐδέτερα μετοχικὰ, οὐδέποτε οἱ Ἀττικοὶ πλαγιάζουσιν, ὅτι πλαγιασμὸν ἡ σύνταξις ἀπαιτεῖ.

368. προδοῦσα] καταλείπουσα.

369. πρὸς ὀργὴν] ἀντὶ τοῦ ὀργίλως· καὶ πρὸς βίαν, ἀντὶ τοῦ βιαίως· καὶ πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς· καὶ πρὸς ἀλήθειαν, ἀντὶ τοῦ ἀληθῶς· καὶ πολλὰ ἕτερα λέγεται οὕτως ἀντὶ ἐπιρρήματος.

372. ἔθος, ἡ συνήθεια· ἦθος δὲ, ὁ τρόπος. ἐνταῦθα οὖν ἐθὰς ὤφειλεν εἶναι. διὰ δὲ τὸ μέτρον ἐτέθη τὸ ἠθάς, ἀπὸ τοῦ ἦθος. καὶ πλησιάζουσι τὸ ἔθος καὶ τὸ ἦθος.

380. ἐνταῦθα] ἐκεῖσε. τὸ ἐνταῦθα νοεῖται ἐν πρώτῳ προσώπῳ, ἤγουν ἐνταῦθα ἔνθα εἰμὶ ἐγώ. τὸ αὐτοῦ, ἐν δευτέρῳ, οἷον αὐτοῦ ἔνθα εἶ σύ. τὸ ἐκεῖ, ἐν τρίτῳ, οἷον ἐκεῖ ἔνθα ἐστὶν ἐκεῖνος. ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐκεῖσε λέγεται, τὸ ἐπίρρημα ἀντὶ ἐπιρρήματος.

382. ὑμνήσεις] θρηνήσεις. ὕμνος, κυρίως ἡ εἰς θεὸν ᾠδή. παρὰ

385. ἦ ταῦτα δή με] ἆρα δή μοι καὶ βεβούλευνται; ἤγουν οὐκ ἠπείλουν μόνον ταῦτα, ἀλλ' ἤδη καὶ βουλῇ κυροῦσιν.

393. ὥστε θαυμάσαι] θαυμάζει τις ἀρετὴν, ἀντὶ τοῦ, ἀγαπᾷ ἐργάζεσθαι ἀρετήν· καὶ θαυμάζει λόγους, ἀντὶ τοῦ, ἀγαπᾷ κλᾶσθαι λόγους. κατὰ τοῦτο λέγεται κἀνταῦθα τὸ θαυμάσαι. ἤγουν καλὸς γὰρ ὁ ἐμὸς βίος, ὥστε θαυμάσαι, αὐτὸν δηλονότι, ἤγουν ἀγαπῆσαι βιοῦν αὐτόν.

396. ἀλλ' οὐ διδάσκω] κακὴν εἶναι τοῖς φίλοις, διδάσκω δὲ εἶκειν τοῖς ἄρχουσιν.

398. ἐξ ἀβουλίας] ἐξ αἰτίας τῆς κακοβουλίας, ἤγουν διὰ κακοβουλίαν. εἰ χρὴ] εἰ ἀπόκειται. τιμωρούμενοι] ἀντὶ τοῦ τιμωροῦντες. πατὴρ δὲ τούτων] οἶδα ὅτι ὁ πατὴρ ἕνεκα τούτων συγγνώμην ἔχει, ἡμῖν δηλονότι.

399. πρὸς κακῶν ἐπαινέσαι] ἀντὶ τοῦ κακῶν ἀνθρώπων ἐστὶν, ἴδιον δηλονότι, ἐπαινέσαι ταῦτα τὰ ἔπη, ἤγουν κακοὶ ταῦτα ἐπαινέσονται.

403. οὐ δῆτα] οὐδαμῶς. ἤγουν εἴθε μηδαμῶς εἴην λειπομένη νοῦ, τουτέστι γνώσεως, κατὰ τοσοῦτον.

404. τἄρ'] τοι ἄρα. ἐστάλην] στέλλομαι, ἀντὶτοῦ πορεύομαι· ἀποστέλλομαι δὲ ὑφ' ἑτέρου, ἀντὶ τοῦ πέμπομαι. οἷπερ ἐστάλην ὁδοῦ] καὶ τὸ οἷ μόνον ἱκανόν ἐστιν, οἷον, πορεύσομαι οἷ ἀπεστάλην. ἐπεὶ δὲ ὁδὸς ἄγει ἐκεῖσε, ὅποι ἀπεστάλη, λέγει οἷ τῆς ὁδοῦ.

405. ἐμπορεύῃ] πορεύῃ. τάδ' ἔμπυρα] ταύτας τὰς σπονδάς.

406. πατρὶ τυμβεῦσαι χοὰς] σπεῖσαι τῷ τύμβῳ τοῦ πατρὸς χοάς.

409. ἐκ τοῦ φίλων] ἐκ παρακινήσεως τίνος τῶν φίλων; ἐκ δείματός του] ἐκ φόβου τινὸς νυκτερινοῦ. δοκεῖν ἐμοὶ] κατὰ τὸ δοκοῦν ἐμοί. δοκέων γὰρ δοκεῖν οἱ Ἀττικοὶ λέγουσιν, οὐ δοκοῦν, ὡς πλέον πλεῖν καὶ δέον δεῖν.

413. τὴν ὄψιν] ἤγουν ὃ εἶδεν. ὄψις, τὸ θεαθὲν, καὶ ἡ ὁρατικὴ δύναμις, καὶ τὸ πρόσωπον.

415. ἀλλὰ τοῦτο] κἂν τοῦτο. πολλά τοι] ἀντὶ τοῦ κατὰ πολὺ ἐπιρρηματικῶς. ἔστι δὲ Ἀττικὸν, ὡς καὶ τὸ πότερα ἀντὶ τοῦ πότερον. ἔσφηλαν] ἀντὶ τοῦ σφαλῆναι ἐποίησαν. κατώρθωσαν] ἀνώρθωσαν.

τινός. ἐπεὶ δὲ ἡ ἕνωσις καὶ διὰ λόγων γίγνεται, καὶ διὰ μίξεως ἀφροδισίων, καὶ δι' ἑτέρων, λέγεται ὁμιλία καὶ ἐπὶ συνουσίας καὶ ἐπὶ διαλέξεως. ὁμιλεῖ γάρ τις τινὶ, ἤγουν διαλέγεται· καὶ ὁμιλεῖ βιβλίῳ, ἀντὶ τοῦ, εἰς λόγους ἔρχεται. λόγους γὰρ τὸ βιβλίον ἐμπεριέχει. ὁμιλεῖ δὲ θανάτῳ, ἀντὶ τοῦ ἑνοῦται· καὶ ὁμιλεῖ συμφοραῖς, ἀντὶ τοῦ ἑνοῦται καὶ συγκίρναται. κοινωνοῦσι δὲ τινὲς οἱ μεταδιδόντες ἀλλήλοις καὶ μεταλαμβάνοντες παρ' ἀλλήλων φιλίας ἢ γνώσεως, ἢ τινὸς τοιούτου τῶν παρ' ἑαυτοῖς, ἢ ἑτέρου τινὸς ἔξω ἑαυτῶν συμμετέχοντες, οἷον τραπέζης, ἢ χωρίων, ἢ τοιούτων τινῶν. ἐφέστιος, ὁ οἰκῶν ἐν ἀλλοτρίᾳ οἰκίᾳ, ὡς παρ' Ὁμήρῳ· (Ὀδ. η', 248.)

ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων.

καὶ ὁ ἔχων οἰκίαν, ὡς παρὰ τῷ αὐτῷ· (Ἰλ. β', 125.)

Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασιν.

ἐφέστιος ἁπλῶς καὶ ὁ ἐν οἰκίᾳ ὤν, ὡς ἐνταῦθα. ὁμέστιος δὲ καὶ συνέστιος ὁ ἐν μιᾷ οἰκίᾳ μεθ' ἑτέρου ὤν.

425. ἐξηγουμένου] διηγουμένου. ἑρμηνεία, συνθήκη λόγου δηλοῦσά τι, καὶ ἡ τῶν τυχόντων διασάφησις. ἐξήγησις δὲ, διασάφησις θείων· διήγησις δὲ, ἡ ἁπλῶς ἀφήγησις.

429. ἀβουλίᾳ] ἤγουν ὑπὸ κακοβουλίας.

430. μέτει] κολακεύσεις, ζητήσεις. μετέρχομαι, τὸ ὑπέρχομαι, καὶ κολακεύω, καὶ τὸ κολάζω.

432. θέμις] τὸ ἔννομον· ὅσιον, τὸ δίκαιον. ὁμῶς ἀμφότερα ἐπὶ θεοῦ, δίκαιον δὲ ἐπὶ ἀνθρώπου.

434. κτερίσματα] ἐντάφια. λουτρὰ] χοάς. πνοαῖσιν] ἀνέμοις. ῥῖψον δηλονότι. βαθυσκαφεῖ] εἰς βάθος ὀρωρυγμένῃ. πρὸς μὲν τὸ βαθυσκαφεῖ κόνει ἁρμοδίως λέγεται τὸ κρύψον· πρὸς δὲ τὸ πνοαῖσιν οὐ δύναται ἁρμόσαι. δεῖ οὖν συνυπακούειν ἔξωθεν ῥῆμα κατὰ ἀναλογίαν, ἢ τὸ ῥῖψον, ἢ τὸ δὸς, ἤ τι τῶν τοιούτων. καὶ ἐν ἑτέροις τοῦτο γίνεται πολλοῖς, ὡς παρ' Ὁμήρῳ· (Ἰλ. γ', 326.)

ἦχι ἑκάστῳ
ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε' ἔκειτο.

οὐ γὰρ οἱ ἵπποι ἔκειντο, ἵν' ἀπὸ κοινοῦ τὸ ἔκειτο λέγηται μετεσχηματισμένον, ἀλλ' εἱστήκεσαν.

442. σκέψαι γὰρ εἰ σοὶ αὐτῇ δοκεῖ ὁ νέκυς δέξασθαι ἐν τοῖς τάφοις προσφιλῶς τάδε τὰ δῶρα.

445. κάρα] κατὰ τὴν κεφαλὴν ἑαυτοῦ δηλονότι.

446. τὸ ἆρα καὶ τὸ μή ἐκ παραλλήλου. ἆρα νομίζεις φέρειν ταῦτα λύτρωσιν αὐτῇ τοῦ φόνου;

449. ἄκρας φόβας] τὰ ἄκρα τῶν τριχῶν. σμικρὰ] εὐτελῆ. οὐ χλιδαῖς] ὑπὸ τρυφῆς οὐ κατεσκευασμένον.

456. αὐτοῦ] τοῦ Ἀγαμέμνονος. ἐπεμβῆναι ποδὶ] λὰξ ἐμπηδῆσαι καὶ ἐπιτεθῆναι. τὸ λοιπὸν] κατὰ τὸ ἐπίλοιπον τοῦ χρόνου, ἤγουν τὸ ἔμπροσθεν. ἀφνεωτέραις] πλουσιωτέραις χερσὶ τιμῶμεν, ἢ κατὰ τὰ παρόντα δεξιούμεθα.

459. οἶμαι μέλον τι, ἤγουν φροντίδα τινὰ, εἶναι δηλονότι, ἐκείνῳ τοῦ πέμψαι τῇ Κλυταιμνήστρᾳ ταῦτα τὰ κακὴν ὄψιν ἔχοντα ὀνείρατα. ὑπούργησον] ὑπηρέτησον.

464. πρὸς εὐσέβειαν] εὐσεβῶς, κατὰ τὸ ἀρέσκον τῷ θεῷ.

466. οὐκ ἔχει λόγον] τὸ γὰρ δίκαιον οὐ παρέχει ἀπολογίαν δυοῖν ὥστε ἐρίζειν, ἀλλὰ παρέχει δηλονότι ὥστε σπεύδειν ἐπὶ τὸ δρᾶν. σπεύδω ἐπὶ τόδε· ἐπισπεύδω δὲ ἕτερον, ἤγουν ἐπείγω.

470. ὡς εἰ τάδ' ἡ τεκοῦσα] ὅτι εἰ ἀκούσεται ταῦτα ἡ τεκοῦσα, ἀλγεινὴν νομίζω εἰς τὸ ἐξῆς τολμήσειν ἐμὲ τήνδε τὴν πεῖραν, ἤγουν εἰς ἄλγος ἐμὸν τολμήσειν τήνδε τὴν ἐπιχείρησιν, εἰ ἀκούσεται ταῦτα ἡ τεκοῦσα. ὀφείλει δὲ μᾶλλον οὕτω λέγεσθαι· πικρὰν δοκῶ ἐγὼ τολμήσειν τήνδε τὴν πεῖραν. ὅμοιον δὲ τῷ (65.) ὡς κἄμ' ἐπαυχῶ.

472. παράφρων] ἀνόητος, οὐκ ὀρθὰ στοχαζομένη εἰς τὸν σκοπὸν τούτων τῶν ὀνειράτων. λειπομένα] ἐστερημένη γνώμης σοφῆς, ἀντὶ τοῦ, συνετοῦ νοῦ. εἶσιν ἁ πρόμαντις] ἀφίξεται ὅσον οὔπω ἡ τὴν μαντείαν προπέμψασα διὰ τῶν ὀνείρων.

476. δίκαια φερομένα] δίκαια φερομένη κράτη χεροῖν, ἤγουν ἰσχὺν δικαίαν ἐπιφερομένη διὰ τῶν χειρῶν. μέτεισι] κολάσει οὐ διὰ μακροῦ χρόνου. παλαιὰ χαλκόπληκτος ἀμφάκης γένυς] ἀμφοτέρωθεν ἠκονημένη. ἤγουν ὁ παλαιὸς πέλεκυς. ἀπὸ τοῦ στόματος λέγει ὅλον τὸν πέλεκυν. παλαιὸν δὲ λέγει, ἀναφέρων πρὸς τὴν πρᾶξιν, ἥτις πάλαι ἐγένετο. χαλκόπληκτος] λέγεται ὁ ὑπὸ χαλκοῦ πληγείς.

488. πολύπους] πολλὰ διερχομένη. πολύχειρ] πολλὰ ἐργαζομένη. δεινοῖς λόχοις] κρυπτομένη ἐν δεινῷ λόχῳ, τουτέστι φοβερῷ, ἐνέδρᾳ. χαλκόπους] ἡ εὔτονος κατὰ τὴν πορείαν. μιαιφόνων] ἤγουν τῶν ἐπὶ μιαιφονίᾳ γινομένων. τὰ συναλλάγματα γὰρ τῶν γάμων τῶν μιαιφόνων κακόνυμφα ἐπέβη οἷς οὐ θέμις, ἤγουν ἐτελέσθη ὑφ' οἷς οὐκ ἔννομον.

495. πρὸ τῶνδε] ὑπὲρ τῶνδε ἔχει ἐμὲ ἐλπὶς μήποτε πλησιάζειν ἡμῖν τοῖς δρῶσι καὶ συνδρῶσιν, ἤγουν σοί, τῇ ἀχθομένῃ, καὶ ἡμῖν, ταῖς συναχθομέναις, σημεῖον ἀψεγὲς, ἤγουν ἀρεστόν. λέγει δὲ τοὺς ὀνείρους.

498. ἤτοι μαντεῖαι] ἢ μαντεῖαι ἀνθρώπων οὐκ εἰσὶν ἐν ὀνείροις δεινοῖς, ἀντὶ τοῦ ἀληθεύουσιν, οὐδὲ ἐν θεσφάτοις, ἤγουν χρησμοῖς, ἀληθεύουσιν, εἰ μὴ τὸ φάσμα τόδε τῆς νυκτὸς εὖ κατασχήσει, ἀντὶ τοῦ εὖ ἕξει.

505. ἱππασία παρὰ τοῖς κοινοῖς, ἱππεία δὲ καὶ ἱππόσυνη παρὰ τοῖς ποιηταῖς.

512. πρόρριζος] ἀντὶ τοῦ σύρριζος, μεταφορικῶς ἀπὸ τῶν φυτῶν, ἐφ' ὧν λέγεται κυρίως, οἷον, πρόρριζον ἔπεσε τὸ φυτὸν, ἀντὶ τοῦ σύρριζον.

516. στρέφῃ] ἀναστρέφῃ. γράφεται τρέφῃ, ἀντὶ τοῦ διάγεις.

517. ὅς σ' ἐπεῖχε μὴ αἰσχύνειν] ὃς ἐπεῖχέ σε μὴ αἰσχύνειν τοὺς φίλους. ἁρμόζει καὶ χωρὶς τοῦ μή τοῦτο λέγεσθαι, οἷον, ἐπεῖχέ σε αἰσχύνειν τοὺς φίλους, ἔνθα τὸ ἐπεῖχε τὸ ἐκώλυε μόνον δηλοῖ· ἐν δὲ τῷ ἐπεῖχε μὴ αἰσχύνειν, οὐχ ἁπλῶς τὸ ἐκώλυε δηλοῖ, ἀλλ' ἀντὶ τοῦ κωλύων ἐποίει λαμβάνεται. αἰσχύνειν] ἐξουθενεῖν, ἀτιμάζειν. θυραίαν] ἀντὶ τοῦ ἐκτὸς, ὄνομα ἀντὶ ἐπιρρήματος.

520. πολλὰ] κατὰ πολύ. ἄρχω] τὸ κυριεύω, καὶ τὸ ἀρχὴν ποιῶ, ὡς παρὰ Λιβανίῳ "ἄρχω γραμμάτων, οὗ μάλιστα ἐπεθύμεις." καὶ τὰ σὰ] καὶ οἷς σὺ πρόσκεισαι. ὕβριν οὐκ ἔχω] ἀντὶ τοῦ οὐχ ὑβρίζω. ἢ οὕτως· οἴκοθεν οὐκ ἔχω ὕβριν, ἀντὶ τοῦ, οὐχ ὑβριστικὴ πέφυκα. θαμὰ] συχνάκις.

525. πρόσχημα] πρόφασις. λέγεται καὶ ὁ καλλωπισμός. πρόσχημα γάρ σοι ἀεὶ ὁ πατὴρ, ὅτι ἐξ ἐμοῦ τέθνηκεν, οὐδὲν ἄλλο. ἀντὶ τοῦ, πρόσχημά σοι τὸ τεθνηκέναι τὸν πατέρα ἐξ ἐμοῦ. τοῦτο καὶ διὰ

ἔλον. καὶ, εἰλέ τις τήνδε τὴν πόλιν, ἀντὶ τοῦ παρέλαβε. καὶ εἵλεν ἀντὶ τοῦ ἀνεῖλε, ποιητικῶς, ἤγουν ἐφόνευσεν. ᾗ χρῆν] τῇ δίκῃ δηλονότι. ἔτλη] ὑπέμεινεν. οὐκ ἴσον καμὼν] ἤγουν οὐκ ἴσην ἐμοὶ λύπην καμὼν, ἀντὶ τοῦ ὑπομείνας, ὅτε ἔσπειρεν, ὥσπερ ἐγὼ ἡ τίκτουσα, ἤγουν ὥσπερ ἐγὼ ὅτε ἔτικτον, ὑπέμεινα δηλονότι.

534. τοῦ χάριν τίνος] τὸ τοῦ καὶ τίνος ἐκ παραλλήλου. Ἄλλως. τοῦ χάριν τίνων] ἤγουν τίνος χάριν ἀποδιδοὺς ἐθυσίασεν. τοῦτο δηλοῖ τὸ τίνων, ἤγουν ἀποδιδούς. ἔστι δὲ μετοχὴ, καὶ οὐ γενικὴ πληθυντική. Ἀργείων] ἕνεκα Ἀργείων. ἀντ' ἀδελφοῦ] ἕνεκα τοῦ ἀδελφοῦ.

541. ὁ πλοῦς ὅδ'] ἀντὶ τοῦ, ὁ πλοῦς ἐκεῖνος. τὸ οὗτος ἐπὶ τῶν ὁρωμένων λέγεται καὶ δακτυλοδεικτουμένων, ἢ ἐπὶ τῶν εἰς ὄψιν ἀγομένων ἀπὸ διηγήσεως. ἐνταῦθα γοῦν οὐκ ἐπὶ διηγήσει τοῦ πλοῦ ἐπάγει τὸ οὗτος, ἵνα καλῶς ἀποτείνῃ ἡ δεῖξις πρὸς ἃ διηγήσατο. ἀλλ' ἀναφορὰν θέλει δηλοῦν ὁ λόγος μετὰ δείξεως, ἣν δηλοῖ τὸ ἐκεῖνος. ἔστιν οὖν τὸ ὅδε ἀντὶ τοῦ ἐκεῖνος.

542. ἰστέον ὅτι τὸ τίν' ἵμερον οὐκ ἔστι τίνα ἵμερον, εἰ διαλελυμένως εἴποις, ἀλλὰ τινὰ ἵμερον, διὰ δὲ τὸ κούφισμα μετετέθη ὁ τόνος.

ἢ τῶν ἐμῶν τέκνων ἔσχεν ὁ Ἅιδης τινὰ ἵμερον, ἤγουν τινὰ ἐπιθυμίαν, ὥστε δαίσασθαι, ἀντὶ τοῦ εὐωχηθῆναι, πλέον παρὸ τῶν ἐκείνης; τῷ πανώλει] τῷ ἀξίῳ πάσης ἀπωλείας. παρεῖτο] ἠμελεῖτο, παρεωρᾶτο. Μενέλεω δ' ἐνῆν] τῶν τοῦ Μενελάου δὲ παίδων πόθος ὑπῆρχεν αὐτῷ. κακοῦ γνώμην] ἤγουν κακοτρόπου.

550. δύσθυμος] μετάμελος.—ἐγὼ μὲν ἐφ' οἷς ἐποίησα οὐδὲν μεταμέλομαι· εἰ δὲ φαίνομαί σοι κακῶς φρονεῖν, λαβοῦσα σὺ δικαίαν γνώμην, ἤγουν εἰποῦσα σὺ δίκαια, ψέγε τοὺς πέλας, ἤγουν ἐμέ.

557. ἐξῆρχες] ἤγουν ἔξαρχον ἐποίεις. λυπηρὰ κλύειν] εἰς τὸ κλύειν τινὰ, σοῦ δηλόνοτι. λύπην ἐμποιοῦσα τῷ ἀκούοντί σου. ὅμοιον τῷ, ἡδὺς ὁ ποταμὸς πιεῖν, ἤγουν εἰς τὸ πιεῖν τινὰ ἐξ αὐτοῦ.

559. αἰσχίων ἔτι] τίς ἄν ποτε λόγος γένοιτ' ἂν αἰσχίων τούτου, ἢ μᾶλλον αἰσχρός. λέγεται τὸ ἔτι παρὰ τοῖς κοινοῖς ἀντὶ τοῦ ἀκμήν. οἷον, ἔτι νέος ἐστὶ, καὶ, ἔτι ποιῶ τόδε. λέγεται καὶ ἀντὶ τοῦ, ἐπὶ

563. ἐροῦ] ἐρώτησον. τίνος ποίνης] ἕνεκα τίνος ἀντεκτίσεως. ἔσχε] ἐπέσχε. θεᾶς κατ' ἄλσος] κατὰ σύνδενδρον τόπον ἀνατεθειμένον τῇ θεᾷ. κατὰ σφαγὰς] κατὰ τὴν σφαγήν. ἐκκομπάσας] ἀντὶ τοῦ κομπάσας, ἤγουν καυχησάμενος. τυγχάνει βαλών] ἔβαλεν, ἔρριψεν.

570. κἀκ τοῦδε μηνίσασα] ἐξ αἰτίας τῆσδε μνησικακήσασα. Λητῴα κόρη] ἡ θυγάτηρ τῆς Λητοῦς, ἡ Ἄρτεμις. αἱ κτητικαὶ ἀντωνυμίαι δύναμιν ἔχουσι γενικῶν, καὶ κτητικῶν γενικῶν καὶ πατρικῶν γενικῶν. οἷον ὁ ἐμὸς υἱός, καὶ ὁ ἐμὸς οἶκος, καὶ ἡ ἐμὴ πατρίς. τὰ δὲ κτητικὰ ὀνόματα γενικῶν κτητικῶν μόνον ἔχουσι δύναμιν, οἷον Πλατωνικὸν βιβλίον, οὐ μὴν Πλατωνικὸς υἱός· καὶ Ἑκτόρειος ζωστὴρ, οὐ μὴν καὶ Ἑκτόρειος υἱός, ἀλλ' ἢ υἱὸς τοῦ Ἕκτορος, ἢ Ἑκτορίδης, χωρὶς τοῦ υἱός. οἱ ποιηταὶ δὲ καὶ Ἑκτόρειος υἱὸς λέγουσι, καὶ Λητῴα θυγάτηρ, ὡς ἐνταῦθα. ἀντίσταθμον] ἰσόσταθμον. ἐκθύσειε] ἀντὶ τοῦ θύσειε.

575. πολλὰ] κατὰ πολύ. ἀντιβὰς] ἀντιτείνας. ἀντιβαίνειν, ἀντισπᾶν, καὶ ἀντιτείνειν ταυτὸν, τὸ παρὰ τοῖς κοινοῖς ἀντιπατεῖν.— μόγις] μετὰ πολὺν πόνον.

578. ἐπωφελῆσαι] ἀντὶ τοῦ ὠφελῆσαι. ἐκ σέθεν] ἐξ ἐνεργείας σοῦ.

581. μετάγνοιαν] ἀντὶ τοῦ μετάνοιαν, τουτέστι μεταμέλειαν. ἄνοια ἡ παντελὴς ἀφροσύνη· ἄγνοια δὲ ἡ ἑνός τινος πράγματος. μετάνοια καὶ μετάγνοια ταυτὸν, πλὴν ὅτι τὸ μέν ἐστιν ἐν χρήσει παρὰ τοῖς κοινοῖς, τὸ μετάνοια· τὸ δὲ μετάγνοια παρὰ τοῖς ποιηταῖς.

584. σκῆψιν οὐκ οὖσαν] πρόφασιν ψευδῆ.

587. παλαμναίῳ] φονεῖ. παλαμναῖος, ὁ ταῖς οἰκείαις χερσὶ φόνον ἐργασάμενος.

589. εὐσεβεῖς] ἐννόμους, ἤγουν ἐξ ἐννόμου γάμου. κἀξ εὐσεβῶν] τουτέστιν ἐνόμῳ γάμῳ ἡρμοσμένων, ἤγουν ἐννόμων. ἐκβαλοῦσ' ἔχεις] ἤγουν ἐξέβαλες, ἀπέρριψας, ἐδίωξας.

592. ἀντίποινα] ἀντέκτισιν, ἐκδίκησιν. ἐχθροῖς γαμεῖσθαι] ἐχθρὸς γὰρ Αἴγισθος Ἀγαμέμνονος, ἀνελὼν αὐτόν. πᾶσαν ἵης γλῶσσαν] πάντα λόγον πέμπεις, κινεῖς. ἀκρατῶς πάντα λέγεις.

πάντα λόγον.

601. ἔξω χεῖρα] ἤγουν τὴν σὴν κατάσχεσιν, κάκωσιν, μετὰ πόνου ἐκφυγών. δυστυχῆ τρίβει] μετὰ κατατριβῆς καὶ κακώσεως ἀνύει ζωήν.

603. σοὶ] κατὰ σοῦ. μιάστορα] ἐνταῦθα ἀντὶ τοῦ φονέα. ἐπῃτιάσω] ἠτιάσω. κήρυσσε] διαδίδου. εἴτε χρὴ] εἴτε σοι ἀρέσκει. στομαργὸν] φλύαρον.

699. σχεδὸν] ἀντὶ τοῦ ἴσως, καὶ ἀντὶ τοῦ πλησίον. οὐ καταισχύνω] οὐκ ἐξουθενημένην ποιῶ τὴν σὴν φύσιν, ἐπεὶ καὶ αὕτη δηλονότι οὐκ ἀμέτοχος τούτων ἐστίν.

610. μένος πνέουσαν] θρασυνομένην. μένος γὰρ τὸ θράσος.

612. ποίας δ' ἐμοὶ] ποίας γνώσεως χρεία ἐστὶν ἐμοὶ εἰς τὸ ἰδεῖν εἰ δίκαια αὕτη λέγει, ἥτις τοιαῦτα ὕβρισε τὴν τεκοῦσαν;

614. τηλικοῦτος] ἀντὶ τοῦ τηλικαύτη, ἤγουν φαῦλος.

615. τὸ χωρίς, τὸ ἄνευ καὶ τὸ δίχα κοινὰ, τὸ δὲ ἄτερ ποιητικόν.

618. ἔξωρα] ἄκαιρα. δυσμένεια] ἔχθρα, ἡ πρὸς τὸν πατέρα καὶ πρὸς ἡμᾶς. ἐκδιδάσκεται] διδάσκεται τὶς ὑπὸ τινὸς, καὶ διδάσκεται ὑπὸ τινὸς τοιαύτη διδασκαλία, καθ' ὃ λέγεται ἐνταῦθα.

624. λέγεις νιν] αὐτὰ, τὰ πολλά. εὑρίσκεται] εὑρίσκει ἑαυτοῖς.

628. τὸ ἐκφέρεσθαι κυρίως ἐπὶ νεκροῦ λέγεται· καὶ ὅταν φέρῃ τινὰ ἵππος βίᾳ ἔξω τῆς εὐθείας ὁδοῦ. ἀφ' οὗ κατὰ μεταφορὰν λέγεται ἐνταῦθα τὸ πρὸς ὀργὴν ἐκφέρῃ. ἡγεμὼν γάρ ἐστιν ὁ λογισμός· ὁ δὲ θυμὸς καὶ ἡ ἐπιθυμία ὡς ἄλογά τινα ζῶα. νικώμενος οὖν ὁ λογισμὸς ὑπὸ τούτων ἐκφέρεται τοῦ προσήκοντος, ὥσπερ ὑπὸ ἵππων. χρῄζοιμι] θέλοιμι. χρῄζω, τὸ χρείαν ἔχω, καὶ τὸ θέλω. ὧν τὸ μὲν συντάσσεται γενικῇ, τὸ χρείαν ἔχω· τὸ δὲ θέλω αἰτιατικῇ.

635. πάγκαρπα] τὰ ἐκ παντοίων καρπῶν. ἐκ διαφόρων καρπῶν ὑπερβολικῶς δὲ λέγεται. λυτηρίους εὐχὰς] ἤγουν δυναμένας λυτροῦσθαι καὶ ἐλευθεροῦν τῶν δειμάτων. ἀνάσχω] ἀναπέμψω. ἀνέχω ἐπὶ εὐχῆς, τὸ ἀναπέμπω· ἀνέχω ἐπὶ χειρῶν, τὸ ὑψῶ· ἀνέχω ἐπὶ βάρους, τὸ βαστάζω. ἀνίσχει δὲ ἥλιος, ἀντὶ τοῦ ἀνατέλλει· καὶ ἀνίσχει βοτάνη, ἀντὶ τοῦ ἀναβλαστάνει. ἀνέχομαι δὲ παθητικῶς, τὸ ὑπομένω.

639. ἀναπτύξαι] ἀνακαλύψαι. πολυγλώσσῳ] πολυλόγῳ. ματαίαν βάξιν] ψευδῆ φήμην.

643. ὧδε] τούτῳ τῷ τρόπῳ, κεκρυμμένως. τῇδε] οὕτως γὰρ φράσω.

648. καὶ μὴ ἐφῇς] ἤγουν ἐάσῃς ἐκβαλεῖν ἐμὲ τοῦ πλούτου τοῦ παρόντος, εἴ τινες σὺν δόλῳ βουλεύουσιν ἐκβαλεῖν με δηλονότι· ἀλλ', ἔασον ἀπὸ κοινοῦ, διέπειν με τοὺς δόμους τῶν Ἀτρειδῶν καὶ τὰ σκῆπτρα τάδε, ζῶσαν οὕτως ὡς ζῶ ἀεὶ ἐν ἀβλαβεῖ βίῳ, καὶ συνοῦσαν φίλοις, οἷς σύνειμι νῦν μετὰ εὐημερίας, καὶ ἐκείνοις δηλονότι συνοῦσαν ἀπὸ τῶν τέκνων, ὅσων ἐμοὶ μὴ πρόσεστι δύσνοια ἢ λύπη πικρά. ἀμφέπειν] ἀντὶ τοῦ διέπειν. διέπειν γὰρ τὸ διευθετεῖν· περιέπειν δὲ, τὸ φίλον τινὰ κυβερνᾶν καὶ σκέπειν.

656. ἐξαιτούμεθα] ἀντὶ τοῦ αἰτούμεθα, δεόμεθα.

658. ἐπαξιῶ] ἀντὶ τοῦ ἀξιῶ, παρακαλῶ. ἀξιῶ ποιεῖν τάδε, καὶ ἀξιῶ σε τοῦδε. καὶ ἀμφότερα ἀντὶ τοῦ ἄξιον κρίνω. ἀξιῶ καὶ τὸ παρακαλῶ· καὶ συντάσσεται αἰτιατικῇ μόνῃ. ἐξειδέναι] ἤγουν εἰδέναι.

660. ξέναι] πρὸς τοὺς μὴ γνωρίμους λέγεται τοῦτο, ὦ ξένε, προσφιλῶς. ξένος, ὃν ἐν τῇ οἰκείᾳ πατρίδι φιλοφρονήσεταί τις ἀπὸ ξένης ἐλθόντα, καὶ ἁπλῶς ὁ ἀπ' ἀλλοτρίου τόπου. τὸ δὲ ὦ ξένε φιλοφρόνως λέγεται ἐπὶ τῶν μὴ γνωρίμων.

662. αὐτὸς] ἀπὸ σαυτοῦ. εἴκασας] ἔγνως ἀπὸ στοχασμοῦ.

663. ἐπεικάζων κυρῶ] ἡ ἐπὶ περισσή. ἤγουν ὑπάρχω εἰκάζων, ἀντὶ τοῦ εἰκάζω. τὸ πᾶν· ἆρα καὶ τήνδε γυναῖκα ἐκείνου εἰκάζω, καλῶς δηλονότι, ἤγουν ἀπὸ στοχασμοῦ καταλαμβάνω; ὡς τύραννος εἰσορᾶν] ὡς βασιλὶς, εἰς τὸ ὁρᾶν αὐτὴν δηλονότι.

668. ἐδεξάμην] ἀπεδεξάμην. τὸ ῥηθὲν] ὅτι ἡδεῖς μοι λόγους φέρεις παρὰ φίλου.

670. πορσύνων] μηνύων. πόρω, τὸ παρέχω, καὶ πλεονασμῷ τοῦ σ, πόρσω, καὶ ἀπὸ τούτου πορσύνω, τὸ παρέχω, ἐνταῦθα δὲ ἀπὸ τούτου κατὰ μεταφορὰν, ἀντὶ τοῦ μηνύω.

676. νῦν τε καὶ τότ'] νῦν τε λέγω καὶ τότε, εἶπον δηλονότι.

681. τὸ κλεινὸν πρόσχημα] ἤγουν τὸν ἔνδοξον καλλωπισμὸν τοῦ ἀγῶνος τῆς Ἑλλάδος. ἀγῶνα δὲ λέγει νῦν τὸν τόπον ἔνθα ἐγίνετο ὁ

μὴ συγκεκυφός. καὶ τὸ ὑψηλὸν ἐπὶ φωνῆς. σέβας] σεβάσμιος.

690. βραβεῖς καὶ βραβευταὶ οἱ διοικηταὶ τοῦ ἀγῶνος, οἱ τὰ ἆθλα διδόντες· ἀφ' οὗ καὶ βραβεῖον τὸ ἆθλον. ἐνεγκὼν] ἤγουν ἀπενεγκάμενος. τἀπινίκια] τὰ νικητήρια, τὰς ἐπὶ τῇ νίκῃ ἀνακηρύξεις. ὠλβίζετ'] ἐμακαρίζετο. ἀνακαλούμενος] ἀνακηρυττόμενος.

697. βλάπτῃ] ἐμποδίζῃ. βλάπτω, τὸ βλάβην ποιῶ, καὶ τὸ ἐμποδίζω, ὡς ἐνταῦθα. ἄλλης ἡμέρας] κατὰ ἄλλην ἡμέραν. ἱππικῶν] τῶν ἱππικὴν μεταχειριζομένων.

702. ζυγωτῶν] ἤγουν ζευγνυμένων.

707. ἔνατος] ἐννέα, δύο ν· ἔνατος, ἕν.

708. ὄχος ἁρσενικῶς, τὸ ἅρμα· ὄχεα δὲ πληθυντικῶς παρ' Ὁμήρῳ οὐδετέρως. ὄχημα δὲ παρὰ τοῖς κοινοῖς τὸ αὐτό, ὡς παρὰ Λουκιανῷ "Καὶ ἠξίου ὄχημα ζεύγνυσθαι αὐτῷ."

710. κατέστησαν] κατὰ τάξιν ἔστησαν. ἦξαν] ὥρμησαι. ὁμοκλήσαντες] ἀπειλήσαντες, ἐγκραγόντες, ἐπικελευσάμενοι. ἐν δὲ πᾶς] περισσὴ ἡ ἐν· ἀποτείνει δὲ εἰς τὸ ἐμεστώθη, ἤγουν ἐπληρώθη ὁ τόπος, ἔνθα ἔτρεχον. κροτητῶν] κρότον ποιούντων.

715. περισσὸν τὸ ὁμοῦ.—χνόας] ἤγουν σύριγγας. σῦριγξ δὲ ἡ ὀπὴ, ἔνθα ἐμβάλλεται τὸ ἄκρον τοῦ ἄξονος· καὶ αὐτὸ τὸ ἄκρον τοῦ ἄξονος, τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον. φρυάττεσθαι καὶ φριμάσσειν, ἐπὶ ἵππων. καὶ φρυάγματα, τὰ φυσήματα τῶν ἵππων. τροχῶν βάσεις] καὶ περὶ τοὺς κύκλους τῶν τροχῶν.

720. στῆλαι, κυβοειδεῖς λίθοι, ἐπιγράμματα τινῶν ἔχοντες. ἐσχάτην δὲ λέγει, ἐπεὶ καὶ ἄλλαι ἦσαν ἐν τῷ μέσῳ τοῦ δρόμου. ἔχων] ἐλαύνων.

725. πῶλοι βίᾳ φέρουσιν] ἤγουν σὺν βίᾳ εἵλκυσαν ἔξω τοῦ πρέποντος ἀπειθεῖς γενόμενοι ταῖς ἡνίαις. καὶ ὁ πῶλος λέγεται ἀρσενικῶς καὶ ἡ πῶλος θηλυκῶς.

727. Βαρκαίοις] Λιβυκοῖς. Βάρκη πόλις τῆς Λιβύης περὶ τὴν πεντάπολιν, ἡ νῦν Πτολεμαΐς καλουμένη. κἀνέπιπτε] ἄλλος ἄλλῳ

15. Λουκιανῷ] vol. 2. p. 384.

33. ἡ νῦν Πτολεμαΐς καλουμένη] Hæc verba om. Lips. Sumta sunt ex schol. codicis Laur., ubi vicissim absunt verba περὶ τὴν πεντάπολιν.

κωχεύειν κυρίως ἐπὶ τῆς νηὸς λέγεται, ὅταν στᾶσα ἐν τῷ πελάγει διά τινα χρείαν ἠρεμῇ. κλύδων᾽ ἔφιππον] τὴν ἱππικὴν ταραχὴν ἐν μέσῳ ταραττομένην.

734. ὑστέρας πώλους] πῶλος λέγεται ἀρσενικῶς καὶ θηλυκῶς.

735. πίστιν φέρων] θάρρος ἔχων. ἐλλελειμμένον] ἐναπολελειμμένον. ζυγὰ] ἀντὶ τοῦ ἅρματα. ἀπὸ μέρους τὸ ὅλον.

745. μέσας χνόας] ἀντὶ τοῦ, κατὰ τὸ μέσον ἔθραυσε τὰς χνόας τοῦ ἄξονος· ἀντὶ ἐνικοῦ. ἦγουν τὸ μέρος τοῦ ἄξονος τὸ ἐν τῇ ὀπῇ τοῦ τροχοῦ. ἀντύγων] ἀντὶ τοῦ ἅρματος. σὺν δ᾽ ἑλίσσεται] ἐντετύλικται τοῖς ῥυτῆρσι. ἐς μέσον δρόμον] ἐς τὸ μέσον τοῦ δρόμου. ἀνωλόλυξε] ὑψηλῇ φωνῇ ἐθρήνησεν. οἷα λαγχάνει] ἤγουν οἷων τυγχάνει.

755. αἱματηρὸν] ᾑμαγμένον. αἱματηραὶ σταγόνες αἱ ἀπὸ αἵματος στάζουσαι· ᾑμαγμένον δὲ τὸ αἵματι μεμιγμένον. ἐν βραχεῖ] ἐν μικρῷ. ἡ εὐθεῖα ὁ βραχύς. χαλκῷ] ἀγγείῳ ἐκ χαλκοῦ. χαλκὸς δηλοῖ τὴν οὐσίαν τοῦ χαλκοῦ καὶ τὴν ὕλην. ἀπὸ δὲ τῆς ὕλης ἐνταῦθα δηλοῦται τὸ ἀγγεῖον τὸ ἐκ τῆς ὕλης.

760. ἐκλάχοι] ἤγουν λάχοι. ὄπωπα] ἑώρακα. δεσπόταισι] ἤγουν τῶν πάλαι δεσποτῶν. πρόρριζον] σύρριζον, πανωλεθρίως.

767. δεινὰ] ὅτι υἱὸς ἦν. κέρδη] διότι ἀπηλλάγην τοῦ παρ᾽ ἐκείνου φόβου. εἰ τοῖς ἐμαυτῆς] ἐὰν ἐν τοῖς κακοῖς τοῖς ἐμαυτῆς σώζω τὴν ζωήν. καλὸν γὰρ αὐτῇ ἦν τὸ τεθνηκέναι τὸν Ὀρέστην, εἰ ἔσωζε τὸν βίον αὐτῆς.

769. τῷ νῦν λόγῳ] ἐπὶ τῇ νῦν ἀγγελίᾳ. εἴ μοι θανόντος] εἰ προσῆλθες ἐμοὶ ἔχων ἀσφαλῆ τεκμήρια ἐκείνου θανόντος. ψυχῆς] ἤγουν φύσεως.

776. φυγάδες κυρίως οἱ διωχθέντες ἀπὸ τῆς οἰκείας πατρίδος. ἐνταῦθα δὲ φυγάς ἀντὶ τοῦ φυγών ἐστίν. ἀπεξενοῦτο] ἐν ξένῃ ἀπεδήμει.

781. στεγάζειν] ἀντὶ τοῦ ἔχειν. προστατῶν] ἤγουν ὁ ἐνιστάμενος. ὡς θανουμένην] ὡς μέλλουσαν τεθνήξεσθαι. τοὐμὸν ψυχῆς] ἐκπίνουσα τὸ αἷμα τῆς ἐμῆς ζωῆς ἄκρατον. ἔκηλα] ἡσύχως.

787. ἡμερεύσομεν] διημερεύσομεν, βιώσομεν. διημερεύω, τὸ τὴν

792. Νέμεσις, Δίκη καὶ Ἀδράστεια ταυτόν.

793. κἀπεκύρωσεν] ἤγουν ἀσφάλειαν ἐπέθηκεν. ὕβριζε] θρασύνου. παύσετον ταῦδε] ἤγουν τοῦτο τὸ εὐτυχεῖν ἐμέ.

797. πολλῶν ἂν] ἄξιος ἂν εἴης, ὦ ξένε, διὰ τὴν ὁδὸν ἣν ἦλθες, τυχεῖν πολλῶν ἀγαθῶν. πολυγλώσσου] πολυλόγου.

799. οὐκοῦν ἀπερχοίμην, ἀπέλθοιμι ἄν, ἐπειδὴ ταῦτα καλῶς ἔχει. ἥκιστα] οὐδαμῶς. καταξίως] ἤγουν ἀξίως.

801. πορεύσαντος] ἀποστείλαντος. πορεύομαι ἐγὼ, καὶ πορεύω ἕτερον, ἀντὶ τοῦ ἄγω, ὡς παρὰ Πλάτωνι "ᾧ δὴ προστέτακται τοὺς "ἐνθένδε ἐκεῖσε πορεῦσαι." ἀντὶ τοῦ ἀγαγεῖν. ἐνταῦθα δὲ τὸ πορεύσαντος οὐκ ἀντὶ τοῦ ἀγαγόντος, ἀλλ' ἀντὶ τοῦ πέμψαντος λέγεται. εἶσιθ' εἶσω] περισσὸν τὸ εἶσω. τὸ γὰρ εἶσιθι τὸ εἶσω ἐλθὲ δηλοῖ. εἰσῆλθε δὲ εἰς τὴν οἰκίαν λέγεται κατὰ λόγον. τὸ γὰρ εἰσῆλθε δηλοῖ μὲν τὸ εἶσω ἦλθεν, οὐ μὴν καὶ ὅποι εἰσῆλθεν ὡρισμένως· διὰ τοῦτο ἐπάγεται εἰς τὴν οἰκίαν, ἢ εἰς τὴν πόλιν, ἢ τοιοῦτό τι, καὶ οὐ δοκεῖ φορτικόν.

805. κἀπικωκῦσαι] καὶ ἐπὶ τούτῳ θρηνῆσαι. ἀποσπάσας οἴχῃ] ἔφθαρσαι γὰρ ἀφελόμενος τῆς ἐμῆς φρενὸς τὰς ἐλπίδας, αἵ μοι μόναι παρῆσαν ἔτι· λέγω τὸ ἥξειν σὲ ἐκδικητὴν τοῦ πατρὸς ἐσόμενον καὶ ἐμοῦ τῆς ταλαίνης. τοῖσιν ἐχθίστοισιν] τοῖς μάλιστα μεμισημένοις. αὐανῶ] ξηρανῶ, ἤτοι μετὰ σκληρότητος διαβιβάσω.

823. ποῦ ποτε] ὡς ἀγανακτῶν ὁ χορὸς τοῦτο λέγει καὶ ἀμφιβάλλων εἰ εἰσὶν οἱ κεραυνοὶ τοῦ Διὸς καὶ ὁ Ἥλιος, εἶτα ἡσυχίαν ἄγουσι, τῶν τοιούτων γενομένων. φαέθων] ἐπίθετον ἐνταῦθα ὄνομα ἀντὶ τοῦ λάμπων. καὶ ὁ υἱὸς τοῦ Ἡλίου, καὶ ὁ ἕτερος τῶν ἵππων αὐτοῦ.

825. ἐφορῶντες] ὁρῶ, τὸ βλέπω. ἐφορῶ δὲ, τὸ ἐπισκέπτομαι. κρύπτουσιν ἔκηλοι] τουτέστιν ἡσύχως φέρουσιν, οὐ δεικνύουσιν ἀγανάκτησιν. μηδὲν μέγ' ἀΰσῃς] ἀντὶ τοῦ, μηδὲν ἀπρεπὲς εἰς θεούς.

832. εἰ τῶν φανερῶς ἀπεληλυθότων εἰς Ἅιδην ἐλπίδα λαθοῦσα προτενεῖς, μᾶλλον ἐπιτεθήσῃ κατ' ἐμοῦ διαρρεομένης.

838. σὺν ἔρκεσι χρυσοδέτοις, ἤγουν σὺν ἅρματι καὶ ὅπλοις κεχρυσωμένοις.

αὐτὴν ἐν ταῖς ἀθλίαις δοκεῖν ἀθλίαν. κυρεῖς] ἤγουν ὑπάρχεις.

850. τοῦδ' ἵστωρ] καὶ ἐγὼ ἵδρις εἰμὶ τοῦ εἶναί με ἀθλιωτάτην. ὑπερίστωρ] ὑπερβολικῶς ἵδρις διὰ τοῦ πολυετοῦς χρόνου τῶν πολλῶν δεινῶν καὶ στυγνῶν, ἤγουν στυγνάζειν ποιούντων, ἀχέων τοῦ πάντα σύροντος ἤγουν ἀλλοιοῦντος καὶ φθείροντος.

854. μηκέτι παραγάγῃς] τὸ ἑξῆς μηκέτι με παραγάγῃς ὅπου οὐ πάρεισιν ἐλπίδων, ἀντιστρόφως ἀντὶ τοῦ ὅπου οὐ πάρεισιν ἐλπίδες ἀρωγῶν, ἤγουν βοηθῶν, κοινοτόκων, τουτέστιν ἀδελφῶν, καὶ εὐπατρίδων, ἤτοι αὐτοχθόνων καὶ εὖ ἐχόντων ἕνεκα πατρίδος.

860. ἆρα καὶ οὕτως ὡς ἐκείνῳ τῷ ἀθλίῳ ἔφυ τοῖς ἀνθρώποις ὁ θάνατος λέγων ἐγκύρσαι ἕλξει τετμημένων λώρων ἐν ἀγῶσιν ὑπὲρ ταχυτῆτος ποδῶν.

868. οὔτε τοῦ τάφου] οὔτε τινὸς ἐνταφιασμοῦ ἀπολαύσας, τυχών.

871. διώκομαι] ἐπείγομαι. τὸ κόσμιον] τὴν εὐταξίαν, τὸ εὔτακτον τοῦ βαδίσματος. ἀνάπαυλαν] ἀνάπαυσιν. ἀνάπαυσις καὶ κατάπαυσις λέγεται· ἀνάπαυλα δὲ μόνον, οὐχὶ καὶ κατάπαυλα. ἀνάπαυσιν τῶν κακῶν ὧν εἶχες πρότερον καὶ ἔστενες.

877. πάρεστιν ὁ Ὀρέστης ἡμῶν ἐναργῶς οὕτως ὥσπερ ὁρᾷς ἐμὲ παροῦσαν, δηλονότι ἐναργῶς, ἴσθι τοῦτο, ἤγουν γίνωσκε, κλύουσα ἐμοῦ.

879. ὁ ἀλλά ἐνίοτε μέν ἐστι συμπλεκτικὸς καὶ λέγεται ἐπὶ ἀναιρέσει ἑνὸς καὶ συστάσει ἑτέρου, οἷον, οὐκ ἔστι τόδε, ἀλλὰ τόδε, καὶ ὅτε ἐφ' ἑτέρῳ ἕτερον ἐπάγεται νοουμένης ἑτέρας ἀναιρέσεως, οἷόν ἐστι, τόδε, ἀλλὰ καὶ τόδε, ἀντὶ τοῦ οὐ μόνον τόδε, ἀλλὰ καὶ τόδε, καὶ ἁπλῶς ἐπὶ τῶν ἄλλως γινομένων, ὡς ἔχει τὸ,

" Ἀσπίδα, φρῦνον, ὄφιν καὶ Λαδικέας περίφευγε
" καὶ κύνα λυσσητὴν καὶ πάλι Λαδικέας."

" ἀλλὰ τὰς πινακίδας Εὐθάλιος ὁ Λαδικεὺς ἔχει λαβών·" ἐνίοτε δὲ ὁ ἀλλά ἐστὶ συλλογιστικὸς καὶ λέγεται ἐπὶ βεβαιώσει πράγματος, ὡς ἐνταῦθα " ἀλλ' ἢ μέμηνας," καὶ, ἀλλὰ μὴν τόδε ἐστίν.

24. ὁ ἀλλά—μὴν τόδε ἐστίν] Hoc scholion addidi ex Lips.

30. πάλι] πάλιν Lips. Correxi ex Synesii Epist. 127. p. 262 A., ex quo verba Ἀλλὰ—ἔχει λαβών excerpta sunt.

λές; τίνα ἀσφάλειαν; ἤγουν εἰς τί ἀπιδοῦσα θερμαίνῃ τῷ πολλῷ καὶ ἀμηχάνῳ τῷδε πυρί, τουτέστιν εἰς τί βλέψασα ἔχεις τὸ ἀμήχανον τοῦτο θάρρος; ψυχρὸν Ὅμηρος λέγει τὸ δέος "Ψυχρὸν δέος "εἶλεν." οὗ τὸ ἐναντίον θάλπει. καὶ θαλπωρὴ ἀπὸ τούτου, τὸ θάρρος.

889. ἄκουσον, ἵνα με ἐντεῦθεν ἢ μωρὰν ἢ φρόνιμον λέγῃς, ὡς μαθοῦσα καὶ ἀκούσασά μου τὸ λεῖπον τοῦ λόγου.

894. κολώνης ἐξ ἄκρας] ἐκ τοῦ ἄκρου τοῦ τύμβου. νεορρύτους] χύσεις γάλακτος νεωστὶ ῥυείσας. περιστεφῆ] περιεστεμμένην. περισσὸν δὲ τὸ κύκλῳ.

897. ἔσχον θαῦμα] ἐθαύμασα. ἔχω θαῦμα, καὶ θαῦμά με ἔχει, ὥσπερ ἐλπίδα ἔχω, καὶ ἐλπίς με ἔχει. περισκοπῶ] περιεσκόπησα, κύκλῳ εἶδον. ἐν γαλήνῃ] ἐν ἡσυχίᾳ, ἤγουν ἐρημίᾳ ἀνθρώπων.

902. ἐμπαίει] καὶ εὐθὺς ἡ τάλαινα, καθὰ εἶδον, ἐμπίπτει τῇ ψυχῇ μου τεκμήριον τοῦτο τοῦ ὁρᾶν τὸ σύνηθες ὄμμα, ἤγουν τὴν συνήθη καὶ συγγενικὴν καὶ γνησίαν ὄψιν τοῦ φιλτάτου πάντων βροτῶν, τοῦ Ὀρέστου.

905. δυσφημῶ μὲν οὖ] ἤγουν οὐκέτι ἐλεεινολογοῦμαι. τῷ προσήκει τόδε; τίνι ἁρμόζει τὸ σπεῖσαι τῷ τάφῳ καὶ ἀναθέματα ἀναθεῖναι;

915. ἐπιτίμια] αἱ τιμωρίαι, καὶ αἱ τιμαὶ, ὡς ἐνταῦθα, θάρσυνε σαυτὴν, ἤγουν θάρρει. θαρρῶ ἐγώ· θαρσύνω ἕτερον. οὐχ αὐτὸς] ἤγουν οὐχ ἡ αὐτὴ τύχη ἀεὶ σύνεστιν.

921. πρὸς βίαν, ἀντὶ τοῦ μετὰ βίας, ὥσπερ πρὸς λύραν ᾄδειν, ἀντὶ τοῦ μετὰ λύρας. πρὸς ἀργύριον δὲ διαλέγεσθαι, ἀντὶ τοῦ διὰ τὸ λαβεῖν ἀργύριον. οὐ πρὸς ἡδονὴν λέγω τάδε] ἀντὶ τοῦ, οὐ λέγω τούτους τοὺς λόγους πρὸς τέρψιν ἀποβλέποντας;

924. τἀκείνου σωτήρια] ἡ ἐκείνου σωτηρία, ἣν ἔμελλε σώσειν ἡμᾶς. ὅρα] ἔλπιζε. θαῦμά τοι] ἤγουν θαυμάζω κατ' ἐμαυτήν.

929. κατ' οἶκόν ἐστιν, ἡδὺς, ἤγουν τερπνὸς τῇ μητρὶ, οὐδὲ βαρύς.

931. τὰ πολλὰ πρὸς τὸν τάφον τοῦ πατρὸς ἐντάφια.

944. ἀλλ' εἴ τις ὠφέλεια, ἔστι δηλονότι, ταῖς παραινέσεσιν, οὐκ ἀποπέμψομαι αὐτὰς δηλονότι. εὐτυχεῖ] ἐπιτετυχημένως γίνεται.

τοῦ πατρός. πράκτωρ, ὁ ἀπαιτητής, ἀπὸ τοῦ εἰσπράττομαι τὸ ἀπαιτῶ.

957. οὐδὲν γὰρ πρᾶγμά ἐστι πρέπον κρύπτειν ἐμὲ σέ. ἤγουν οὐδὲν πρᾶγμά ἐστι πρέπον ἵνα κρύψω ἐγὼ σέ. κρύπτω σε τόδε, καὶ τὸ πρόσωπον καὶ τὸ πρᾶγμα κατ' αἰτιατικήν. ἔτι] παρὰ τοῖς κοινοῖς ἀκμήν. ποῖ γὰρ] μέχρι τίνος ῥαθυμήσεις; κτῆσιν ἐστερημένῃ] ἐστέρημαι τοῦδε, καὶ ἐστέρημαι τόδε, ὡς ἐνταῦθα.

962. ἄλεκτρα ἀνυμέναιά τε] ἐπιρρήματα. χωρὶς συναφείας ἀνδρὸς, καὶ χωρὶς τῶν ἐπιθαλαμίων ὕμνων. ὑμὴν, τὸ λεπτότατον δέρμα τῆς παρθενίας· ὑμέναιος δὲ, ὁ ἐπιθαλάμιος ὕμνος. καὶ τῶνδε] τῶν λέκτρων καὶ τῶν ὑμεναίων. ἄβουλος] κακόβουλος, ἀνόητος. ἐπίσπῃ] ἀκολουθήσῃς. εὐσέβειαν] δόξαν εὐσεβείας ἀποίσῃ ἐν τῷ Ἀιδῃ ἐκ τοῦ πατρὸς θανόντος.

972. φιλεῖ] εἴωθε. ἀστῶν] πολιτῶν. ἀστοὶ οἱ ἀπὸ τῆς αὐτῆς πόλεως· ξένοι οἱ ἀπὸ ἀλλοτρίου τόπου. δεξιώσεται] ἤγουν φιλοφρονήσεται. ἀπὸ μεταφορᾶς τῶν τὰς δεξιὰς ἐμβαλλόντων ἀλλήλοις μετὰ φιλοφρονήσεως.

978. ὦ τοῖσιν] αἳ κατὰ τῶν ἐχθρῶν εὐτυχούντων καὶ ἀσφαλῶς ἱσταμένων, τῆς ζωῆς ἀμελήσασαι, προστάται ἐγένοντο φόνου. ἐν πανδήμῳ πόλει] ἐν ἠθροισμένῳ πλήθει πόλεως.

984. τοιαῦτα πᾶς τις ἐπαινέσεται ἡμᾶς, ὥστε μὴ λιπεῖν ἡμῖν τὸ κλέος καὶ ζώσαις καὶ θανούσαις.

990. προμηθία] προμήθεια, ἤτοι ἡ πρὸ τοῦ πράγματος σκέψις. καὶ Προμηθεὺς ἐπὶ τούτου καὶ Ἐπιμηθεὺς ἐπὶ τῶν μετὰ τὸ πρᾶγμα βουλευομένων. τῆς νεωτέρας Ἰάδος ἐστὶ τὸ λέγειν προμήθειαν προμηθίαν καὶ τὴν εὐέπειαν εὐεπίαν καὶ τὰ τοιαῦτα διὰ μακροῦ τοῦ α καὶ συστολῇ τῆς παραληγούσης.

998. χερὶ] ἤγουν κατὰ χεῖρα, κατὰ δύναμιν. εὐτυχὴς καθ' ἡμέραν] ἤγουν εὐτυχεῖ, αὔξει, προκόπτει. ἐλεῖν] ἀνελεῖν, ἤγουν φονεῦσαι. ἄλυπος ἄτης] ἔξω τῆς ἐν βλάβῃ λύπης ἀπαλλαγήσεται.

1009. πανωλέθρους] παντελεῖ ὀλέθρῳ. τὸ πᾶν] ἀντὶ τοῦ παντάπασιν. περισσὸν δέ ἐστιν ἐνταῦθα. ἐξερημῶσαι] ἔρημον ποιῆσαι

θείας ὑπῆρξε τοῖς ἀνθρώποις λαβεῖν οὐδὲ τοῦ νοῦ τοῦ φρονίμου.

1018. ἀπηγγελλόμην] ἤγουν ἐπήγγελλον, ἤτουν. ἐπαγγέλλω, αἰτῶ· ἐπαγγέλλομαι δὲ παθητικῶς, τὸ ὑπισχνοῦμαι. κενόν γ' ἀφήσομεν] ἄπρακτον καταλείψομεν.

1019. ἀλλὰ δραστέον, ἤγουν ἄξιον πραχθῆναι ἐμοὶ καὶ μόνῃ, ἤτοι ὑπ' ἐμοῦ καὶ μόνης τὸ ἔργον τόδε αὐτοχειρὶ, τουτέστιν αὐταῖς χερσίν.

1023. ἀλλ' ἦν τότε κατὰ τὴν φύσιν τοιαύτη, κατὰ δὲ τὴν φρόνησιν ἐλάσσων ἦν.

1024. ἐπιτήδευε τοιαύτη κατὰ τὴν φρόνησιν διὰ βίου μένειν, οἵα ὑπῆρχες τότε.

1029. μὴ πάθῃς τόδε] τὸ ἀκοῦσαι ἃ ἐπαινέσεις.

1030. μακρὸς τὸ κρῖναι] ἤγουν εἰς τὸ διακρῖναι, εὐκρινῆσαι καὶ ὁ ἐπίλοιπος ἤγουν ὁ ἔμπροσθεν χρόνος.

1031. σοὶ γὰρ] σοὶ ὠφέλεια οὐκ ἔστιν ἣν δηλονότι ὠφελήσεις σὺ ἄλλους.

1035. ἀλλ' οὖν ἐπίστω] εἰ μὴ ἐχθαίρεις με, ἀλλὰ ἐπίστασο.

1037. τῷ σῷ δικαίῳ] τῷ νομιζομένῳ ὑπὸ σοῦ δικαίῳ. ἡγήσῃ σὺ νῷν] ἤγουν ἡγεμονεύσεις, προηγήσῃ σὺ ἡμῖν, ἡμεῖς δὲ δηλονότι ἀκολουθήσομεν. ἡγοῦμαι τὸ νομίζω, καὶ συντάσσεται αἰτιατικῇ· ἡγοῦμαι τὸ ἄρχω, καὶ συντάσσεται γενικῇ. καὶ τὸ ἡγεμονεύω καὶ ὁδηγῶ ἔχει τὴν σύνταξιν ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, οἷον ἡγοῦμαί σοι τὴν ὁδόν.

1044. εἰ ποιήσεις ταῦτ'] ἤγουν ἃ βούλει. ἐπαινέσεις ἐμὲ] ἀπὸ πείρας δηλονότι γνοῦσα τὸ ἀποβησόμενον κακόν.

1047. οὐδαμῶς. οὐδὲν γάρ ἐστι μᾶλλον μεμισημένον βουλῆς κακῆς, ὥστε, δηλονότι καλῶς βουλευομένη, οὐ βουλεύσομαι ἑτέραν βουλὴν κακήν. φρονεῖν] στέργειν. φρονῶ, τὸ νοῶ· καὶ φρονῶ τὰ τοῦ δεῖνος, τουτέστι στέργω καὶ ἀποδέχομαι.

1053. ἱμείρουσα τυγχάνῃς] ἀντὶ τοῦ ἐπιθυμῇς. ἱμείρομαι, τὸ ἐπιθυμῶ, καὶ ἱμείρω ποιητικῶς τὸ αὐτό.

1056. φρονεῖ τοιαῦθ'] φρονῶ, τὸ φρόνησιν ἔχω, ἀμεταβάτως. καὶ φρονῶ τόδε, ἀντὶ τοῦ νοῶ, μεταβατικῶς.

1058. τοὺς ἄνωθεν] τοὺς ἄνω, τουτέστι τοὺς ἐν ἀέρι. τροφᾶς

ἀντὶ τοῦ καταχθονία. τὸ δὲ καταχθονία αὐτὸ ἐπιρρηματικῶς, ἤγουν ἐν τοῖς καταχθονίοις, ὥσπερ, ταχὺς ἦλθεν, ἀντὶ τοῦ, μετὰ τάχους. τοῖς ἔνερθ᾽] τοῖς κάτω. τὸ ἔνερθεν τὸ κάτωθε δηλοῖ κατὰ τὴν ἀκολουθίαν τῶν εἰς θεν ἐπιρρημάτων. ἐνταῦθα δὲ ἀντὶ τοῦ κάτω λαμβάνεται.

1072. ἐξισοῦται] ἤγουν συμβαίνει, συμφωνεῖ, ὁμογνωμονεῖ. πρόδοτος] προδεδομένη, καταλελειμμένη. σαλεύει] κινεῖται. τὸ σαλεύειν κυρίως ἐπὶ νεὼς λέγεται, ὅταν ἐπ᾽ ἀγκύρας κινῆται καὶ ἀστατῇ. τὸν ἀεὶ] χρόνον δηλονότι. πανόδυρτος] διὰ παντὸς ὀδυρομένη. μὴ βλέπειν] ἤγουν μὴ ζῆν. διδύμαν ἐριννὺν] ἤγουν δύο ἐπικαταράτους καὶ ἀποτρεπαίους ἀνθρώπους, τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν.

1082. οὐδεὶς ἀπὸ τῶν ἀγαθῶν διὰ τὸ ζῆν δυστυχῶς θέλει ἄτιμον ποιῆσαι τὸ κλέος τῆς εὐγενείας ἀνωνύμως, ἤγουν ἐν ἀφανείᾳ. αἰσχύνω σε, προφέρων σοι τὰ ἐγκλήματα. καὶ αἰσχύνω τινὰ, ὅταν αἰσχρὰ ποιῶ ἐγὼ, ὁ δὲ συμμετέχῃ τῆς αἰσχύνης αὐτῶν, ὡς πατὴρ καὶ υἱὸς, ἢ συγγενὴς ἁπλῶς, ἢ τοιοῦτό τι, καθὸ λέγεται ἐνταῦθα τὸ εὔκλειαν αἰσχῦναι θέλει, ἤγουν οὐ θέλει ἀνοίκεια τῆς εὐγενείας ποιεῖν, ὡς ἄτιμον γίνεσθαι τὴν εὐγένειαν αὐτοῦ καὶ ἐλαττοῦσθαι. πάγκλαυστον αἰῶνα] διηνεκῆ θρῆνον ἔχουσαν ζωήν. δύο φέρειν] ὥστε ἀποφέρεσθαι.

1090. εἴθε ζῴης ἐπάνω τῶν ἐχθρῶν κατὰ χεῖρα, ἀντὶ τοῦ ἰσχὺν, καὶ κατὰ πλοῦτον, καθ᾽ ὅσον νῦν ὑπ᾽ ἐξουσίαν ἐκείνων ναίεις. φερομέναν ἄριστα] τούτων ἀποφερομένην τὸ κράτος, τουτέστι τὸ ἐπὶ τούτοις κράτος.

1104. ποθεινὴν κοινόπουν] τὴν ἐπιθυμητὴν παρουσίαν ἡμῶν, τῶν ὁμοῦ ὁδοιπορησάντων.

1105. ἦδ᾽ εἰ τὸν] αὕτη ἡ Ἠλέκτρα, εἰ τὸν ἀγχιστέα, τὸν συγγενῆ, εἰσαγγέλλειν πρέπον ἐστί.

1110. τὴν σὴν κληδόν᾽] ἣν ἤκουσας σὺ φήμην. ὅσσα, ὀμφὴ καὶ κληδὼν ἄγγελοι τῶν θεῶν καὶ ἐπὶ τοῦ αὐτοῦ λέγονται, φήμη δὲ καὶ ἐπὶ τῆς θείας κληδόνος καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως.

1119. ὦ ξεῖνε] τὸ ἐξῆς· εἴπερ τόδε τὸ ἀγγεῖον κρύπτει αὐτόν, δός μοι νῦν, πρὸς θεῶν, ὥστε λαβεῖν εἰς χεῖρας.

1126. ὦ ὑπόλοιπον μνημεῖον τῆς ζωῆς τοῦ Ὀρέστου, τοῦ φιλτάτου ἀνθρώπων παρ' ἐμοί, ὡς σε ἐδεξάμην ἀπὸ τῶν ἐλπίδων, ὧν ἤλπιζον δηλονότι, οὐ τῶν αὐτῶν ἐφ' αἷς σε ἐξέπεμπον. δέχομαι ἁπλῶς, τὸ τὸν ἐρχόμενον εἰς ἐμὲ λαμβάνω· εἰσδέχομαι δὲ, ἐπὶ οἰκίας, ἢ λιμένος, ἢ τοιούτου τινός.

1143. τῆς ἐμῆς πάλαι τροφῆς] ἕνεκα τῆς τροφῆς, ἧς ἔτρεφον ἐγώ σε πάλαι. ἀνωφελήτου] μὴ ὠφελείας τινὸς ἀπολαυσάσης. ἀνωφέλητος, ὁ μὴ ὠφεληθείς· ἀνωφελὴς δὲ, ὁ μὴ ὠφελήσας.

1146. φίλος λέγεταί τις τινὸς, ἢ ὅτι φιλεῖ αὐτὸν, καθὸ λέγεται ἐνταῦθα, ἢ ὅτι φιλεῖται ὑπ' αὐτοῦ. ἀμφότερα γὰρ δηλοῖ ἡ λέξις, ὡς ἐν τούτοις· (Λουκιανοῦ, Anth. Palat. 10, 35.)

μὴ παίων φίλος εἶ θνητοῖς, φίλος εἶ μακάρεσσιν·
ἂν παίσῃς, οὐδεὶς ἔτι σοι φίλος.

ἤγουν οὐδεὶς ἔτι φιλίως διάκειται πρὸς σέ. οἱ κατ' οἶκον ἦσαν] σοι φίλοι μᾶλλον ἢ ἐγώ. τροφὸς] ἐπιμελητὴς τῆς ἀνατροφῆς. σοὶ προσηυδώμην] ὑπὸ σοῦ ὠνομαζόμην.

1151. [θύελλα ἡ κοινῶς ἀνεμοζάλη.] μαίνεται ὑφ' ἡδονῆς] ὑπερβολικὴν ἡδονὴν ἔχει. ἀμήτωρ] κακομήτωρ.

1158. προὔπεμψεν] ἀντὶ τοῦ ἔπεμψεν. προπέμπω γὰρ, τὸ ἔμπροσθεν πέμπω, ἢ πρότερον, καὶ τὸ ὀψικεύω. ὃς ἔπεμψεν ἐμοὶ σποδὸν καὶ σκιὰν μηδὲν ὠφελοῦσαν ἀντὶ φιλτάτης μορφῆς.

1162. ὦ δεινοτάτας] ὦ φίλτατε, ὁ πεμφθεὶς χαλεπωτάτας ὁδοὺς, ἀντὶ τοῦ χαλεπωτάτην ὁδόν. ταύτην δὲ λέγει, ἣν ἐπέμφθη νεκρός. κασίγνητον κάρα] ἀδελφικὸν κάρα, περιφραστικῶς, ἀντὶ τοῦ ἀδελφέ.

1174. λόγων ἀμηχάνων] ἤγουν τῶν ἀμηχανούντων, τῶν ἀπόρων.

1176. τί δ' ἔσχες ἄλγος] πρὸς τί ἤλγησας; ἀπὸ κοινοῦ ἡ πρόθεσις.

1177. ἦ σὸν] τὸ πᾶν οὕτως· ἆρα σὺ ὑπάρχεις ἡ ἔνδοξος Ἠλέκτρα;

1180. τί δῆ] διὰ τί δή. στένεις τάδε] στενάζεις τούτους τοὺς στεναγμούς. ἀθέως] ἔξω τῶν θείων νόμων.

ἐπισκοπῶν] ἐμβλέπων, με δηλονότι.

1186. ἐν τίνι τῶν ὑπ' ἐμοῦ εἰρημένων λόγων διέγνως τοῦτο, ἤγουν ὅτι οὐδὲν ἐγίνωσκες ἀπὸ τῶν σῶν δυστυχιῶν; ἐμπρέπουσαν] ἐνηρμοσμένην, περιφανῆ οὖσαν ἐν πολλαῖς λύπαις. διαπρέπει, ἀντὶ τοῦ διαλάμπει· ἐμπρέπει δέ τις τινὶ, ἀντὶ τοῦ περιφανής ἐστιν ἐν ἐκείνῳ. παῦρα] ὀλίγα ἀπὸ τῶν ἐμῶν δυστυχιῶν. ἐχθίω] μᾶλλον μεμισημένα.

1190. ὅθ' οὕνεκ'] τοῦτο τὸ ἔχθιον, ὅτι εἰμὶ τοῖς φονεῦσι σύντροφος, ἤγουν συνδιαιτωμένη.

1193. τίς γὰρ] ὁ γάρ ἀντὶ τοῦ δέ. τίς δὲ διὰ τῆσδε τῆς ἀνάγκης παρακινεῖ, ἕλκει σε; οὐδὲν ἐξισοῖ ἑαυτὴν μητρί. κατ' οὐδὲν ἐξισοῦται, ἤγουν ὁμοιοῦται μητρί. χερσὶν ἢ λύμῃ βίου] κακώσει χειρῶν, ἤγουν διὰ κακώσεως χειρῶν, ἢ διὰ κακοπαθείας φθειρούσης τὴν ζωήν;

1197. ὁ ἐπαρήξων] ἤγουν ὁ ἀρήξων, ὁ βοηθήσων.

1200. ἴσθ' ἐποικτείρας] γίνωσκε ἐλεήσας. ξυγγενὴς ποθέν] ἀπό τινος μέρους, οὐ τόπου, ἀλλὰ γένους.

1208. μὴ 'ξέλῃ] ἤγουν ἀφέλῃ, στερήσῃς.

1214. ἄτιμος] ἤγουν ἀναξία.

1229. μηχαναῖς σεσωσμένον] ἡνωμένον τοῦτο δηλοῦται σαφέστερον. οἷον, διὰ μηχανῆς καὶ ἀποβανεῖν δόξαντα καὶ ζῶντα. διῃρημένον δὲ, τὸ μὲν διὰ μηχανῶν δόξαντα ἀποθανεῖν τὸ δοκεῖν ἔχει, οὐ μὴν καὶ τὸ διὰ μηχανῶν σεσωσμένον. σώζω τινὰ, ἀντὶ τοῦ σωτὴρ αὐτοῦ γίνομαι, καὶ ῥύομαι αὐτὸν, ὅτε καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν, ὡς τὸ ῥύομαι. οἷον, σώζω σε φόνου, ἀντὶ τοῦ ῥύομαί σε ἀπὸ φόνου. σώζω, καὶ τὸ φυλάσσω· καὶ σώζεταί τις ὑπό τινος σώζοντος αὐτόν· καὶ σώζεται, ἀντὶ τοῦ φυλάσσεται· καὶ ἔτι σώζεται, ἀντὶ τοῦ ζῇ, καθὸ λέγεται ἐνταῦθα.

1230. κἀπὶ συμφοραῖσι] ἤγουν ἐπὶ τῷ συμβεβηκότι. γεγηθὸς ἕρπει δάκρυον] χαρᾶς δάκρυον χεῖται.

1232. ἰὼ γοναὶ] ὦ γονὴ σώματος φιλτάτου παρ' ἐμοί. περιφραστικῶς, ἀντὶ τοῦ γέννημα φιλτάτου παρ' ἐμοὶ, ἤγουν Ἀγαμέμνονος.

1239. τὰν ἀεὶ ἀδμήταν] τὴν ἀεὶ ἄφθορον, ἤγου παρθένον. ἀξιώσω τρέσαι] ἄξιον νομίσω φοβηθῆναι.

1246. ἀνέφελον] φανερὸν, ἀνακεκαλυμμένον. ἀπὸ μεταφορᾶς τοῦ

μενον. λησομένον] ἀντὶ τοῦ ἐπιλησθησομένου, τουτέστιν ἐπιλησθῆναι δυνάμενον.

1255. τάδε δίκαια] τούσδε τοὺς δικαίους λόγους. τὸ πᾶν οὕτως· ὁ παρὼν χρόνος πᾶς ἁρμόζοι ἂν ἐμοὶ ἐννέπειν τούσδε τοὺς δικαίους λόγους.

1257. σώζου τόδε] ἤγουν σῶζε, φύλασσε. τουτέστι διατήρει σαυτῇ τὴν ἐλευθερίαν.

1265. ὑπερτέραν] ὑψηλοτέραν, ἀμείνω χάριν, ἀπὸ κοινοῦ, τῆς πρώην χάριτος, ἤγουν τῆς ἐπιδημίας σου. δαιμόνιον] εὐτυχές. εἰργάθειν] εἴργειν, κωλύειν.

1282. αὐδὰν] ἀντὶ τοῦ ἀγγελίαν. τὴν περὶ τοῦ θανάτου τοῦ Ὀρέστου λέγει. ἔσχον ὀργὰν ἄναυδον] τουτέστιν ἄφωνος ἐγενόμην. οὐδὲ σὺν βοᾷ] καὶ κωφὴ ἐγενόμην, ὡς μηδὲ βοῶντος τινὸς ἀκούειν. πρόσοψιν] ὄψιν, ἐμφάνειαν, ἧς οὐδ' ἂν ἐν κινδύνοις ἐπιλαθοίμην.

1291. ἀντλεῖ] κενοῖ. ἐκχεῖ] ἔνθα οὐ δεῖ ἀναλίσκει. διασπείρει μάτην, σκορπίζει ἀκαίρως. ἐπὶ ὕδατος λέγεται τὸ ἀντλεῖν καὶ ἐκχεῖν, οἷον, ἀντλεῖ τις ἀπὸ τοῦ φρέατος ὕδωρ καὶ ἀρύεται καὶ ἀνέλκει· ἐκχεῖ δὲ τὸ ἀντλούμενον. ὥστε καὶ αὐτὸ συνάγεται, ὥσπερ λῆμμα καὶ δῶρον.

1292. χρόνου] ὁ λόγος γὰρ σοῦ κωλύει τὸ ἔγκαιρον τοῦ χρόνου.

1293. τῷ παρόντι νῦν] περισσὸν ἢ τὸ νῦν ἢ τὸ παρόντι. ὁ παρὼν γὰρ χρόνος λέγεται καὶ ὁ νῦν χρόνος· ὁμοῦ δὲ ὁ παρὼν νῦν χρόνος οὐ λέγεται. ἀρκεῖ γὰρ τὸ ἕτερον αὐτῶν, ἢ τὸ παρὼν, ἢ τὸ νῦν, δηλῶσαι τὸ ἐνεστῶτα εἶναι τὸν χρόνον, ὃ βούλεται δηλοῦν ὁ λόγος· ὥστε καὶ, ἀμφοτέρων λεγομένων, ἀδολεσχίαν ὁ λόγος ἔχει.

1294. σήμαιν'] δήλου. σημαίνω σοι τόδε, ἀντὶ τοῦ δηλῶ· καὶ σημαίνω, τὸ ἄρχω παρ' Ὁμήρῳ. γελῶντας παύσομεν] τοῦ γελᾶν παύσομεν τοὺς ἐχθρούς. μὴ 'πιγνώσεται] ὄψεται. περισσὴ ἡ ἐπί. φαιδρῷ προσώπῳ] οἱ χαρὰν ἔχοντες λέγονται φαιδροί, ἐπεὶ τῶν χαιρόντων αἱ ὄψεις φαιδραὶ γίνονται· καὶ ἀντιστρόφως τὰ λαμπρὰ γελᾶν λέγεται, ὡς παρ' Ὁμήρῳ (Ἰλ. τ', 362.)

γέλασσε δὲ πᾶσα περὶ χθὼν
χαλκοῦ ὑπὸ στεροπῆς.

καὶ γεγανωμένον, ἀπὸ τοῦ γάνος ἡ χαρὰ, τὸ λαμπρὸν καὶ φαιδρόν.

διακεχυμένον, χαρόπον. μισῶ τε γάρ] καὶ γὰρ μισῶ πολυχρόνιον ἐμπέφυκέ μοι, ἄλλως τε καὶ ἐπεί σε εἶδον, οὐ παύσομαι ἐξ αἰτίας τῆς χαρᾶς δακρυρροῦσα. ἄσκοπα] ἀπροσδόκητα. τέρας νομίζειν αὐτὸ] εἰ πατὴρ ἀφίκοιτό μοι ζῶν, οὐκ ἔτ' ἂν παρὰ φύσιν πρᾶγμα νομίζειν τὴν ἄφιξιν.

1323. χωροῦντος] τινὸς δηλονότι ἀπὸ τῶν ἔνδον ἐρχομένου.

1324. οἵ' ἂν] τοιαῦτα οἷα ἄν.

1326. φρενῶν τητώμενοι] φρονήσεως ἐστερημένοι. παρ' οὐδὲν] οὐδαμῶς. ἐγγενὴς] ἔμφυτος, γνήσιος. ὅτ' οὐ παρ' αὐτοῖς] ὅτε οὐ πλησίον αὐτῶν, ἀλλ' ἐντὸς αὐτῶν τῶν κινδύνων τῶν μεγίστων ὄντες.

1331. ἀλλ' εἰ σταθμοῖσι] ἀλλ' εἰ μὴ ἐκ μακροῦ ἐφύλασσον ἐγὼ ἐν ταῖς παραστάσιν. σταθμὰ ἐπὶ ζυγοῦ, σταθμοὶ καὶ οἱ οἶκοι ἔνθα ἑστήκασιν οἱ ἵπποι ἢ οἱ βόες, οἱ κοινῶς σταῦλοι, οἳ καὶ οὐδετέρως λέγονται τὰ σταθμά. σταθμοὶ καὶ αἱ παραστάδες.

1344. τελουμένων] πέρας λαμβανόντων τῶν κατ' αὐτοὺς δηλονότι, εἴποιμ' ἂν ὅπως ἔχουσι, εἴτε χαίρουσιν, εἴτε λυποῦνται· καθὰ δὲ νῦν διάκειται, τὰ ἐκείνων πάντα καλῶς ἔχει, καὶ τὰ μὴ καλῶς, ἤγουν καὶ ἃ σκευωροῦνται κατ' αὐτῶν, ἔτι καλῶς ἔχει αὐτοῖς, μήπω πέρας εἰληφότα.

1352. προσεῦρον] ἤγουν εὗρον. μή μ' ἔλεγχε] μὴ ἀνάκρινε διὰ πλειόνων λόγων.

1354. φῶς] ἐμὸν δηλονότι.

1359. οὐδ' ἔφαινες] οὐδ' ἐδείκνυς, σαυτὸν δηλονότι.

1362. ἐπὶ τοῦ ἤχθηρα κἀφίλησα λέγεται τὸ μάλιστα ἀνθρώπων, ἤγουν μάλιστα ἀνθρώπων ἐμίσησά σε, καὶ μάλιστα ἀνθρώπων ἐφίλησά σε ἐν ἡμέρᾳ μιᾷ.

1365. κυκλοῦσι] κατὰ κύκλον στρέφονται. κυκλέω κυκλῶ τὸ στρέφω, κυκλόω δὲ κυκλῶ τὸ περιλαμβάνω. ἐνταῦθα δὲ κυκλοῦσιν ἀμεταβάτως ἀντὶ τοῦ κατὰ κύκλον στρέφονται ἀπὸ τοῦ κυκλόω κυκλῶ. ἡμέραι τ' ἴσαι] καὶ ἰσάριθμοι ἡμέραι. ἴσον ἐν ἑνὶ λέγεται, πολλὰ δὲ πολλοῖς οὐκ ἴσα λέγεται, ἀλλ' ἰσάριθμα, εἰ πρὸς τὴν ποσότητα τοῦ ἀριθμοῦ ὁ λόγος τείνεται. εἰ δ' ἕκαστον ἑκάστῳ ἴσον ἐστὶ κατὰ μέ-

τικὴν καὶ ἀποδίδωσιν "αἳ ταῦτά σοι δείξουσιν," ἤγουν καὶ τὸν λόγον καὶ εἴ τι τοιοῦτον. σύνηθες δὲ τοῦτο τὸ σχῆμα, τὸ ἄρχεσθαι ἄλλως, εἶτα ὥσπερ ἐκλησάμενον ἀποδιδόναι τὸν λόγον ἄλλως, ὥσπερ παρὰ Φιλοστράτῳ "Φαρέτραι μὲν οὖν χρυσόπλαστοι καὶ χρυσαῖ καὶ τὰ ἐν αὐταῖς βέλη, γυμνὴ τούτων ἡ ἀγέλη πᾶσα."

1369. εἰ δ' ἐφέξετον] ἤγουν εἰ κωλυθήσεσθε νῦν.

1370. σοφωτέροις] φρονιμωτέροις.

1371. μαχούμενοι] μέλλοντες μαχεῖσθαι.

1373. ὦ Πυλάδη, τοῦτο τὸ ἔργον οὐκέτι ἂν οὐδὲν, ἤγουν οὐκέτι οὐδαμῶς, κατ' ἐπίτασιν τῆς ἀρνήσεως, εἴη ἄν, ἔργον δηλονότι, λόγων μακρῶν, ἤγουν ἐπὶ πολὺ παρατεινόμενον, τουτέστιν οὐ μακροὶ λόγοι ἀνύουσι τοῦτο τὸ ἔργον.

1374. πατρῷα] προσκύσαντας τὰ ἀγάλματα τῶν πατρῴων θεῶν.

1378. λιπαρεῖ χερὶ] ἤγουν ἐπιμόνῳ δόσει χειρῶν, τουτέστι δι' ἐπιμόνου δόσεως. προὔστην] παρεκάλεσα. ἐξ οἵων ἔχω] προσφέρουσα δηλονότι.

1382. καὶ δεῖξον τοῖς ἀνθρώποις τὰ ἐπιτίμια οἷα δωροῦνται θεοὶ, ἀντὶ τοῦ οἷας τιμωρίας διδόασιν οἱ θεοὶ ἕνεκα τῆς δυσσεβείας, τουτέστιν ὅπως κολάζουσιν οἱ θεοὶ ἕνεκα τῆς δυσσεβείας.

1384. θεάσασθε ὅπου προβιβάζει τὸ φιλόνεικον γένος ὁ θρασὺς Ἄρης.

1386. βεβᾶσιν ἄρτι] ἀντὶ τοῦ βεβήκασιν, ἐπορεύθησαν. δωμάτων ὑπόστεγοι] ἀντὶ τοῦ ὑπὸ τὰς στέγας τῶν δωμάτων, τουτέστιν ἔσω τῶν δωμάτων.

1387. μετάδρομοι] τιμωροὶ, ἀπὸ τοῦ μετέρχομαι τὸ κολάζω.

1389. ὥστ' οὐ μακρὰν] ὥστε οὐκ ἔτι ἐπὶ πολὺ ἀναμένει προσδοκώμενον τὸ ὄνειρον τῶν ἐμῶν φρενῶν, τουτέστιν ἡ φαντασία ἣν ἐφαντάζοντο αἱ ἐμαὶ φρένες. αἰωρούμενον] προσδοκώμενον.

1391. παράγεται] παραγίνεται γὰρ βοηθὸς τῶν νεκρῶν δολίᾳ πορείᾳ, λέγει δὲ τὸν Ὀρέστην, εἴσω τοῦ οἴκου, εἰς τὰς ἐξ ἀρχῆς πλουσίας καθέδρας τοῦ πατρὸς, αὐτοῦ δηλονότι, κρατῶν ταῖς χερσὶν αἷμα

1400. πῶς δή;] ἔχει τὸ πρᾶγμα δηλονότι. τάφον] ἐπιτάφιον θυσίαν. κοσμεῖ] εὐτρεπίζει.

1408. ὥστε φρῖξαι] ὥστε ἐκ τοῦ φόβου ὀρθίας γενέσθαι τὰς τρίχας μου.

1416. εἰ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ] γένοιτο ταῦτα δηλονότι. ἐν χρείᾳ ἐστὶ τὸ εἰ ἀντὶ τοῦ εἴθε καὶ ἐν πεζῷ λόγῳ.

1417. τελοῦσιν] τελοῦνται αἱ κατάραι τῶν πεφονευμένων δηλονότι. ἀντὶ τοῦ ἐνεργοί εἰσιν, ἐπεὶ ἔχουσι τὴν ὑπὲρ ἑαυτῶν δίκην ἐνεργοῦσαν. ζῶσιν οἱ ὑποκάτω τῆς γῆς κείμενοι.

1423. στάζει θυηλῆς Ἄρεος] θυσίας φόνου, ἀντὶ τοῦ αἵματος, ὃ ὁ φόνος εἰργάσατο. ἀμηχανοῦσα ὑπὸ τῆς χαρᾶς τοῦτο λέγει, εἶτα ἐπιστρεφομένη πρὸς τὸν Ὀρέστην λέγει, Ὀρέστα πῶς κυρεῖ; πρὸς ὃ ἀπαντᾷ ὁ Ὀρέστης, τὰν δόμοισι μὲν, καὶ τὰ ἑξῆς.

1427. μητρῷον ὥς σε λῆμ' ἀτιμάσει] τὸ φρόνημα τὸ μητρῷον. περιφραστικῶς ἀντὶ τοῦ ἡ μήτηρ ἀτιμάσει σε ποτέ.

1429. ἐκ προδήλου] ἐκ τοῦ φανεροῦ.

1431. ἐφ' ἡμῖν] πλησίον ἡμῶν. ἐκ προαστείου] ἐκ τῶν προθύρων τῆς πόλεως. προάστεια, τὰ πρὸ τῶν τειχῶν τοῦ ἄστεος, ἃ καὶ προπύλαια λέγονται.

1433. βᾶτε κατ' ἀντιθύρων] πορεύθητε κατὰ τῶν ὄπισθεν τῆς θύρας μερῶν. ἀντίθυρα, τὰ ὄπισθεν τῆς θύρας, ὥσπερ ἀντικνήμια, τὰ ὄπισθεν τῶν κνημῶν.

1435. τελοῦμεν ᾗ νοεῖς] ἤγουν χωροῦμεν κατ' ἀντιθύρων.

1437. παῦρα] ὀλίγα. ὡς ἠπίως] λίαν πράως. συμφέροι ἂν λέγειν πρὸς τόνδε τὸν ἄνδρα ὀλίγα διὰ τοῦ ὠτὸς λίαν πράως, ἵνα ὁρμήσῃ πρὸς τὸν λάθρα ηὐτρεπισμένον ἀγῶνα τῆς δίκης, ἤγουν τῆς καταδίκης, τῆς τιμωρίας.

1442. τίς ἀφ' ὑμῶν οἶδεν ποῦ ποτ' εἰσὶν οἱ Φωκεῖς ξένοι, οὓς φασιν ἀγγεῖλαι ἡμῖν τὸν Ὀρέστην ἀποθανόντα ἐν θραύσει ἁρμάτων ἱππικῶν; κρίνω] ἀνακρίνω, ἐρωτῶ. σοὶ μέλειν οἶμαι] καθὰ ὑπολαμβάνω σοι μάλιστα διὰ φροντίδος εἶναι εἰδέναι περὶ αὐτῶν.

1449. τῆς φιλτάτης] ἀντὶ τοῦ, ἐμοῦ τῆς φιλτάτης, ἤγουν τῆς

1453. οὐκ, ἀλλὰ] οὐ μόνον ἤγγειλαν, ἀλλὰ καὶ ἐπέδειξαν. οὐ λόγῳ μόνον] ἀλλὰ καὶ ἔργῳ δηλονότι.

1456. ἦ πολλὰ] ὄντως πολλὰ εἶπας, ὥστε χαίρειν ἐμέ.

1460. εἴ τις αὐτῶν] εἴ τις ἀπ' αὐτῶν, ἤγουν τῶν Μυκηναίων καὶ τῶν Ἀργείων, ἐπ' ἐλπίσι ματαίαις τοῦδε τοῦ ἀνδρὸς, τουτέστιν ἃς εἶχεν εἰς τόνδε τὸν ἄνδρα, πρότερον ἐξήρετο, ἤτοι ἐμεγαλαύχει, νῦν ὁρῶν νεκρὸν, αὐτὸν δηλονότι, δέχηται τὰ ἐμὰ στόμια, ἤγουν τὰ ἐμὰ χαλινὰ, μηδὲ βιαίως καὶ μετὰ ἀνάγκης φύσῃ φρένας, τουτέστι σωφρονήσῃ, ἐμοῦ τυχὼν κολαστοῦ. φύσῃ] γεννήσῃ.

1464. τἀπ' ἐμοῦ] τὰ ἀπὸ τῆς ἐμῆς γνώμης. νοῦν ἔσχον] γνῶσιν ἐκτησάμην. συμφέρειν] συμφέρεσθαι.

1470. βάσταζ'] αἶρε τὸ κάλυμμα. προσηγορεῖν φίλως] προσαγορεύειν. γράφεται καὶ φίλος, ἤγουν φίλε. ἀλλ' εὖ παραινεῖς] καὶ μὴν εὖ συμβουλεύεις.

1473. εἴ που κατ' οἶκον ἡ Κλυταιμνήστρα ἐστὶ, κάλει μοι αὐτὴν δηλονότι.

1477. οὐ γὰρ αἰσθάνῃ] οὐ γὰρ γινώσκεις ὅτι πάλαι, ἤγουν ἐκ μακροῦ, ζῶν ἀνταυδᾷς, τουτέστι διαλέγῃ, ἴσα τοῖς θανοῦσιν, ἤγουν ὡς τεθνηκὼς, οὐδὲν διαφέρων τοῦ τεθνηκότος.

1485. τί γὰρ ἂν κέρδος ἀποφέροιτο ἀπὸ τοῦ χρόνου, ἤγουν ἀπὸ τῆς παρατάσεως τοῦ χρόνου, ὁ μέλλων θνήσκειν ἀπὸ τῶν βροτῶν τῶν συμμεμιγμένων κακοῖς, τουτέστι τῶν δυστυχούντων.

1489. ἄπορτον ἡμῶν] ἀπὸ τῆς ὄψεως ἡμῶν.

1494. πρόχειρος] ἕτοιμος. χώρει δ' ἔνθα περ] πορεύου ἐκεῖσε δηλονότι ἔνθα ἔκτανες ἐμὸν πατέρα, ἵνα ἐν τῷ αὐτῷ τόπῳ θάνῃς. ἄκρος] ἄριστος, ἔξοχος.

1501. βραδύνω ἀμεταβάτως, τὸ βραδὺς γίνομαι· ἐνταῦθα δὲ βραδύνεται ἀντὶ τοῦ βραδυτῆτα λαμβάνει ὑφ' ἡμῶν, ὡς ἀπὸ μεταβατικοῦ τοῦ βραδύνω.

1502. ὑφηγοῦ] ἀντὶ τοῦ προηγοῦ. τὸ ὑφηγεῖσθαι γὰρ ἐπὶ παραινέσεως λέγεται, ἐφ' οἷ καὶ τὸ ὑποτίθεσθαι. τὸ δὲ προηγεῖσθαι, ἐπὶ ὁδοῦ, ὃ βούλεται δηλοῦν ἐνταῦθα ὁ λόγος.

σοφὸν ἀντὶ τοῦ ἡ σοφία.

1509. δι' ἐλευθερίας μόλις ἐξῆλθες] μόλις ἠλευθερώθης. τῇ νῦν ὁρμῇ] ἤγουν κατὰ τὴν νῦν ἐπιχείρησιν. τελεωθὲν] ἀντὶ τοῦ διὰ τέλους, ἐπιρρηματικῶς. τὸ πᾶν οὕτως· ὦ σπέρμ' Ἀτρέως πλεῖστα παθὸν, μόλις διὰ τέλους ἠλευθερώθης κατὰ τὴν νῦν ἐπιχείρησιν.

ΔΗΜΗΤΡΙΟΥ

ΤΟΥ ΤΡΙΚΛΙΝΙΟΥ ΣΧΟΛΙΑ.

ΕΙΣ ΤΟΝ ΤΥΡΑΝΝΟΝ ΟΙΔΙΠΟΥΝ.

3. ἘΞΕΣΤΕΜΜΕΝΟΙ] ὅτι οὐ μόνον ἐστεφανωμένοι ἦσαν, ἀλλὰ καὶ ἐν χερσὶν ἔφερον, δῆλόν ἐστι καὶ ἐξ ὧν ἔμπροσθεν λέγει, (143.) τούσδ' ἄραντες ἱκτῆρας κλάδους. ἔθος γὰρ ἦν τοῖς παλαιοῖς ἐστεφανωμένους πρὸς ἱκετείαν χωρεῖν, ἵν' αἰδέσιμοι δοκοῖεν τοῖς οὓς ἱκέτευον.

11. δείσαντες] φοβηθέντες τι, καὶ διὰ τοῦτο πρὸς βοήθειαν ἐκκαλούμενοί με, ἢ στέξαντες καὶ παθόντες καὶ ὑπομείναντές τι κακὸν, καὶ διὰ τοῦτο ζητοῦντες ἐκδίκησιν παρ' ἐμοῦ.

12. προσαρκεῖν] τὸ πρός πρὸς τὸ πᾶν ἔχει τὴν δύναμιν.

15. ἡλίκοι] ὁποῖοι τήν τε ἡλικίαν καὶ τῷ ἐκ τοῦ λοιμοῦ πάθει προσκαθήμεθα τοῖς ἐπὶ τῶν βασιλείων βωμοῖς. ἢ τὸ βωμοῖσι τοῖς σοῖς ἀντὶ τοῦ, ἐν τῇ πρὸς σὲ ἱκετείᾳ. εἴρηται δ' ἐκ μεταφορᾶς τῶν ἐν τοῖς ναοῖς βωμῶν, εἰς οὓς, ὅτε συμφορὰ καταλάβοι, προσεδρεύοντες ἄνθρωποι θυσίαις τὸ θεῖον ἐξιλεοῦνται.

18. ἀπατώμενοί τινες ἐκ τοῦ "ἐγὼ μὲν Ζηνός" φασὶ τὸ οἱ δέ τ' ἠθέων ἀντὶ τοῦ, οὗτοι τῶν Διοσκούρων ἱερεῖς. τὸ δὲ οὐ τοιοῦτον. ἀλλ' εἰπὼν ἄνω τὸ "ἡλίκοι προσήμεθα" καὶ διελὼν τοῦτο εἰς τὸ οἱ μὲν οὔπω πτέσθαι σθένοντες καὶ εἰς τὸ οἱ δὲ σὺν γήρᾳ βαρεῖς ἱερεῖς, ἑρμηνεύει πάλιν αὐτὰ, τὸ μὲν οἱ δὲ σὺν γήρᾳ βαρεῖς ἱερεῖς ἀντὶ τοῦ, ἐγὼ μὲν ὑπάρχων γέρων ἱερεὺς τοῦ Διὸς, τὸ δὲ οἱ μὲν οὔπω πτέσθαι σθένοντες ἀντὶ τοῦ, οἱ δὲ τῶν ἠϊθέων καὶ τῶν νέων ὄντες, ἀντὶ τοῦ νέοι λεκτοὶ καὶ ἔκκριτοι. ἰστέον δὲ ὅτι οἱ τῶν τῆς πόλεως ἐκκρίτων νήπιοι παῖδες ἦσαν μετὰ μόνου τοῦ ἱερέως. διὰ τοῦτο γὰρ καὶ ἄνω λέγει τὸ οἱ μὲν οὔπω πτέσθαι σθένοντες καὶ ἐν ἀρχῇ τὸ νέα τροφή. διὰ τοῦτο δὲ

τεια διπλοῦν. εἴτε γὰρ περισπάσεις τὸ τει, αἰτιατικὴ πληθυντικῶν ἐστι τὰ μαντεῖα· εἴτε ὀξυνεῖς, δοτική ἐστι τῇ μαντείᾳ. εἰ μὲν οὖν μαντείας γράψεις, οὕτως ἐρεῖς· καὶ ἐν σποδῷ Ἰσμηνοῦ μαντείας, τουτέστιν, οἱ μὲν Ἀθηνᾶς ἐν τοῖς ναοῖς καθίδρυνται, οἱ δὲ θυσίαν ἐν τῷ Ἰσμηνῷ ποιοῦσι, καθ' ἣν ἐκ τῆς ἀνάψεως τοῦ πυρὸς τὸ μέλλον μαντεύονται. εἰ δὲ μαντείᾳ, οὕτως· ἐπὶ σποδῷ μαντείᾳ καὶ μαντικῇ. τὸ δ' ἕτερον μαντεῖα, οὕτως· ἐν σποδῷ τοῦ Ἰσμηνοῦ ἐπὶ μαντεῖα καὶ μαντεύματα. ὅπως δ' ἐποίουν τὴν μαντείαν διὰ πυρὸς ἐν Αἰσχύλῳ ἐρρέθη εἰς τοὺς Ἑπτὰ ἐπὶ Θήβαις.

24. φοινίου σάλου] ἤτοι τοῦ θανάτου παρεκτικοῦ λοιμοῦ. ἔστι δὲ τὸ βυθῶν καὶ τὸ φοινίου σάλου ὥσπερ ταυτὸ, οὕτως· καὶ οὐχ οἷά τέ ἐστιν ἀνακυφίσαι καὶ ἄνω τῶν βυθῶν ἐνέγκαι τὸ κάρα τοῦ φονίου, λέγω σάλου, τουτέστιν, οὐ δύναται τῶν κατασχόντων αὐτὴν ἀπαλλαγῆναι κακῶν. εἴρηται δ' ἐκ μεταφορᾶς τῶν ἐν ὕδασι κινδυνευόντων. γίγνωσκε δ' ὅτι ἐν ταῖς Θήβαις τότε καὶ πεῖνα καὶ λοιμικὴ νόσος ἦν, ὡς καὶ οὗτος προϊὼν δείξει, πρῶτον μὲν τῆς γῆς πρὸς τὰ φυτὰ δυστυχίαν διεξιὼν, δι' ἧς τὰ θρέμματα ἐφθείρετο· ἔπειτα δὲ καὶ τὴν λοιμικὴν νόσον προσθείς.

35. ἡ σύνταξις, ὃς μολὼν καὶ ἐλθὼν ἐκ Κορίνθου ἐξέλυσας καὶ ἠλευθέρωσας τὸ ἄστυ τῶν Καδμείων τῆς σκληρᾶς ἀοιδοῦ. δέον δ' εἰπεῖν, τοῦ δασμοῦ καὶ τοῦ φόρου, ὃν ἑκάστοτ' αὐτῇ παρείχομεν διὰ τὴν τῶν αἰνιγμάτων ἄγνοιαν, ὁ δὲ πρὸς τὸ ὃν ἐποίησε δασμόν.

44. ὅτι καὶ τοῖς ἐμπείροις τῶν βουλευμάτων, ἤγουν τοῖς ἄριστα βουλευομένοις, ὁρῶ καὶ βλέπω οὐ μόνον τὰ καλὰ καὶ τὴν περὶ τούτων ζήτησιν, ἀλλὰ καὶ μάλιστα τὰς συμφορὰς ζώσας, τουτέστιν, ἐν μὲν τοῖς ἄλλοις πᾶσιν, ὥσπερ νεκρά ἐστι τὰ συμβάντα καλὰ ἢ κακὰ, διὰ τὸ μὴ δύνασθαι καταλαμβάνειν αὐτὰ, καὶ ὅθεν ἐπῆλθε φράζειν· τοῖς δὲ καλῶς βουλευομένοις καὶ τὰ καλὰ ζῶσιν, ἤγουν ἄριστα καταλαμβάνεται δι' ἣν αἰτίαν συνέβη· καὶ μάλιστα αἱ ἐπερχόμεναι δυστυχίαι τῷ κόσμῳ. οὗτοι γὰρ δύνανται καὶ ὅθεν ἐπῆλθον ἐξηγεῖσθαι, καὶ μηχανήν τινα φράζειν δι' ἧς τάχιστα παύσονται.

46. τοῦτο, βουλόμενος παρακινῆσαι αὐτὸν εἰς τὴν αὐτῶν βοήθειαν,

ἀνορθωσάσης ἡμᾶς, ὕστερον δὲ, ἤτοι νῦν, ὑπὸ τοῦ λοιμοῦ καταλιπούσης ἡμᾶς πεσεῖν. ἀλλ᾽ ἀνόρθωσον τὴν πόλιν ἐν ἀσφαλείᾳ, ἤγουν ποίησον ἀσφαλῶς στῆναι, καὶ μὴ ὑπὸ τοῦ λοιμοῦ πεσεῖν καὶ κινδυνεῦσαι.

52. ἐξ ὧν τὰ Σφιγγὸς εὗρες αἰνίγματα, ἃ μηδεὶς ἀνθρώπων, ὡς κατὰ ῥοῦν ἔτι χωρήσομεν ἐποίησας ἡμῖν εὔδηλον. τοῦτο γάρ ἐστι τὸ ὄρνιθι αἰσίῳ.

67. πολλὰς ὁδοὺς] ἤγουν πολλὰς φροντίδας πλανηθέντα, ζητοῦντα τὸ τοῦ κακοῦ αἴτιον. ἰστέον δ᾽ ὅτι οὐ μόνον θηλυκῶς ἡ πλάνη, ἀλλὰ καὶ ὁ πλάνος, ὥσπερ καὶ εὐθύνη καὶ εὔθυνος, ὡς ἔχει καὶ τὸ τοῦ Ἰσοκράτους, "Τοὺς φυγαδικοὺς πλάνους."

70. ἀποροῦσί τινες πῶς ὁ Κρέων τῇ μὲν ἀληθείᾳ θεῖος ὢν Οἰδίποδος, τῷ δὲ φαινομένῳ γυναικάδελφος, γαμβρὸς νῦν παρὰ τούτου καλεῖται. καὶ φαμὲν ὅτι ἀντὶ τοῦ συγγενὴς ἐνταῦθα τὸ γαμβρὸς κεῖται, ἐπειδὴ κηδεστὴς οὐ μόνον ὁ πενθερὸς, ἀλλὰ καὶ ὁ γαμβρὸς καὶ ὁ γυναικάδελφος εὕρηται.

73. χρόνῳ] τῷ ὁρισθέντι παρ᾽ ἐμοῦ αὐτῷ εἰς ἀπάντησιν ἐκεῖσέ τε καὶ πάλιν ἐκεῖθεν δεῦρο.

74. τοῦτο λέγει, ὅτι εἰκὸς ἦν καὶ μετὰ τὸν τεταγμένον χρόνον αὐτῷ παρ᾽ ἐμοῦ δύο ἢ τρεῖς ἡμέρας ἀργῆσαι. νῦν δὲ πέρα τοῦ εἰκότος βραδύνει.

78. ἀλλ᾽ εἰς καλὸν] καὶ μὴν καλῶς κατὰ τὸν προσήκοντα χρόνον ἐμνήσθης καὶ ἀνεζήτησας αὐτὸν, καὶ οὗτοι μηνύουσί μοι.

80. ἐν τύχῃ γέ τῳ] τοῦθ᾽ ὅμοιον τῷ παρ᾽ Αἰσχύλῳ (Ἑπτ. ἐπὶ Θήβ. 474.) τῷ

πέμποιμ᾽ ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ.

δέον γὰρ εἰπεῖν ἐν τύχῃ τῇ καὶ τινὶ, πρὸς ἀρσενικὸν Ἀττικῶς ἔτρεψεν, ὥσπερ ἐστὶ καὶ (Αἰ. 290.) "οὔτε του κλύων σάλπιγγος" καὶ ἄλλα, ὡς ἔφαμεν εἰς τὸ αὐτό.

83. μὴ λάβῃς εἰς τὸ παγκάρπου δάφνης ἔξωθεν τὸ ἀπό· ἀλλὰ πρὸς τὸ πολυστεφής ἐστιν ἡ γενική.

89. τὸ θρασύς εἶπε διὰ τὸ ἐσθλὴν, καὶ τὸ πάντ᾽ ἂν εὐτυχεῖν· τὸ δὲ προδείσας, διὰ τὸ δύσφορα.

βασιλέως καὶ προστάτου ὁ λόγος οὗτος.

95. ἱστέον ὅτι Κρέων παρ' Ἀπόλλωνος μαθὼν ἀκριβῶς ὅτι Οἰδίπους ἦν ὁ τοῦ λοιμοῦ αἴτιος, φονεύσας τὸν πατέρα Λάϊον, καὶ ἀνόμως συνὼν τῇ μητρὶ, ἵνα μὴ δόξῃ αὐτῷ ἐπαχθὴς κατὰ πρόσωπον ἐλέγχων, καὶ ἅμα δεδιὼς τὸ τῆς ἀρχῆς μέγεθος, ἵνα μή τι κακὸν ἐξ αὐτοῦ πάθῃ, ἐγκαταμεμιγμένως ταῦτά φησι. μαρτύριον δὲ ὅτι σύνοιδε τὸ, λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι.

98. ἀνήκεστον] ἤγουν ἀθεράπευτον. λέγει δὲ τοῦτο, οὐχ ὅτι τὸ μίασμα θεραπείας ἐδεῖτο, ἀλλ' ὅτι ἡ τοῦδ' ἀπέλασις θεραπείαν τοῖς ἄλλοις εἶχεν.

100. τὸ ἀνδρηλατοῦντας πρὸς τὸ ἐλαύνειν ἔχει τὴν δύναμιν. ἀπορεῖται δὲ πῶς ἄνω ἐλαύνειν εἰπὼν νῦν ἄμφω λέγει, ἀνδρηλατοῦντας, ἢ φόνῳ φόνον πάλιν λύοντας. καὶ φαμὲν ὡς καὶ τὸ φονεῦσαι τὸν τοῦ Λαΐου φονέα ἀπέλασις τοῦ μιάσματος ἦν. ὡς τοῦδ' αἷμα] ἤγουν δι' οὗ τὸ μίασμα γέγονε. λέγει δὲ τὸν φόνον τοῦ Λαΐου. τὸ δὲ χειμάζον ἀντὶ τοῦ κλυδωνίζον καὶ διαφθεῖρον Ἀττικῶς τέθειται, ἀντὶ τοῦ χειμάζοντος καὶ διαφθείροντος τοῦ αἵματος καὶ τοῦ φόνου τοῦ Λαΐου τὴν πόλιν.

107. τὸ τινάς οὐ πρὸς τὸ τιμωρεῖν, ὡς φασί τινες, ἀλλὰ πρὸς τὸ αὐτοέντας ἔχει τὴν δύναμιν, οὕτως· ἐπιστέλλει ὁ Ἀπόλλων τιμωρεῖν καὶ κολάζειν τοὺς αὐτοέντας χειρὶ, ἤγουν τοὺς αὐτόχειράς τινας. εἰ δ' εἴποις, πῶς τὸ μὲν αὐτοέντας ὡρισμένον εἰπὼν, μετὰ τοῦτο τίθησι τὸ τινάς ἀόριστον, φαμὲν ὅτι διὰ τοῦτο οὕτω λέγει, διότι τὸ μὲν ὑπὸ τινῶν ἀνῃρῆσθαι Λάϊον φανερὸν ἦν, τίνες δ' οἱ φονεῖς ἦσαν, τοῦτ' ἦν ἀφανές.

112. τὸ πότερα οὐ πρὸς τὸ συμπίπτει ἔχει τὴν δύναμιν, ἀλλὰ πρὸς τὸ οἴκοις καὶ τὸ ἀγροῖς καὶ τὸ ἐπ' ἄλλης γῆς. τὸ δὲ πότερα ἀντὶ τοῦ πότερον.

114. θεωρούς φασι τοὺς εἰς τὰ μαντεῖα ἀπιόντας, τοῦ μαθεῖν ἕνεκα περὶ ἂν αὐτοῖς ἐστι ζήτησις. ἀπῆλθεν οὖν ὁ Λάϊος εἰς Ἀπόλλω, χρησόμενος περὶ τοῦ ἐκτεθέντος παιδὸς, εἰ ἄρα ζῴη· ὅστις οὐκ ἀφίκετο ὡς ἀπεστάλη, ἤγουν οὐχ ὑπέστρεψεν εἰς τὸν οἶκον, ὥσπερ ἀπεδήμησεν.

121. ἀρχὴν βραχεῖαν] ἤγουν εἰ λάβοιμεν μικρὰν ἀρχὴν ὥστ' ἐλπίζειν. εἰκότως δὲ εἶπε τὸ ἐλπίδος. ἡ γὰρ μικρὰ ἀφορμὴ μειζόνων ἐλπίδα παρίστησιν.

124. ξὺν ἀργύρῳ ἐπράσσετ'] ἤγουν, εἰ μή τις τῶν πολιτῶν διέφθειρεν αὐτὸν, χρήμασι πείσας πρὸς τὸν κατ' ἐκείνου φόνον.

136. τῷ θεῷ] ἤγουν τῷ Ἀπόλλωνι. βοηθήσω γὰρ καὶ τούτῳ, εἰ τὴν μαντείαν αὐτοῦ βεβαιώσαιμι, ζητήσας καὶ ἐξευρὼν τὸ μίασμα.

137. τῶν ἀπωτέρω φίλων] ἤγουν τοῦ πύρρου ἀφ' ἡμῶν γεγονότος Λαΐου. φίλον δὲ τοῦτον εἶπε, διὰ τὸ τὴν αὐτὴν ἐκείνῳ γυναῖκα λαβεῖν, καὶ διὰ τὸ τὴν αὐτὴν ἔχειν ἀρχὴν, ἣν ἐκεῖνος.

142. βάθρων] ἰστέον ὅτι ὁ τόπος ἔνθα ἡ ἐκκλησία ἐγίνετο βαθμῖσιν ἦν κύκλῳ διειλημμένος ἄλλαις ἐπ' ἄλλαις, ἔνθα οἱ συνελθόντες πάντες καθήμενοι ἀνεμποδίστως ἠκροῶντο τοῦ ἱσταμένου ἐν μέσῳ καὶ συμβουλεύοντος.

145. ὡς πᾶν ἐμοῦ] ὅσον συμβάλλεται εἰς τὴν περὶ τοῦ μιάσματος ζήτησιν καὶ ἀπέλασιν, πᾶν μέλλω δράσειν. τὸ δὲ εὐτυχεῖς ἢ πεπτωκότες λέγει, ὅτι εἰ μὲν εὑρήσομεν τὸ μίασμα καὶ ἀπελάσομεν, παύσεται ὁ λοιμός· εἰ δ' οὖν προχωρήσει ἀεὶ, καὶ ἡμᾶς ἐκτρίψει τελείως.

151. φασὶν Ἕλληνες τὴν Φάτιν θυγατέρα Διὸς, ὅθεν καὶ τὴν ἐξ Ἀπόλλωνος ἐλθοῦσαν αὐτοῖς μαντείαν περὶ τοῦ λοιμοῦ Φάτιν Διὸς καλεῖ. ἡδυεπῆ δὲ ταύτην ὠνόμασεν ὡς συντελοῦντα αὐτοῖς φέρουσαν. πολύχρυσον δὲ τὴν Πυθῶνα καλεῖ, διὰ τὸ ἐκ πλίνθων χρυσῶν δεδομῆσθαι τὸ Ἀπόλλωνος μαντεῖον, ἃς χιλίας αὐτῷ Κροῖσος πέπομφεν, ἢ διὰ τὴν τῶν ἀναθημάτων πολυτέλειαν. τὸ δὲ τίς ἀντὶ τοῦ πυδαπή· ταχέως ποιήσουσα ἀπαλλαγὴν τοῦ λοιμοῦ, ἢ μετὰ πολὺν χρόνον; τὸ δ' ἐκτέταμαι ἀντὶ τοῦ ἐκπέπληγμαι, παρ' ὅσον οἱ ἐκπλαγέντες ἔκτασιν σώματος καὶ ἀκινησίαν, ἐν ὅσῳ χρόνῳ ἐκπλήττονται, πάσχουσι. τὸ δὲ ἀμφί σοι πρὸς τὸ πάλλων ἔχει τὴν δύναμιν, οὐ πρὸς τὸ ἄζόμενος, οὕτως· ἐκτέταμαι καὶ ἐκπέπληγμαι, πάλλων καὶ κινῶν ἀμφὶ σοὶ, ὦ Δήλιε ἰήϊε Παιὰν, τὴν φρέν' ἐν δείματι φοβερὰν, ἀζόμενος καὶ σεβόμενός σε, τουτέστιν, ἐκπλήττομαι τῇ σῇ μαντείᾳ, καὶ μετὰ φόβου πρὸς σὲ τείνω τὸν νοῦν μου, δεόμενος ἀπαλλάξαι με

μοῦ· ἢ νέον, ἢ ἐν περιτελλομέναις καὶ ἐπελθούσαις ὥραις, τουτέστι, νῦν παύσεις τὸν λοιμὸν, ἢ ὕστερον. δέον δ' εἰπεῖν νῦν, νέον εἶπε πρὸς τὸ χρέος. ἐλπίδος δὲ τέκνον τὴν μαντείαν καλεῖ, διότι πρῶτον ἐλπίζουσιν οἱ ἄνθρωποι εἰς Ἀπόλλωνα, ὡς φράσειε τί δεῖ ποιεῖν, εἶτα τὰς μαντείας δέχονται. κεκλόμενος καὶ ἐπικαλούμενος πρῶτά σε, ὦ θεὰ Ἀθηνᾶ θύγατερ τοῦ Διὸς, (τὸ δὲ κεκλόμενος πρὸς τὸ πάλλων καὶ τὸ ἀζόμενος ἐστὶ, διὰ μέσου ῥηθέντος τοῦ τί μοι νέον μέχρι τοῦ φάμα. οἱ πολλοὶ δ' ἀγνοοῦντες κεκλομένῳ πρὸς τὸ τί μοι γράφουσι.) καὶ τὴν σὴν ἀδελφὴν Ἄρτεμιν· ἐκ Διὸς γὰρ καὶ αὐτὴ ὡς σύ· τὴν γαιάοχον καὶ τὴν συνέχουσαν τήνδε τὴν γῆν, ἥτις θάσσει καὶ κάθηται εὐκλεᾶ καὶ ἔνδοξον θρόνον κυκλόεντ' ἀγορᾶς, τουτέστιν, ἥτις ἐν ἀγορᾷ ναὸν ἔχει κυκλοτερῆ· καὶ ἑκηβόλον καὶ τοξικὸν Φοῖβον, κεκλόμενος ἀπὸ κοινοῦ. νοεῖται δὲ τὸ ἀδελφεὰν καὶ πρὸς τὸν Ἀπόλλωνα, εἰ καὶ πρὸ τοῦ εἰπεῖν ἐκεῖνον αὐτὴν προέθηκεν.

163. ὦ Ἀθηνᾶ καὶ Ἄρτεμι καὶ Ἄπολλον προφάνητέ μοι τρισσοὶ ἀλεξίμοροι καὶ βοηθοὶ, εἴ καί ποτε φλόγα πήματος ἠνύσατε καὶ ἐτελέσατε τῇ πόλει ἐκτοπίαν καὶ πορρωτάτην, τῆς πρότερον ἄτης καὶ βλάβης ὀρνυμένης καὶ κινουμένης ὑπέρ, ἤγουν ὑπεράνω, τῆς πόλεως, ἔλθετε καὶ νῦν, ὦ πόποι καὶ θεοὶ, εἰς βοήθειαν. ἢ πρὸς τὸ νῦν στικτέον, τὸ δὲ ὦ πόποι ἀντὶ τοῦ φεῦ. νόει δὲ καὶ τὸ προτέρας ἄτας ὀρνυμένας αἰτιατικῶς, οὕτως· φλόγα πήματος, λέγω προτέρας ἄτας ὀρνυμένας. καλῶς δ' εἶπε τὸ φλόγα. τὰ γὰρ πήματα δίκην φλογὸς, εἰς οὓς ἐπέλθῃ καθίσταται. φέρω γὰρ πήματ' ἀνάριθμα καὶ πολλά· νοσεῖ δὲ ὁ πρόπας καὶ ὅλος στόλος ἐμοὶ, ἤγουν ὁ βίος καὶ ἡ ζωή μου μετὰ φορᾶς διέρχεται πάσης. στόλον γὰρ ἐνταῦθα καλεῖ τὴν ἐν τῷ βίῳ πορείαν καὶ δίαιταν. οὐδ' ἔνι καὶ ὑπάρχει ἔγχος καὶ δύναμις φροντίδος, ἐν ᾧ ἔγχει ἀλέξεται καὶ βοηθήσει τις ἑαυτῷ, τουτέστιν, εἰς τοσοῦτον ἀπορίας τὰ παρόντα ἡμῖν ἐλήλυθε πράγματα, ὥστε φροντίδα καὶ μηχανὴν ἥντινα οὐκ ἔστι πορίσασθαι πρὸς ἀπαλλαγήν. οὔτε γὰρ αὔξεται καὶ ἀναφύεται ἔκγονα κλυτᾶς χθονὸς, τουτέστιν, οὔτε ἡ γῆ ἀναδίδωσι σπέρματα καὶ τὴν ἄλλην πόαν, ὅπερ ἐνδόξου γῆς ἐστίν· οὔτε αἱ γυναῖκες ἀνέχουσι καὶ ἀναφέρουσι καὶ ἐλευθεροῦνται τῶν ἰητῶν καὶ θρηνητικῶν καμάτων καὶ πόνων ἐν τόκοις καὶ ἐν

ἐλλιμενίζοντα καὶ φερόμενον πρὸς τὴν ἀκτὴν τοῦ ἑσπέρου καὶ σκοτεινοῦ θεοῦ, ἤτοι τοῦ Ἅιδου, κρεῖσσον καὶ κάλλιον ἀμαιμακέτου πυρὸς, ἤγουν ταχύτερον τοῦ τῆς ἀστραπῆς πυρὸς, ἅπερ καὶ ἅτε καὶ καθὰ εὔπτερον ὄρνιν. ταῦτα δὲ λέγει, ἵνα δηλώσῃ τὸ τάχος τῶν συμβαινόντων τότε θανάτων, ὧν ἀνάρρυθμος καὶ ἀσύντακτος ἡ πόλις ὄλλυται. διὰ τούτων γὰρ συνίσταται.

180. κεῖται δὲ πρὸς πέδῳ θανατηφόρῳ ἀνοίκτως νηλέα καὶ ἀνηλεῶς γένεθλα. τουτέστιν, ἐκπίπτουσι τῶν γαστέρων τῶν γυναικῶν τὰ ἔμβρυα, πρὶν ἢ τυχεῖν τοῦ προσήκοντος τῷ τοκετῷ καιροῦ, ὑπὸ τοῦ λοιμοῦ φθειρόμενα. ἐν δὲ τούτοις τοῖς ἀώροις γεννήμασιν αἱ ἄλοχοι καὶ αἱ μητέρες αὐτῶν σὺν ταύταις, (τοῦτο γάρ ἐστι τὸ καὶ αἱ πολιαὶ μητέρες αὐτῶν.) ἐπιστονάχουσι καὶ θρηνοῦσιν, ἄλλοθεν ἄλλαι παρὰ τὴν βώμιον ἀκτὴν, ἤγουν παρὰ τοῖς ναοῖς ἐν θυσίαις, ἱκτῆρες καὶ παρακλήτορες τῶν λυγρῶν πόνων. τουτέστιν, αἱ μὲν ἄλοχοι διὰ τὰ ἄωρα γεννήματα ἱκετεύουσαι, δι' αὐτὰς δὲ αἱ μητέρες αὐτῶν. καλῶς δὲ εἶπε τὸ βώμιον ἀκτάν. ὥσπερ γὰρ τοῖς ἐν θαλάσσῃ κινδυνεύουσιν αἱ ἀκταὶ σωτήριον, οὕτω καὶ αὐταῖς οἱ βωμοί. ἐνταῦθα γὰρ θύουσαι ἀπαλλαγῆναι εὔχονται. παιὰν δὲ, ὅς ἐστιν ὕμνος εἰς Ἀπόλλωνα, ἐπ' ἀφέσει λοιμοῦ ᾀδόμενος, λάμπει καὶ διὰ πυρσοῦ εἰς ὕψος αἴρεται ἐξ ἡμῶν· καὶ γῆρυς καὶ βοὴ στονόεσσα καὶ θρηνητικὴ ὅμαυλος καὶ συμμιγὴς καὶ ὁμόθρους, ὑπὲρ ὧν καὶ ὤντινων, τοῦ παιᾶνος καὶ βοῆς, ὦ χρυσέα θύγατερ Διὸς Ἀθηνᾶ, εὐῶπα καὶ εὐόφθαλμον πέμψον ἡμῖν ἀλκὴν καὶ βοήθειαν, καὶ τὸν μαλερὸν καὶ καυστικὸν Ἄρεα, ἤγουν τὸν λοιμὸν, (εἰκότως δὲ τὸν λοιμὸν Ἄρει παρεικάζει, ὡς φθορᾶς αἴτιον, ὥσπερ ἐκεῖνος.) ὃς νῦν φλέγει καὶ καίει με ἄχαλκος ἀσπίδων, ἤγουν δίχα ξιφῶν καὶ ἀσπίδων· τούτοις γὰρ ἐπέρχεται Ἄρης· φλέγει με ἀντιάζων καὶ ἐμπίπτων, περιβόητος καὶ μέγας καὶ σφοδρός. περιβόητον δὲ τοῦτον καλεῖ, διὰ τὸ καὶ ἐν τούτῳ πολλὰς γενέσθαι, ὥσπερ ἐν πολέμοις, βοάς. δὸς νωτίσαι καὶ παλινδρομῆσαι, καὶ ποιήσασθαι δράμημα καὶ πορείαν παλίσσυτον καὶ ὀπισθόρμητον, πάτρας ἄπουρον, ἤγουν ἀπὸ τῶν ὅρων ἐλθόντα τῆς πατρίδος, ἢ ἔπουρον, ἤγουν ἐπουρίσαντα καὶ ὁρμήσαντα εἴτ' εἰς τὸν μέγαν θάλαμον καὶ οἶκον τῆς Ἀμφιτρίτης, ἤγουν τὸν ὠκεανὸν, εἴτ' εἰς τὸν Θρηϊκιον κλυδῶνα, τὸν ἀπό-

τιος. φησὶ δὲ καὶ Αἰσχύλος (Προμ. 733.)

ἐχθρόξενος ναύτῃσι μητρυιὰ νεῶν.

ἐάν τι γὰρ κακὸν ἀφῇ ἡ νὺξ ἐν τῷ τέλει, τοῦτ' ἐφ' ἡμέραν ἔρχεται. τὸν καὶ ὄντινα λοιμὸν φθίσον καὶ ἀφάνισον ὑπὸ τῷ σῷ κεραυνῷ, ὦ Ζεῦ ὁ νέμων καὶ ἄρχων καὶ διεξάγων ἐν κράτει καὶ ἐξουσίᾳ τῶν πυρφόρων καὶ καυστικῶν ἀστραπῶν.

203. Λύκει' ἄναξ] θέλοιμ' ἂν ἐνδατεῖσθαι καὶ ὁρμᾶσθαι κατὰ τοῦ λοιμοῦ ἀπὸ τῶν χρυσοστρόφων ἀγκυλῶν καὶ τόξων καὶ τὰ σὰ ἀδάμαστα καὶ αἰδια βέλη, προσταθέντα ἀρωγὰ, τουτέστι πρὸς αὐτὸν πεμφθέντα εἰς ἐμὴν βοήθειαν, καὶ τὰς πυρφόρους καὶ καυστικὰς αἴγλας τῆς Ἀρτέμιδος, ἤτοι τὰ βέλη, σὺν αἷς διαΐσσει καὶ διέρχεται τὰ ὄρη λύκεια, ἤγουν ἔνθα οἱ λύκοι διατρίβουσι. κυνηγετικὴ γὰρ ἡ θεός. καὶ κικλήσκω καὶ ἐπικαλοῦμαι τὸν Βάκχον καὶ Διόνυσον, τὸν ἐπώνυμον τῆσδε τῆς γῆς, τὸν εὔϊον, τὸν χρυσομίτραν καὶ τὸν χρυσῆν περικεφαλαίαν ἔχοντα, τὸν οἰνοπα καὶ τὸν κωμαστικὸν, τὸν μονόστολον, τὸν μόνον μετὰ τῶν Μαινάδων πορευόμενον, πελασθῆναι καὶ πλησιάσαι φλέγοντα καὶ καίοντα ἐν πεύκῃ καὶ ἐν λαμπάδι ἀγλαῶπι καὶ καυστικῇ, ἐπὶ τὸν θεὸν, ἤγουν τὸν λοιμὸν, τὸν ἀπότιμον ἐν θεοῖς, ἤγουν ὃν μόνον ἐκ θεῶν οὐδεὶς τῶν θεῶν, οὐδεὶς τῶν ἀνθρώπων ἐτίμησε. καλῶς δὲ εἶπε τὸ ἐπώνυμον, ἤτοι Θηβαῖον. ἐκ Θηβῶν γὰρ ὁ Διόνυσος. εἰκότως δὲ καὶ τὰ τῆς Ἀρτέμιδος τόξα αἴγλας καλεῖ. ἀλληγορεῖται γὰρ αὕτη πρὸς τὴν σελήνην. πυρφόρους δὲ, ἢ διὰ τὸ δίκην πυρὸς τοῖς δεχομένοις τὰ βέλη τυγχάνειν, ἢ διότι χρυσᾶ ἦν.

216. τὸ ἃ δ' αἰτεῖς πρὸς τὸ λάβοις συναπτέον, οὕτως· ἃ δ' αἰτεῖς λάβοις ἄν, ἀλκὴν καὶ ἀνακούφισιν τῶν κακῶν, εἰ τόδε καὶ τόδε ποιήσεις. τουτέστιν, ἡ σὴ ζήτησις, λέγω τὸ τὸν φονέα εὑρεθῆναι, τελεσθήσεται, εἰ ὅσα σοὶ λέγω ποιήσεις.

220. τοῦ πραχθέντος] οὐδέτερόν ἐστιν ἀντὶ τοῦ, τῆς πράξεως. τὸ δὲ οὐ γὰρ ἂν μακρὰν κατασκευή ἐστι πρὸς τὸ τἄμ' ἐὰν θέλῃς ἔπη κλύων δέχεσθαι, καὶ τὰ ἑξῆς. οὐκ ἀληθῶς δὲ τοῦτο λέγει, ἀλλ' ἵνα ἐντεῦθεν ἀπατᾷ τὸν ποιήσαντα καὶ ἀκούσαντα ὁμολογῆσαι τὴν πρᾶξιν.

222. εὕρηται καὶ τελῶ καὶ τελῶν. καὶ τὸ μὲν τελῶ διὰ μέσου

" ἥμην."

232. κέρδος τελῶ] ἤγουν πρὸς τῷ χάριν αὐτῷ ἔχειν με καὶ πλείστας ἕξει δωρεὰς τοῦ μηνύματος.

241. δέον εἰπεῖν, ὡς ὄντος μίασμα, πρὸς τὸ τοῦδ' ἐποίησε μιάσματος.

255. τὸ γάρ πρὸς τὸ οὐδέ συναπτέον, εἰ καὶ τὸ εἰ διὰ μέσου ἡ βία τοῦ μέτρου τεθῆναι ἠνάγκασεν.

261. τὸ ἐκείνῳ καὶ τὸ γένος πρὸς τὸ κοινῶν τε παίδων συναπτέον· τὸ δὲ κοίν' ἂν πρὸς τὸ ἦν ἂν ἐκπεφυκότα· τὸ δὲ εἰ πρὸς τὸ μὴ 'δυστύχησεν, οὕτως· ἔχων γένος παίδων κοινῶν ἐκείνῳ, κοινὰ ἂν ἦν τὰ τέκνα ἐκπεφυκότα ἐκείνου, εἰ μὴ ἐδυστύχησε καὶ ἀπέθανεν. ἀποροῦσι δ' ἐνταῦθα πῶς λέγει κοινά. εἰ γὰρ ἔζη ὁ Λάϊος, μόνος ἂν εἶχεν Ἰοκάστην καὶ οὐδεὶς ἂν αὐτῷ ἐκοινώνει τῆς τῶν τέκνων σποράς. καὶ φαμὲν ὡς τὸ μὲν ἀληθὲς οὕτως ἀπαιτεῖ· λέγει δὲ νῦν Οἰδίπους τὸ κοινά διὰ τὸ τὴν αὐτὴν ἐκείνῳ γυναῖκα ἔχειν. ἔστι δ' ὥσπερ παρακεκινδυνευμένον καὶ οὐ κατὰ τὴν πρέπουσαν ἀκολουθίαν. δέον δ' εἰπεῖν, κοινὰ γὰρ ἂν ἦν, ἀσυνδέτως εἶπε κοινὰ ἂν ἦν.

269. τινὲς μὴ δυνάμενοι τὸ θεοὺς συντάξαι θεοῖς γράφουσι πρὸς τὸ εὔχομαι. τὸ δέ ἐστι τοιοῦτον· καὶ τοῖς μὴ δρῶσι, ταῦθ' ἃ εἴρηκα, λέγω τὸ μήτ' εἰσδέχεσθαι, καὶ τὰ ἑξῆς, εὔχομαι μήτ' ἀνιέναι καὶ ἀναπέμπειν τοὺς θεοὺς αὐτοῖς γῆν τιν' ἀροτὸν καὶ ἠροτριασμένην, τουτέστι, μὴ εὐοδοῦν τοὺς θεοὺς τὰ σπέρματα αὐτοῖς. δέον δὲ οὕτως εἰπεῖν, μὴ ἀνιέναι τοὺς θεοὺς αὐτοῖς ἐκ γῆς ἠροτριασμένης σπέρματα, γῆν ἀροτὸν εἶπεν, ἐπειδήπερ ἡ ἠροτριασμένη γῆ δεχομένη τὰ σπέρματ' ἀνίησι· τὸ δὲ τινα διὰ τοῦτο εἶπεν, ἵνα δείξῃ ὡς οὐ μόνον ταύτην τὴν γῆν λέγει, ἀλλὰ καὶ πᾶσαν ἣν ἂν οἰκοῖεν.

279. τὸ τόδε οὐ πρὸς τὸ ζήτημα συναπτέον, ἀλλὰ πρὸς τὸ ὅστις, οὕτω· τοῦ δὲ πέμψαντος Φοίβου τὸ ζήτημα, τὸ περὶ τοῦ φόνου, ἦν εἰπεῖν τόδε, ὅστις ἄρα εἴργασται τὸν φόνον.

280. ἀλλ' ἀναγκάσαι] ὁ γὰρ Ἀπόλλων εἰ ἐβούλετο, αὐτίκ' ἂν ἐδήλου τὸν φονέα, καὶ οὐ ζητεῖν ἡμᾶς τοῦτον εἶα.

282. τὰ δεύτερ'] πρῶτον μὲν καὶ ἐξαίρετον ἦν ἐρωτᾶν Ἀπόλλωνα περὶ τῶν παρόντων· ἐπεὶ δὲ, ὡς αὐτὸς φῄς, οὐχ οἷόν τε, τὰ δεύτερα

ται· τὰ δὲ ἀδόμενα περὶ τοῦ θανάτου αὐτοῦ, ὅπως γέγονε, μάταια ἐστι καὶ ἀσύστατα. οἱ μὲν γάρ φασιν ὡς ὑφ' ὁδοιπόρων τέθνηκεν· οἱ δὲ ὡς ὑπὸ λῃστῶν· ὥστε, τούτων οὕτως ἐχόντων, δεῖ Τειρεσίου, ἵνα τἀληθὲς εἴπῃ.

294. δείματός γ' ἔχει μέρος] ἤγουν εἰ φοβεῖται καὶ ὑποπτεύει ὁ ἰδὼν, μὴ ὕστερον γνωσθήσεται. τὸ δὲ γε πρὸς τὸ εἶτι συναπτέον, οὕτω· ἀλλὰ μὴν καὶ εἴ γέ τι μέρος ἔχει δείματος, καὶ τὰ ἑξῆς.

296. πῶς ἄνω εἰπὼν ὁ Οἰδίπους, τὸν δ' ἰδόντ' οὐδεὶς ὁρᾷ, νῦν φησὶν, ᾧ μή 'στι δρῶντι τάρβος; καὶ φαμὲν ὡς τὸν ἰδόντα οὐ θεατὴν μόνον, ἀλλὰ καὶ συμπράκτορα νοεῖ.

298. θεῖον καλεῖ τὸν Τειρεσίαν ὡς τἀφανῆ γιγνώσκοντα, ὅπερ ἐστὶ θεῶν.

300. τὸ μὲν διδακτά πρὸς τὸ χθονοστιβῆ ἔχει τὴν δύναμιν· τὰ γὰρ γήϊνα (τοῦτο γάρ ἐστι τὸ χθονοστιβῆ) γνώσει καὶ διδαχῇ ὑποπίπτει· τὸ δ' ἄρρητα πρὸς τὸ οὐράνια. οὐδεὶς γὰρ οἶδε τὰ ἐν οὐρανῷ, πλὴν τῶν ἐν αὐτῷ κατοικούντων θεῶν, καὶ ὅσοι τῶν ἀνθρώπων ἐκ τούτων ἐπιπνεόμενοι μαντεύονται. ἔστι δὲ τὸ σχῆμα χιαστόν.

316. ἔνθα μὴ τέλη] ἤγουν ἔνθα τὸ φρονεῖν μὴ λυσιτελεῖ. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν φόροις ὑποκειμένων, οὓς εἴ τις τῶν φορείων ἐξέλοι, λυσιτελεῖ. λέγει δὲ τοῦτο ὁ Τειρεσίας δι' ἑαυτὸν σχετλιάζων ὡς ἀναγκαζόμενος ὑπὸ τοῦ Οἰδίποδος λέγειν τὸν αἴτιον τοῦ λοιμοῦ. δέδιε γὰρ μή τι κακὸν παρ' αὐτοῦ τοῦ Οἰδίποδος λάβῃ, ἐλέγχων αὐτὸν ὡς αἴτιον.

324. οὕτως ἔδει εἰπεῖν, νῦν σιωπῶ, ἵνα μὴ δόξω καὶ αὐτὸς ἄκαιρος· ὁρῶ γὰρ καὶ τὸ σὸν φώνημα οὐδέ σοι ἐρχόμενον πρὸς καιρόν. νῦν δὲ προϋπέθηκε τὴν κατασκευὴν, ἐφ' ᾗς νοεῖται ἔξωθεν τὸ, ναὶ σιωπῶ, ὅπερ ἔχει τὴν δύναμιν πρὸς τὸ ὡς οὖν μηδ' ἐγὼ ταυτὸν πάθω. τὸ δὲ σοί εἰς τὸ πρὸς καιρὸν συναπτέον.

329. μὴ τὰ σ' ἐκφήνω κακά] ἤγουν φανερώσω. λάμβανε δὲ καὶ πρὸς τὸ τἀμά τὸ ἐκφήνω κατὰ συνεκδοχήν, πλὴν ἐκεῖ μὲν χωρὶς τοῦ κακά ἐρεῖς, οὕτως· ἐγὼ δ' ὡς ἂν εἴπω, οὐ μή ποτ' ἐκφήνω τὰ ἐμὰ, ἤγουν οὔποτε ὃ νοῶ περὶ τῶν παρόντων εἴπω, μή πως ἐκφήνω τὰ σὰ κακὰ, ἤγουν τὴν σὴν ἀνομίαν.

θήσῃ, τῶν παρόντων ἀποφανεὶς αἴτιος.

334. σύναπτε τὸ οὐκ πρὸς τὸ ἐξερεῖς. τὸ δ' ὀργάνειας φύσιν πέτρου ἀντὶ τοῦ, κινήσειας οὐ μόνον ἐμὲ, ἀλλὰ καὶ πέτραν, εἰς ὀργήν. λέγει δὲ τοῦτο, ἐπειδὴ εἶπεν αὐτὸν κάκιστον. τὸ δὲ ἀτελεύτητος ἀντὶ τοῦ μὴ τέλος τοῖς ζητουμένοις διδούς.

337. ὀργὴν ἐμέμψω] ἢ ἣν ἔχω πρὸς τὰ παρόντα, μὴ βουλόμενος λέγειν ὅθεν παύσονται, ἢ εἰς ἣν ἐγὼ ἄλλους κινῶ, ὃ καὶ κρεῖττον· διὸ καὶ ἐπάγει· οὐκ οἶδας τὴν συνναίουσάν σοι ὀργὴν, ᾗ χρησάμενος εἶπας ἐμοὶ, κακῶν κάκιστε.

340. μὴ λάβῃς εἰς τὸ ἅ ἔξωθεν τὴν διά, ἀλλ' ὥσπερ φαμὲν, ὑβρίζω σε ὕβριν, οὕτω καὶ ἀτιμάζω σε τόδε.

345. ὡς ὀργῆς ἔχω] ἤγουν ὡς δυνατὸς ὀργίζεσθαι, οὐδὲν ἐκείνων παρήσω, ἅπερ ξυμβάλλω ἱκανὰ εἶναι πρὸς κόλασίν σοι.

350. ἀληθὲς] τοῦτο οὕτως εἴποις· ἀληθές ἐστιν ὃ λέγεις, ὅτ' ἔφης ἂν εἶναι τὸ ἔργον ἐμοῦ. εἶτα συνδεδεμένως τὸν ἐξῆς λόγον ὀφείλων ἐκφέρειν, ὁ δὲ ἀσυνδέτως ἐπήγαγε λέγων· ἐννέπω καὶ λέγω ἐμμένειν καὶ ὑπάρχειν σὲ τῷ κηρύγματι καὶ τῷ ὀνείδει τῷ τοῦ φόνου, ᾧπερ καὶ ᾧτινι προσεῖπας ἐμμένειν, δηλονότι ἐμέ. ἤγουν λέγω ὅτι σὺ ὑπάρχεις ὁ φονεὺς, οὐκ ἐγὼ, ὡς σὺ εἶπες, καὶ ἀπὸ τῆς νῦν ἡμέρας λέγω μήτε τούσδε τοὺς παρεστῶτας προσαυδᾶν καὶ προσφωνεῖν καὶ ὁμιλεῖν σοι, ὡς ὄντι καὶ ὑπάρχοντι μιάστορι ἀνοσίῳ τῆσδε τῆς γῆς, ἤγουν ὡς μιάναντι ἀνοσίως τήνδε τὴν γῆν.

355. καὶ ποῦ] ἤγουν ποῦ φυγὼν οὐχ ἕνεκα τούτου δώσεις ἐμοὶ δίκην;

361. οὐχ ὥστε γ' εἰπεῖν] ἤγουν οὐ προτρέπω σε ὥστ' εἰπεῖν ὅπερ λέγεις γνωστὸν καὶ νοούμενον, ἤγουν ἵνα τοῦτο σαφέστερον εἴπῃς, ὥστε νοηθῆναι, ἐπεὶ πάλαι τοῦτο νενόηκα· ἀλλ' ὥστ' αὖθις καὶ πάλιν φράσαι. οὕτω δ' ὀφείλων εἰπεῖν κατὰ ἀκολουθίαν τοῦ λόγου, ὁ δὲ ἑτέρως τὴν σύνταξιν ἔτρεψεν, ἀλλ' αὖθις φράσον εἰπών.

362. δέον εἰπεῖν, ὃν ζητεῖς, πρὸς τὸ ἀνδρὸς ἐπήνεγκεν οὗ ζητεῖς.

364. ἢ τὸ δῆτα ἐρωτηματικόν ἐστι διὰ μέσου τεθὲν, οὕτω· τί δῆτα εἶπω καὶ ἄλλο, ἵνα ὀργίζῃ πλέον; ἢ τὸ μὲν δῆτα ἀργὸν, τὸ δὲ

εἰ γὰρ ἦν οὕτω, τὸ ὅσων μέγα ἐγράφετ' ἄν.

370. δέον εἰπεῖν σοῦ πρὸς τὸ πλήν, πρὸς τὴν ὄπισθεν ἔξωθεν νοουμένην εἰς τὸ ἐστί δοτικὴν ἐπήνεγκε τὸ σοι.

374. μιᾶς τρέφῃ πρὸς νυκτὸς] τοῦτο λέγει, ὅτι ἡ τύφλωσις σώζει σὲ, καὶ οὐδεὶς βούλεται βλάψαι σὲ, κατοικτίζων τοῦ πάθους. καλεῖ δὲ τὴν τύφλωσιν νύκτα, διὰ τὸ σκοτεινόν· μιᾶς δὲ λέγει, διὰ τὴν συνέχειαν, καὶ τὸ ἀεὶ ὡσαύτως ἔχειν, καὶ μηδέποτε λήγειν. ἢ οὕτως, ἡ κατέχουσα τύφλωσις ἀρκεῖ σοι πρὸς τιμωρίαν, ὡς μηδ' ἂν ἄλλης δεῖσθαι κολάσεως. κρεῖττον δὲ τὸ πρῶτον.

380. καὶ τέχνη τέχνης] ἤγουν φρόνησις καὶ σοφία κρείττων οὖσα τῆς τῶν ἄλλων φρονήσεως· λέγει δὲ τὴν αὐτοῦ. οὐδεὶς γάρ πω τῶν τόθ' Ἑλλήνων οὕτω τεθαύμασται, ὥσπερ αὐτὸς τὰ Σφιγγὸς εὑρὼν αἰνίγματα.

388. ἀγύρτην] ἤγουν τὸν περὶ τὰς ἀγυιὰς βαίνοντα, ἤγουν χυδαῖον, ἵν' οὕτως εἴπω, καὶ τῆς φαυλοτάτης τυγχάνοντα μοίρας, ὃν πᾶς τις ἄγει καὶ φέρει ῥᾷον διὰ τὸ τῆς τύχης ταπεινόν.

395. ἦν οὔτ' ἀπ' οἰωνῶν] ἤγουν πρὶν ἐμὲ ἀφῖχθαι, ἐδείχθης οὐ γινώσκων τινὰ μαντείαν, οὔτ' ἀπὸ ὀρνέων, οὔτ' ἀπὸ θεῶν τινός. οὕτω τὸ ἔχων γνωτὸν τινὰ μαντείαν νόει.

397. ὁ μηδὲν εἰδὼς] τοῦτο ἢ ταπεινοφρονῶν Οἰδίπους λέγει, ἢ ὁ μηδὲν εἰδὼς, ἀντὶ τοῦ, ὁ μηδὲν πώποτε περὶ τῶν τῆς Σφιγγὸς αἰνιγμάτων ἀκούσας, ἢ ὁ μηδὲν εἰδὼς περὶ τῶν μελλόντων, καθὰ σύ γε κομπάζεις τῇ μαντικῇ.

402. ἀγηλατήσειν] ἤγουν ὡς ἄγος ἐξελαθήσεσθαι τῆς πόλεως παρ' ἐμοῦ, ἢ ἀντὶ τοῦ ἄρξειν νόει. ἀγηλατῶ γὰρ, τὸ ἄγω καὶ φέρω καὶ ἐξουσιάζω λαόν· ὅπερ εἰ εἶπος, κατ' εἰρωνείαν καὶ γέλωτα ἔσται ὁ λόγος, οὕτω· δοκεῖς μοι καὶ σὺ καὶ ὁ συνθεὶς ταῦτα Κρέων κλαίων ἀγηλατήσειν καὶ δεσπόσειν τῆς χώρας· ἤγουν ἧς ἐπιθυμεῖτε ἀρχῆς, πολλῶν πληγῶν ἂν αἰτία ὑμῖν ἐξ ἐμοῦ γένοιτο. κρεῖττον δέ ἐστι τὸ ἀγηλατήσειν, ἀντὶ τοῦ ὡς ἄγος ἐλαθῆναι, διὰ τὸ ἐπιφερόμενον.

418. ἰστέον ὅτι τὸ ποτέ εἶπε διὰ τὴν ἐξ ἀρχῆς Οἰδίποδος ἀπέλασιν παρὰ Λαΐου καὶ Ἰοκάστης, ὅτε γεννηθέντα αὐτὸν εἰς Κιθαιρῶνα ἐξέθηκαν πρὸς ἀπώλειαν· τὸ δ' ἐλᾷ, ἐπειδὴ τῶν γονέων ἐκείνου καὶ

πέμψῃ. τὸ δὲ ποῖος οὐκ ἔσται λιμὴν καὶ ποῖος Κιθαιρὼν τοῦτο βούλεται, ὅτι εἰ τῆς παρανομίας τῆς σῆς αἴσθησιν λάβοις, οὐδεὶς τόπος ἔσται ἀνήκοος τοῦ κατὰ σὲ δράματος. σύμφωνος γὰρ καὶ ὁ Κιθαιρὼν καὶ συνᾴδων τῷ ἡμετέρῳ λόγῳ. ἃ γὰρ ἐγὼ νῦν περὶ σοῦ λέγω, ταῦτα οὗτος βεβαιώσει, ἐπειδὰν ἀποφανῇ, ὡς κατ' ἀρχὰς ὑπὸ τῶν γονέων εἰς αὐτὸν ἐξετέθης.

423. ἄνορμον] ἤγουν κακολιμένιστον, εἰς ὃν οὐδεὶς ὥρμισεν. οὐδεὶς γὰρ τῇ μητρὶ συνῆλθεν ἢ σύ.

425. ἃ σ' ἐξισώσει] τοῦτο λέγει, ὅτι ἡ τῆς ἀνομίας τῆς σῆς αἴσθησις σὲ ὁμοιώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις. σοὶ μὲν, ὅτι υἱὸς ὢν Ἰοκάστης τῇ ἀληθείᾳ, ἀνὴρ αὐτῆς ἀνίσως καὶ παρανόμως γέγονας. αὕτη οὖν σε ἡ ἀνισότης εἰς ἰσότητα τότε ἄξει· καὶ ὥσπερ τῇ ἀληθείᾳ υἱὸς τυγχάνεις, οὕτω καὶ τότε τοῖς πᾶσιν ἐπιδειχθήσῃ· τοῖς δὲ τέκνοις, ὅτι τούτων ὢν νῦν δοκεῖς πατὴρ, ἀδελφὸς ὢν φανήσῃ ἐξ ἧς αὐτὰ ἐγέννησας, ἐξ αὐτῆς καὶ αὐτὸς γεννηθείς.

438. ἥδ' ἡμέρα] ἤγουν ἐν τῇδε τῇ ἡμέρᾳ καὶ ἀποφανῇ Ἰοκάστης ὢν, καὶ ἀπολέσεις τοὺς ὀφθαλμοὺς, καὶ τἄλλα πείσῃ.

422. αὕτη γε] ἤγουν αὕτη ἡ εὐδοκίμησις, ἤγουν τὸ τὰ αἰνίγματα σαφηνίζειν διολέσει σέ. εἰ γὰρ μὴ τὰ τῆς Σφιγγὸς εὗρες αἰνίγματα, οὐκ ἂν εἰς τόδε τύχης ἀφίκου.

443. τὸ ἐξέσωσα διπλῶς νοητέον. εἰ ἐξέσωσα τὴν πόλιν ἀπὸ τῆς Σφιγγὸς, οὗ μοι μέλει τῆς ἐμῆς σωτηρίας. ἢ εἰ ἐξέσωσα τὴν πόλιν ἀπὸ τοῦ νῦν ἐπικειμένου λοιμοῦ, οὗ μοι φροντὶς, εἰ αὐτὸς ἀπολοίμην.

445. ὡς παρὼν τά γ' ἐμποδὼν] τοῦτο οὕτω λέγε, ὅτι ὀχλεῖς ἡμῖν τὰ ὑπάρχοντα ἐμποδὼν καὶ ἐμπόδιον, τουτέστι παρὼν εἰς ὄχλον καὶ ταραχὴν εἰσάγεις ἡμᾶς, καὶ ἐμποδίζεις τὸ προκείμενον ζήτημα. εὕρηται δὲ καὶ σύ γ' ἐμποδών.

460. ἰὼν εἴσω] τοῦτο διπλῶς νοητέον. ἢ ἐλθὼν εἴσω τοῦ οἴκου, καὶ καθ' ἡσυχίαν γενόμενος· ἢ ἰὼν εἴσω, ἀντὶ τοῦ εἰς αὐτὸν γεγονὼς, καὶ συνάξας τὸν νοῦν.

464. ἐπειδήπερ ὁ Παρνασὸς ἐν Δελφοῖς, ἐν δὲ τούτῳ τὸ τοῦ Ἀπόλλωνός ἐστι μαντεῖον, διὰ τοῦτο Δελφὶς πέτρα λέγει, ἀντὶ τοῦ, ὁ Ἀπόλλων ἐν Παρνασῷ οἰκῶν. ἰστέον δὲ ὅτι ὡς ὁ χορὸς πρὸς τοὺς

472. ἀναπλάκητοι] οὕτω χρὴ γράφειν, ἵν' ᾖ τὸ μέτρον ἁρμόζον τῷ τῆς ἀντιστροφῆς κώλῳ. εὕρηται γὰρ ἔν τινι τῶν παλαιῶν οὕτω βιβλίων. δεινὰς δὲ Κῆρας λέγει τὰ δύο ἀνομήματα, ἃ Τειρεσίας ἔφη κατ' Οἰδίποδος· λέγω δὴ τὴν τῆς μητρὸς συνέλευσιν καὶ τὸν τοῦ πατρὸς φόνον. τὸ δὲ ἅμ' ἕπονται ἀντὶ τοῦ σὺν Ἀπόλλωνι ἔρχονται, οὐχ ὅτι ὁ Ἀπόλλων οὕτως ἐθέσπισεν· ἐκεῖνος γὰρ ἐξελεῖν τὸ μίασμα μόνον τῆς χώρας εἶπεν· ἀλλὰ διὰ τοῦτο ἅμα αὐτῷ ταύτας ἕπεσθαι λέγει, διὰ τὸ Τειρεσίαν ταύτας ἐκφῆναι ἐπὶ τῇ τοῦ Ἀπόλλωνος μαντείᾳ.

485. οὔτε δοκοῦντ'] οὔτ' ἀρέσκοντά μοι, οὔτ' ἀποφάσκοντα, καὶ ἀπόφασιν καὶ ἀπιστίαν δεχόμενα. ἤγουν μὴ οἷά τε ἀπιστεῖσθαι, διὰ τὸ μάντιν εἶναι τὸν εἰπόντα.

489. ἀπορήσειεν ἄν τις, διὰ τί οἱ δύο διαζευκτικοὶ σύνδεσμοι, τὸ ἢ Λαβδακίδαις καὶ τὸ ἢ τῷ Πολύβου, κεῖνται, δέον οὕτως εἰπεῖν, τί γὰρ Λαβδακίδαις καὶ τῷ Πολύβου νεῖκος ἔκειτο. καὶ φαμὲν ὅτι τοῦτο δύνανται οὗτοι οἱ σύνδεσμοι δηλοῦν, ὡς οὔτε τῷ Λαΐῳ διαφορά τις ἦν ἀπὸ τοῦ Οἰδίποδος οὔτε τῷ Οἰδίποδι ἀπὸ τοῦ Λαΐου.

496. ἰστέον ὅτι διότι μὲν τὸ ἐπίκουρος δοτικῇ συντάσσεται, τὸ μὲν Λαβδακίδαις πρὸς τὸ ἐπίκουρος εἶπεν· ἡ δὲ γενικὴ, τὸ ἀδήλων θανάτων, πρὸς τὸ ὄνομ' ἐστὶ τὸ ἐπίκουρος. ἐπίκουρος γὰρ τῷ δεῖνι τῶν κακῶν φαμέν.

507. περισσὸν ἦν ἐνταῦθα τὸ ἐπ' αὐτῷ, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. οὐ γὰρ ἦν ἴσον τὸ κῶλον πρὸς τὸ τῆς στροφῆς.

516. πρός γ' ἐμοῦ] εὕρηται πρός τ' ἐμοῦ, ὅπερ οὐκ ἔστιν ἕτερον ἀλλ' ἢ, πρὸς ἐμοῦ τι. ὥσπερ γὰρ φαμὲν, τῶν τις ἀνθρώπων, τὸ τις διὰ μέσου τιθέντες, οὕτω καὶ τοῦτο. ὅτι δ' ἐστί τι, καὶ οὐ σύνδεσμος τε, ὥς φασί τινες, μαρτυρεῖ τὸ φέρον.

526. τοὺς λόγους] οὓς περὶ τῶν παρόντων λέγει. ὡς γὰρ ὁ Οἰδίπους ἔφη, οἱ τοῦ Τειρεσίου λόγοι, οὓς κατ' αὐτοῦ ἔφη, πρὸς ψεῦδος συντέθεινται, καὶ οὐκ ἐν ἀληθείᾳ λελεγμένοι εἰσίν.

528. ἐξ ὀμμάτων] ἤγουν ἀπὸ ἀνθρώπου σώφρονος καὶ ὑγιεῖς φρένας ἔχοντος· ἢ ἀπ' ἀκριβοῦς συνειδήσεως καὶ καθεστηκυίας γνώμης. εἰκότως δ' εἶπε τὸ ἐξ ὀμμάτων ὀρθῶν. οἱ γὰρ σώφρονες καθεστηκὸς ἔχουσι τὸ ὄμμα, οἱ δὲ μαινόμενοι παρατετραμμένον.

νος. ἀμφότερα οὖν ταὐτ' ἔχεται λόγου, καὶ οὐδὲν κωλύει τὸ δεύτερον μὴ εἶναι ἄριστον, εἰ καὶ νῦν ὁ χορός φησιν, αὐτὸς δ' ὅδ' ἤδη δωμάτων ἔξω περᾷ. ὁ γὰρ ἡσυχίας δεόμενος ἐντὸς οἴκου ἢ εἰς ἐρημίαν χωρεῖ· ὥστε οἱ πειρασόμενοι ἡμᾶς αἰτιᾶσθαι σφᾶς αὐτοὺς εἰς αἰτίαν ἐμβαλοῦσιν, οὐκ εἰδότες ὡς δεῖ τὰ πράγματα λογίζεσθαι.

545. μανθάνειν δ' ἐγὼ κακὸς] ἤγουν κακὸν ἡγοῦμαι τὸ ἀπὸ σοῦ τι μανθάνειν. μὴ λάβῃς δὲ εἰς τὸ σοῦ ἔξωθεν τὸ ἀπό, εἰ καὶ ἡμεῖς ἐν τῇ συντάξει, χάριν σαφηνείας, εἰρήκαμεν. ὥσπερ γάρ φαμεν, κακοῦ ἀνδρὸς ἡγοῦμαι τοῦτο, καὶ πάλιν, βαρβάρου τὴν ὕβριν γινώσκω, οὕτω καὶ, μανθάνω σοῦ τόδε.

561. εἰκότως εἶπε τὸ παλαιοί πρὸς τὸ μακροί. οἱ γὰρ μακροὶ χρόνοι καὶ παλαιοί εἰσιν.

570. τόσον] ἀλλὰ τοσοῦτον γοῦν οἶσθα, καὶ λέγοις ἂν αὐτὸ, εἰ καλῶς φρονεῖς. ἢ, εἰ καὶ ἐκεῖνο μὴ οἶδας, ἀλλὰ τὸ σόν γινώσκεις, εἰ καλῶς φρονεῖς.

572. τὸ τάς πρὸς τὸ διαφθοράς τινὲς συνάπτουσιν, οὕτως· οὐκ ἄν ποτε εἶπε τὰς διαφθορὰς τοῦ Λαΐου ἐμάς. σὺ δ' ἐκείνους ἐάσας, τὸ τάς πρὸς τὸ ἐμάς, ὥσπερ συντέθειται, σύναπτε, οὕτως· οὐκ ἄν ποτ' εἶπε τὰς ἐμὰς ὡς αὐτὸς οἴεται διαφθορὰς τοῦ Λαΐου. πρὸς γὰρ τὴν ἐκείνου ὑπόληψιν τὰς ἐμάς ὡρισμένως εἶπε, καὶ οὐ πρὸς τὴν οἰκείαν. εὑρήσεις δ' ὅμοιον καὶ προϊών, ὅταν λέγῃ, (656.) Τὸν ἐναγῆ φίλον ποτὲ ἐν αἰτίᾳ σὺν ἀφανεῖ λόγῳ. ἐκεῖ γὰρ τὸ ἐναγῆ πρὸς τὴν τοῦ Οἰδίποδος ὑπόληψιν κεῖται. τὸ δὲ πᾶν· εἰ μὴ μετὰ σοῦ ἐβουλεύσατο, οὐκ ἄν ποτέ με φονέα Λαΐου εἶπεν.

574. εἰ μὲν φονέα σὲ τοῦ Λαΐου ἐκεῖνός φησιν, αὐτὸς οἶσθα· ἐγὼ δὲ παρὰ σοῦ βουλοίμην ἂν μαθεῖν, ὥσπερ καὶ σὺ παρ' ἐμοῦ νῦν.

577. γαμεῖ τις ἀμεταβάτως, ἀντὶ τοῦ, γάμον ἔχει, τουτέστι, συνημμένος ἐστὶ γυναικὶ, ὡς ἐν τῷ· (Μητροδώρου Anthol. Pal. 9, 360.) "οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον." καὶ γαμεῖ τις τήνδε μεταβατικῶς, ἀντὶ τοῦ εἰς γάμον λαμβάνει, ἢ λαβὼν ἔχει, καθ' ὃ λέγεται ἐνταῦθα τὸ γήμας ἔχεις.

580. μὴ λάβῃς εἰς τὸ ἐμοῦ ἔξωθεν τὸ ἀπό, ἀλλ' ὅπερ ἄνω ἔφαμεν λόγον εἰς τὸ μανθάνειν δ' ἐγὼ κακὸς σοῦ, ὁ αὐτός ἐστι κἀν-

ἤγουν σκέψιν καὶ διαγνωστικὴν κρίσιν, ὡς ἐγὼ, δηλονότι ἐμαυτῷ δίδωμι. ἤγουν σκέψαι, ὡς ἐγὼ σκέπτομαι.

584. σκέψαι δὲ] λόγισαι δὲ καὶ τοῦτο πρῶτον, εἰ νομίζεις τινὰ, εἰ τὰ αὐτὰ ἕξει κράτη, προκρῖναι ἂν μᾶλλον ἄρχειν σὺν φόβῳ, ἢ ἄρχειν δηλονότι ὑπνώττοντα ἀφόβως. τὸ ἄν πρὸς τὸ ἐλέσθαι συναπτέον, καὶ οὐ πρὸς τὸ δοκεῖς, ὥς τινές φασι, δοκῇς γράφοντες διὰ τοῦ η.

586. εἰκότως εἶπε τὸ εὕδοντα, καὶ οὐ διαλέγοντα. ὁ γὰρ ἀμέριμνος ζῶν πρὸς ὕπνον ἐγείρεται. τὸ δὲ εἰ τά γ' αὖθ' ἕξει κράτη πρὸς τὸ φόβοισι συναπτέον· τὸ δὲ ἢ ἄτρεστον εὕδοντα διὰ μέσου.

591. ἄκων ἕδρων] τοῦτο λέγει, ἐπειδὴ ἡ ἀρχὴ καὶ παρὰ τὸ δίκαιον τοὺς αὐτὴν ἔχοντας ἀναγκάζει πολιτεύεσθαι.

592. ἡ σύνταξις· πῶς οὖν ἡ τυραννὶς καὶ ἡ βασιλεία ἔφυ καὶ ὑπάρχει ἔχειν ἐμοὶ ἡδίων καὶ ἡδυτέρα ἀρχῆς καὶ δυναστείας ἀλύπου, ἐφ' ἧς νῦν εἰμί;

595. ὥστ' ἄλλα χρῄζειν] ἡ γὰρ ἀρχὴ καλὸν μέν ἐστιν, ἀλλὰ παρακεκινδυνευμένον καὶ ὕποπτον· ἡ δ' ἐμὴ, καλὸν περισπούδαστον. ἰστέον δὲ ὅτι τὸ χρῄζω οὐ μόνον γενικῇ, ἀλλὰ καὶ αἰτιατικῇ συντάσσεται. καὶ ὅτε μὲν γενικῇ συντάσσεται, φυσικὴν ἔχει τὴν σύνταξιν· χρῄζω γὰρ, τὸ χρείαν τινὸς ἔχω· ὅτε δὲ αἰτιατικῇ, πρὸς τὸ σημαινόμενον. οὗ γάρ τις ἔχει χρείαν, θέλων αὐτὸ ἔχει χρείαν.

596. πᾶσι χαίρω] ἀντὶ τοῦ πᾶσιν ἀνθρώποις πληροφοροῦμαι καὶ θαρρῶ, καὶ εἰς οὐδένα ὑποψίαν ἔχω· ὁ τυραννίδος ἔξω καθέστηκεν. ἐκείνη γὰρ καὶ συγγενέσι αὐτοῖς καὶ φίλοις ἀπιστεῖ. ἢ τὸ πᾶσι χαίρω ἀντὶ τοῦ πᾶσι πράγμασιν ἥδομαι, καὶ οὐδεμία φροντὶς καὶ μέριμνα περὶ οὐδενός ἐστί μοι, ἀμβλεῖαν ποιοῦσα ἡδονήν.

598. ἡ σύνταξις· ἔνι γὰρ καὶ ὑπάρχει αὐτοῖς ἅπανθ' ἃ βούλονται ἐνταῦθα, ἤγουν ἐν ἐμοὶ, τὸ τυχεῖν τούτων. τουτέστι, λογίζονται δι' ἐμοῦ ἁπάντων, ὧν χρῄζουσι καὶ δέονταί σου, τεύξεσθαι, δέον δ' εἰπεῖν οὕτως, τὸ γὰρ τυχεῖν ἁπάντων ἐνταῦθ' αὐτοῖς ἔνι, ὁ δὲ ἅπαντα εἶπε πρὸς τὸ ἔνι· τὸ δὲ τυχεῖν ἔξωθεν συντάσσει, τὸ τυχεῖν τούτων δηλονότι.

603. ἡ σύνταξις· καὶ τοῦτο μὲν ἰὼν καὶ ἐλθὼν Πυθῶδε καὶ εἰς

ἔξωθεν τὸ εἰς. ἀλλ' ὥσπερ φαμὲν, μανθάνω τὸν διδάσκαλον περὶ ἐμὲ εὔνουν, οὕτω καὶ τοῦτο, μάνθανε τὰ χρησθέντα ἔλεγχον τῶνδε.

605. ἐὰν εὕρῃς με κοινῇ τι βουλευσάμενον περὶ τούτου Τειρεσίᾳ τῷ τερασκόπῳ καὶ τῷ τὰ τέρατα καὶ σημεῖα τῆς μαντείας σκοποῦντι καὶ σαφηνίζοντι, κόλασόν με.

607. τῇ τ' ἐμῇ καὶ σῇ] τοῦτο λέγει, καὶ τῇ ἐμοὶ προσηκούσῃ, ἤγουν ἣν ἄξιός εἰμι παθεῖν, κακὸς φανείς· καὶ τῇ σοι προσηκούσῃ, ἤγουν ἣν ἄξιον βασιλέα ποιεῖσθαι κατὰ τῶν ἐπιβεβουλευκότων αὐτῷ· ἣ ἣν καὶ ἐγὼ κατ' ἐμαυτοῦ, καὶ αὐτὸς ψηφίσαιο κατ' ἐμοῦ.

616. εὐλαβουμένῳ πεσεῖν] ἤγουν φοβουμένῳ σοι πεσεῖν τῆς ἀρχῆς καλῶς ἔλεξε Κρέων, ὡς οὐκ ἐκ τοῦ εὐθέως δίκαιον καταψηφίζεσθαι, οὓς ἂν κατὰ σοῦ ὑπονοήσῃς, ἀλλὰ πρῶτον ἐξετάζειν παντὶ τρόπῳ περὶ αὐτῶν, καὶ καταδίκους αὐτοὺς εὑρόντα, τότε κολάζειν. οἱ γὰρ ταχεῖς φρονεῖν, ἤγουν οἱ ταχέως καὶ μὴ μετὰ σκέψεως ποιοῦντές τι, οὐκ ἀσφαλεῖς, ἀλλ' ἀβέβαιοι, καὶ πρὸς κίνδυνον ἔσθ' ὅτε πίπτουσιν. ἰστέον δὲ ὅτι ἡ μερικὸν τὸ εὐλαβουμένῳ νοεῖ διὰ τὸν Οἰδίποδα, ἢ καθόλου διὰ πάντα φοβούμενον.

622. τὸ ἦ, εἰ μὲν καθ' ὑποστιγμὴν ἐρεῖς τὸ ἐξῆς, ἀντὶ τοῦ ὄντως ἄρα νοήσεις· εἰ δὲ κατὰ ἀποφαντικὴν ἐρώτησιν τὸ ἐξῆς εἴποις, ἀντὶ τοῦ διαζευκτικοῦ συνδέσμου νοήσεις, στίζων καὶ ἐν ἀμφοτέροις εἰς τὸ χρῄζεις. ἰστέον δὲ ὅτι ποτὲ μὲν καθ' ὑποστιγμὴν τὴν ἐρώτησιν ποιούμεθα, ὡς τὸ, (Αἴ. 75.)

οὐ σῖγ' ἀνέξῃ, μηδὲ δειλίαν ἀρεῖς;

καὶ τὸ, (Αἴ. 81.)

μεμηνότ' ἄνδρα περιφανῶς ἀκνεῖς ἰδεῖν;

ποτὲ δὲ κατ' ἀπόφασιν, ὡς τὸ, (Αἴ. 107.)

πρὶν ἄν τι δράσῃς, ἤ τι κερδανεῖς πλέον;

628. ἤγουν ἐγὼ μὲν οὐ κακός εἰμι· εἰ δὲ ξυνίης μηδὲν, ἤγουν εἰ ψευδῶς τοῦτο νοεῖς, τί λοιπόν; πρὸς ὃ ὁ Οἰδίπους ἀποκρίνεται, ἀρκτέον γ' ὅμως, καὶ εἰ οὕτως ἔχεις. τουτέστι, καὶ εἰ οὕτως ἔχεις, ὅμως ἀρκτέον καὶ κυριευτέον ἐμοὶ σοῦ· πρὸς ὃ πάλιν ὁ Κρέων, οὔτοι κακῶς ἄρξεις, ἐμοῦ ἄρχοντος, ὥσπερ καὶ σὺ, ὅπερ ἀπιθὲς δοκοῦν εἰς θυμὸν ἐξάγει Οἰδίποδα.

μεγάλα δυναμένων, ὥστε οὐχ ἧττον ἐμοὶ ἢ σοὶ ὑπακούσεται.

641. ψεύδεται Κρέων ἐνταῦθα. Οἰδίπους γὰρ ἄνω εἶπεν ἀποκτεῖναι αὐτὸν καὶ οὐκ ἐξελάσαι τῆς χώρας.

647. τόνδ' ὅρκον] ἤγουν ὃν αὐτὸς ὤμοσε. λέγει δὲ τοῦτο, διότι πρόσθεν εἶπε τὸ μὴ νῦν ὀναίμην, καὶ τὸ ἀραῖος ὀλοίμην.

660. πάντων θεῶν πρόμαχον λέγει τὸν Ἥλιον, ὥσπερ ἰόντα τὸν οὐρανὸν, ἔνθ' οὗτοί εἰσι, καὶ ὥσπερ φύλακος τάξιν ἔχοντα· εἰ δὲ τὸ πρῶτον τὸ θεὸν μικρογραφήσεις, ὥσπερ τὸ δεύτερον, ἐκ παραλλήλου εἴποις ἄν, καὶ τὸ πάντων ἀντὶ τοῦ ἀνθρώπων νοήσεις. ὀμνύει δ' ὁ χορὸς τὸν Ἥλιον ὡς ἔφορον πάντων τῶν ἀνθρωπίνων καὶ τῶν κρυπτῶν γνωστὴν καὶ ἐκφάντορα. ἄθεος, ἄφιλος] ἤγουν πρότερον ὑπὸ τῶν θεῶν τιμωρηθεὶς, καὶ ὑπὸ τῶν φίλων μισηθεὶς λίαν. τοῦτο γάρ ἐστι τὸ, ὅτι ὕστερον ἀπολοίμην· ἢ τὸ ἄθεος, ἄφιλος ἀντὶ τοῦ, ἀσεβὴς, καὶ μὴ περὶ τοὺς φίλους εὐγνώμων.

668. τὰ πρὸς σφῷν] τὰ παρ' ὑμῶν. ἤγουν ἵνα μὴ κορυφωθείη ἡ τῆς πόλεως δυστυχία, τὰ ὑμέτερα προσλαβοῦσα κακὰ, προνοούμενος ἐγὼ τὴν ἱκετείαν ταύτην ἀνήνεγκά σοι. γράφειν δὲ χρὴ κακὰ προσψαύσει, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς.

673. στυγνὸς μὲν] ἤγουν σκυθρωπός τις τυγχάνεις, εἴκων καὶ ὑποτασσόμενός τινι, ὅταν δεήσηταί σου ἣν ἔχεις ὀργὴν παῦσαι. αἱ δὲ τοιαῦται φύσεις] ἤγουν ὁ ἔχων ἄνθρωπος τοιαύτην φύσιν αὐτὸς ἑαυτὸν μισεῖ, καὶ οὐ δύναται φέρειν, ὅτι τοιοῦτός ἐστι. τὸ δὲ δικαίως εἶπε, διότι δίκαιόν ἐστι τοὺς κακοὺς μὴ μόνον ὑπὸ τῶν ἄλλων, ἀλλὰ καὶ ὑφ' ἑαυτῶν μισεῖσθαι.

677. ἀγνῶτος] ἤγουν ἀναισθήτου τῶν ἐμῶν, καὶ ἕτερον ἢ προσῆκεν ὑπολαμβάνοντος. ἰστέον δὲ ὅτι τὸ ἀγνώς καὶ ἀντὶ τοῦ μὴ γινωσκόμενος εὕρηται καὶ ἀντὶ τοῦ μὴ γινώσκων.

680. μαθοῦσα] ἤγουν ἐπειδὴ τὸ συμβεβηκὸς ἔγνων ὅπερ ἐστὶ, ποιήσω τοῦτο καὶ κομίσω δηλαδή. ἔγνων γὰρ τίς ἐστιν ἡ κατέχουσ' αὐτοὺς τύχη, ἤγουν ἡ μάχη. δόκησις ἀγνὼς] τοῦτο καὶ εἰς τὸν Οἰδίποδα καὶ εἰς τὸν Κρέοντα νόει. εἰς μὲν τὸν Οἰδίποδα, διὰ τὰς τοῦ Τειρεσίου ἐπ' αὐτῷ μαντείας, ἃς οὐκ ἀληθεῖς ὁ χορὸς ἐνόμιζεν· εἰς δὲ τὸν Κρέοντα, διὰ τὴν ἐξ Οἰδίποδος πρὸς αὐτὸν τοῦτον ψευδῆ

685. ἅλις καὶ αὐτάρκως φαίνεται ὁ λόγος ἐμοὶ μένειν αὐτοῦ καὶ ἐκεῖ, ἔνθα καὶ ὅπου ἔληξε, προπονουμένης καὶ προπασχούσης ὑπὸ τοῦ λοιμοῦ τῆς γῆς, τουτέστιν ἐπειδήπερ ἡ γῆ δυστυχεῖ, πρὸς ἑαυτὴν ἕλκει τὸν νοῦν μου, καὶ οὐκ ἐᾷ ἀναξαίνειν τὰ τούτοις συμβάντα. ἀρκεῖ γὰρ ὅτι λεχθέντα πέπανται καὶ οὐ δεῖ αὖθις λέγειν.

687. ὁρᾷς ἵν' ἥκεις] τοῦτο Οἰδίπους λέγει πρὸς τὸν χορὸν, ὅτι οὐκ ἐβούλετο διηγεῖσθαι Ἰοκάστῃ τὴν διαφοράν. δόξαν γὰρ ἐντεῦθεν παρίστη ὅτι καταγινώσκων Οἰδίποδος ὡς ἀδίκως ὀργισθέντος Κρέοντι λέγειν οὐκ ἤθελεν.

698. μὴ λάβῃς εἰς τὸ ὅτου ἕξωθεν τὸ ἕνεκα, ἀλλὰ πρὸς τὸ μᾶῆνιν ἐστίν.

705. τὸ μὲν οὖν ἀντὶ τοῦ δέ. νοεῖται δὲ ἀπὸ τούτου ὅτι οὐ λέγει αὐτὸς, εἰσπέμψας δέ. εἰ μὲν οὖν στίξεις εἰς τὸ τό γ' εἰς ἑαυτόν, οὕτως ἐρεῖς· ἐπεὶ ἐλευθεροῖ πᾶν τὸ στόμα τούτου τοῦ λόγου, τοῦ λέγειν ὅτι ἐγὼ φονεύς εἰμι Λαΐου, τό γ' εἰς ἑαυτὸν, ἤγουν ὅσον τὸ καθ' αὑτόν· αὐτὸς γὰρ περὶ τούτου καθάπαξ σιγᾷ. εἰ δ' ὁμοῦ τὸ πᾶν ἐρεῖς στόμα πρὸς τὸ τό γ' εἰς ἑαυτόν, ἔσται οὕτως· ἐπεὶ τό γ' εἰς ἑαυτὸν, ἤγουν τὸ οἰκεῖον πᾶν στόμα ἐλευθεροῖ καὶ ἀφίστησι τούτου τοῦ λόγου.

720. ἀπορητέον πῶς ἄνω (712.) μὴ τὰς περὶ τούτων μαντείας Ἀπόλλωνα θεσπίσαι φάσκουσα Ἰοκάστη, ἀλλὰ τοὺς ὑπηρέτας αὐτοῦ, νῦν φησιν ἐνταῦθα οὔτ' Ἀπόλλων ἤνυσε. καὶ φαμὲν ὅτι τοῦτο λέγει οὐκ ἐναντιουμένη τῷ λόγῳ αὐτῆς, ἀλλὰ κατὰ τὴν τῶν ἄλλων ὑπόληψιν.

742. χνοάζων] ἀνθῶν, ὥσπερ ὑπὸ χνοὸς περικεχυμένην ἔχων τὴν κεφαλήν. αἱ γὰρ περὶ αὐτὰς δεξάμεναι χνοῦν τρίχες οὔτε λευκαί εἰσιν οὔτε μέλαιναι, ἀλλ' εἶδος ἕτερον μεταξὺ τούτων ἐκφαίνουσιν.

747. βλέπων] ἤγουν δέδοικα μήπως οὐ τυφλὸς ἀλλὰ βλέπων καὶ ἀληθεύων ὁ μάντις ᾖ, παρ' ὅσον ὁ τὴν ἀλήθειαν λέγων βλέπει· ὁ δὲ τὰ ψευδῆ τυφλώττων ἐστί.

766. ἐφίεσαι] ἐντέλλῃ, ἐπιθυμεῖς. καὶ γενικῇ γὰρ καὶ αἰτιατικῇ συντάττεται τὸ ἐφίεμαι, ὥσπερ καὶ τὸ ἐπιθυμῶ.

771. ἢ πρὸς τὸ στερηθῆς ὑπόστιξον, οὕτως· καὶ οὐ μὴ στερηθῇς

οὕτως· ἐμοῦ βεβῶτος, ἤγουν ζῶντος, οὐ μὴ στερηθῇς τῶν ἐλπίδων ἐς τοσοῦτον, ἤγουν ἅπερ ἐλπίζεις μαθεῖν παρ' ἐμοῦ, οὐ μὴ ἀποτύχῃς τούτων ἐς τοσοῦτον ὥστε μὴ μαθεῖν αὐτά. κρεῖττον δ' ἐστὶ τὸ πρῶτον. μαρτύριον δὲ, προϊὼν γὰρ λέγει· (836.)

καὶ μὲν τοσοῦτόν ἐστί μοι τῆς ἐλπίδος,
τὸν ἄνδρα τὸν βοτῆρα προσμεῖναι μόνον.

795. ἄστροις] παροιμία ἐπὶ τῶν μακρὰν ὁδὸν καὶ ἔρημον πορευομένων. οἱ γὰρ φεύγοντες ἀειφυγίαν, τοῖς ἄστροις ἐσημειοῦντο τὴν ἑαυτῶν πατρίδα.

809. διπλοῖς κέντροισι] τοῦτο διπλῶς νοητέον, ἢ δύο πληγαῖς, ἢ μάστιγι δύο κέντρα ἐχούσῃ. τὸ δὲ ἔτισεν ἀντὶ τοῦ, ἀπέδωκε, παρ' ὅσον οἱ κολαζόμενοι διά τινα προϋπάρξασαν ὑπ' αὐτῶν αἰτίαν, δίκας τῆς ἁμαρτίας ἀποδιδόασιν ὀφειλομένας.

817. ᾧ μὴ ξένων] ἤγουν ᾧτινι οὐκ ἔστιν ἐκδεδομένον δέχεσθαί τινα, ἐμὲ δηλονότι, ἐν τοῖς δόμοις, οὔτε τῶν ἀστῶν οὔτε τῶν ξένων. ἔστι δὲ ἡ τοιαύτη δοτικὴ τὸ ᾧ ἢ πρὸς τὸ ἔξεστιν, ἢ πρὸς τὸ προσφωνεῖν. ὥσπερ γάρ φαμεν, μετεῖχον καὶ ἐχρώμην τῆς δόξης, οὐ πρὸς τὸ ἐχρώμην, ὅπερ ἐστὶ σύνεγγυς, οὔσης τῆς γενικῆς, ἀλλὰ πρὸς τὸ μετεῖχον, διὰ μέσου ὄντος τοῦ ἐχρώμην, οὕτω καὶ τοῦτο τὸ ᾧ πρὸς τὸ προσφωνεῖν ἔχει τὴν δύναμιν. τὸ δὲ τάδε, καὶ τάσδ' ἀρὰς ταυτόν ἐστιν. αἱ γὰρ ἀραὶ, ἃς ἠράσατο τῷ Λαΐου φονεῖ, οὐκ ἄλλο τι ἦσαν ἢ μὴ προσδέχεσθαι αὐτὸν τοὺς πολίτας, μηδὲ προσφωνεῖν. καὶ οὗτις ἄλλος ἦν ὁ προστιθεὶς ἐπ' ἐμαυτῷ ταῦτα ἢ ἐγὼ ὁ τάσδε τὰς ἀρὰς προστιθεὶς, κατὰ συνεκδοχὴν λαμβανομένου τοῦ προστιθείς.

829. ἀνορθοίη λόγον] ἤγουν ἔξω αἰτίας θήσει. τὸ γὰρ ἀνορθοίη λόγον οὐχ ἑτερόν ἐστιν, ἀλλ' ἢ κειμένην καὶ μὴ οὖσαν τὴν ὑπὲρ ἐκείνου ἀπολογίαν ἀνορθώσει, καὶ δείξει δι' ὧν ἀπολογήσεται.

833. κηλῖδα συμφορᾶς ἀντιστρόφως, ἀντὶ τοῦ συμφοράν, ἤγουν συντυχίαν, κηλῖδος, ἤγουν μολυσμοῦ.

847. εἰς ἡμᾶς γράφε, μὴ εἰς ἐμέ. οὐ γὰρ ἁρμόζει οὕτως τῷ μέτρῳ. εἰ δὲ πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ τέθειται, οὐδὲν ἀπεικός. πολλὰ γὰρ εὑρίσκεται ὅμοια.

851. κἀκτρέποιτο] τὸ ἐκτρέπεσθαι κυρίως ἐπὶ ὁδοῦ λέγεται, ὅταν

λωνος οὔτε βλέψαιμι ἂν τῇδε καὶ ἐνταῦθα, ὅτι ὑπὸ τοῦ παιδὸς ἀπόλωλε· πρόσθεν γὰρ ὁ παῖς ἀπηνέχθη τοῦ ζῆν· οὔτε τῇδε καὶ ἐνταῦθα ὕστερον, ὅτι ὑπὸ σοῦ πεφόνευται· ὑπὸ τοῦ παιδὸς γὰρ ὁ Ἀπόλλων ἐθέσπισε. ταῦτα δὲ λέγει ἀποροῦσα περὶ τοῦ φόνου, πῶς ἄρα καὶ γέγονεν.

863. καταγινώσκων ὁ χορὸς τῆς Ἰοκάστης, ὡς μὴ δεχομένης τὰς τοῦ Ἀπόλλωνος μαντείας, φησίν· Ἐμοὶ φέροντι τὴν εὔσεπτον ἁγνείαν, ἤτοι τὸ πάνσεπτον σέβας τῶν λόγων καὶ τῶν ἔργων πάντων, τουτέστιν, ἐμοὶ σεβομένῳ τὸν λόγον καὶ τὰ ἔργα, εἴθε ξυνείη καὶ συνυπάρχοι μοῖρα καὶ εὐτυχία. εἰπὼν δ' ἀορίστως τὸ λόγων καὶ τὸ ἔργων, νῦν ὁρίζεται λέγων ὧν πρόκεινται νόμοι μεγάλοι τεκνωθέντες καὶ γεννηθέντες διὰ τὴν οὐρανίαν αἰθέρα, ἤγουν ἐξ οὐρανοῦ. δείκνυσι δ' ἐντεῦθεν ὅτι λόγων καὶ ἔργων λέγει τῶν θείων, ὧν ἡ τιμὴ ἐξ οὐρανοῦ νενομοθέτηται, ὄντινων νόμων μόνος ὁ Ὄλυμπος πατήρ ἐστιν· ἔστι δὲ ὅμοιον τῷ οὐρανίαν δι' αἰθέρα τεκνωθέντες. οὐδ' ἔτικτε, οὐδ' ἐξεῦρεν αὐτοὺς τοὺς νόμους ἡ θνητὴ φύσις τῶν ἀνθρώπων, οὐδὲ κατακοιμίσει καὶ καταβαλεῖ αὐτοὺς καὶ ἀφανίσει λήθη, τουτέστιν, ἐπεὶ οἱ ἄνθρωποι οὐχ εὗρον τοὺς περὶ τῆς τιμῆς τῶν θεῶν νόμους, ἀλλ' οὐρανόθεν ἦλθον ἡμῖν, οὐδ' ὑπὸ λήθης ἀνθρώπων ἂν κατασβεσθεῖεν. μέγας ἐν τούτοις θεὸς ὑπάρχει ἡ ἀλήθεια, οὐδὲ γηράσκει, τουτέστιν, ὡς ἀληθεῖς ὄντες οἱ νόμοι ἀεὶ ἔσονται καὶ οὐκ ἀφανισθήσονται. ἰστέον δὲ ὅτι τινὲς ἀγνοοῦντες οὐρανίας αἰθέρος λέγουσι διὰ τὸ διά. τὸ δ' ἔστιν ὅμοιον τῷ παρ' Αἰσχύλῳ (Ἑπτ. ἐ. Θ. 206.) "ἱππικῶν τ' "ἀὔπνων πηδαλίων διὰ στόμα." ἔφαμεν δ' ἐκεῖ τὸν περὶ τούτου λόγον.

873. ὕβρις φυτεύει] ἤγουν ἡ ὑπεροψία ποιεῖ τύραννον, τουτέστιν, ἡ ὑπεροψία κακοὺς καὶ ἀνόμους (τοιοῦτοι γὰρ οἱ τύραννοι) ἐργάζεται τοὺς αὐτὴν ἔχοντας, ὥστε καὶ Ἰοκάστη ἐξ ὑπεροψίας τὸν Ἀπόλλωνος ἠτίμασε λόγον. ἐὰν ὑπερπλησθῇ ἡ ὕβρις μάτην πολλῶν, ἃ οὐκ ἔστιν ἐπίκαιρα καὶ πρέποντα, μηδὲ συμφέροντα τῷ αὐτὴν ἔχοντι, εἰς ἀκροτάτην ἀπότομον καὶ τραχεῖαν εἰσαναβᾶσα, ἤγουν εἰς ἄκρον κακίας ἐλάσασα καὶ κορυφωθεῖσα, ἀνώρουσε καὶ ὥρμησε καὶ πέπτωκεν εἰς ἀνάγκην, ὅθι καὶ ὅπου οὐ χρῆται ποδὶ χρησίμῳ. τουτέστιν, ὑβρισταὶ καὶ ἄνομοι, ὁποία ἡ Ἰοκάστη, αὐξηθέντες εἰς ἄκρον ἔπειτα εἰς τὴν

πόλει πάλαισμα, ἤτοι τὴν περὶ τῶν συμφερόντων τῇ πόλει ἔρευναν, αἰτοῦμαι θεὸν, ἤτοι τὸν Ἀπόλλω, μὴ λῦσαι, ἀλλ' ἀεὶ ποιεῖσθαι, καθάπερ καὶ νῦν ἐπὶ τῷ τοῦ Λαΐου φόνῳ. οὐ λήξω καὶ παύσομαί ποτε ἔχων τὸν θεὸν προστάτην καὶ ἀντιλήπτορα. ἰστέον δὲ ὅτι εἰς τὸ ἃ μὴ ἐπίκαιρα, τὸ ἅ εἰ μὲν πρὸς τὸ ὕβριν νοήσεις, μακρόν ἐστιν· οὕτω γὰρ καὶ τὸ τῆς στροφῆς ἀπαιτεῖ κῶλον· εἰ δὲ πρὸς τὰ ἑξῆς, βραχύ. οὐ κωλύει δὲ καὶ βραχὺ εἶναι, ἐπεὶ τὸ κῶλον ἰαμβικόν ἐστιν. ἔτι ἰστέον ὅτι εἰ καὶ τὸ καλῶς ἐν πολλοῖς μακρὸν εὕρηται, ἔν γε μὴν τῷ τὸ καλῶς δ' ἔχον πόλει, βραχύ ἐστι· καὶ δῆλον ἐκ τοῦ κώλου τῆς στροφῆς. ἔοικεν οὖν ἀμφοτέρους τοὺς χρόνους καὶ τοῦτο δέχεσθαι, ὃ καὶ κυρίως ἐγώ φημι δίχρονον, ὡς ἀμφοτέρους τοὺς χρόνους δεχόμενον. τοιοῦτον γὰρ καὶ τὸ ὑμεῖς, καὶ τὸ ἀὴρ, καὶ ὕδωρ, καὶ ἱερὸς, καὶ τὰ τοιαῦτα. τὸ δὲ κακὸν ἀεὶ βραχὺ εὕρηται, καὶ οὐδέποτ' ἄλλως, εἰ καὶ ἐν τῷ (887.) κακά νιν ἕλοιτο μοῖρα, ἀντὶ μακροῦ ἔοικεν εἶναι, οὐ μήν ἐστιν.

883. εἰ δέ τις πορεύεται καὶ διάγει ὑπέροπτα καὶ σοβαρῶς καὶ ἐν χερσὶ καὶ ἐν λόγῳ, τουτέστι καὶ οἷς πράττει καὶ οἷς λέγει, ἀφόβητος τῆς θείας δίκης, οὐδὲ σέβων καὶ τιμῶν τὰ ἕδη καὶ εἴδωλα τῶν δαιμόνων, ἤτοι τοὺς θεοὺς, ἕλοιτο καὶ λάβοι νιν καὶ αὐτὸν κακὴ μοῖρα καὶ τύχη, χάριν καὶ ἕνεκα τῆς τρυφῆς καὶ τῆς ὑπεροψίας, ἣν πρὸς τοὺς θεοὺς ἔχει, τῆς δυσπότμου καὶ δυστυχοῦς, (μέγιστον γὰρ ἀτύχημα ἡ ἀσέβεια) εἰ μὴ κερδανεῖ δικαίως τὸ κέρδος, ἤγουν ἐὰν μὴ τὰ τῆς ὑπεροψίας ἆθλα δικαίως λάβῃ τιμωρηθεὶς, καὶ ἔρξεται καὶ κωλυθῇ τῶν ἀσέπτων καὶ ἀσεβῶν ἐγχειρημάτων, ἢ ἔρξεται καὶ κωλυθῇ πάλιν τῶν ἀθίκτων καὶ ἀπροσψαύστων, καὶ ὧν οὐδεὶς ἅπτεται ἀσεβῶν ἐγχειρημάτων, ματάζων καὶ ματαιοποιῶν. τίς ἄρα ἀνὴρ ἔτι καὶ εἰς τὸ ἑξῆς ἐν τοῖσδε, ἤγουν ἐν τῷ μὴ τιμωρεῖσθαι τοὺς κακοὺς, ἔρξεται καὶ κωλυθήσεται, τῆς κακίας δηλονότι, τῷ θυμῷ, ἤγουν οἴκοθεν, ὥστε ἀμύνειν καὶ ἀποσοβεῖν δι' εὐχῶν καὶ θυσιῶν τὰ βέλη τῆς ψυχῆς, ἤγουν τὰ ἁμαρτήματα; ἤγουν οὐδεὶς τοὺς κακοὺς ὁρῶν ἀπαθεῖς ἐπιστροφὴν ποιήσεται τῶν οἰκείων πλημμελημάτων, καὶ πρὸς τοὺς θεοὺς καταφεύξεται. εἰ γὰρ αἱ τοιαίδε] ἤτοι εἰ αἱ κακαὶ πράξεις τίμιαι καὶ καλαὶ, τί δεῖ με χορεύειν καὶ πανηγύρεις ἱστάναι τοῖς θεοῖς,

τῷ δ' ἀγαθῷ ἀγαθὰ, ἀλλὰ πάντες ἐπίσης μετέχοιεν τῶν θεῶν, οὐκ ἔτι εἶμι καὶ πορεύσομαι ἐπὶ τὸν ἄθικτον καὶ σεβάσμιον ὀμφαλὸν τῆς γῆς, ἤτοι εἰς τὸν Ἀπόλλωνα, σέβων καὶ τιμῶν αὐτὸν, οὐδὲ εἰς τὸν Ἀπόλλωνος ναὸν τὸν ἐν Ἀβαῖσι καὶ ἐν Λυκίᾳ· Ἀβαὶ γὰρ τόπος Λυκίας· οὐδ' εἰς τὴν Ὀλυμπίαν, ἤτοι τὸν Δία. ἀλλ', ὦ Ζεῦ, ὁ κρατῶν καὶ ἐξουσιάζων πάντα καὶ ἀνάσσων, εἴπερ ὀρθῶς Ζεὺς ἀκούεις καὶ ὀνομάζῃ, ὥσπερ οὖν εἶ, μήτε σὲ μήτε τὴν σὴν ἀθάνατον αἰὲν ἀρχὴν λάθῃ τοῦτο, τὸ τοὺς κακοὺς τετιμωρῆσθαι, ἀλλὰ μέχρις ἂν ἡ σὴ ἀρχὴ ἐπέχῃ, κολάζοιντο οἱ κακοί. ἐξαιροῦσι γὰρ καὶ ἐκβάλλουσι καὶ ἀτιμάζουσιν ἤδη καὶ νῦν φθίνοντα καὶ ἀτιμαζόμενα τὰ παλαιὰ θέσφατα καὶ μαντεύματα τοῦ Λαΐου, τουτέστι, τὸν πάλαι δοθέντα παρ' Ἀπόλλωνος τῷ Λαΐῳ χρησμὸν, ὡς ὑπὸ παιδὸς τεθνήξεται, Ἰοκάστη νῦν ἀτιμάζει καὶ ψευδῆ οἴεται, καὶ οὐδαμῶς ὁ Ἀπόλλων ἐμφανὴς ὑπάρχει ἐν ταῖς τιμαῖς, ἀλλ' εἰς οὐδὲν τὰ ἐκείνου λογίζεται καὶ ἀτιμάζεται. ἔρρει δὲ καὶ ἐφθάρη καὶ καταπεφρόνηται τὰ θεῖα. ἰστέον δὲ ὅτι τὸ τῆς ἀντιστροφῆς δέκατον κῶλον, τὸ φθίνοντά δ' ὡς ἐμοὶ δοκεῖ, ἐλλιπὲς ἦν πρὸς τὸ τῆς στροφῆς· διὸ καὶ προσετέθη παρ' ἐμοῦ τὸ ὡς ἐμοὶ δοκεῖ, ὅπως ὁλόκληρον καὶ τοῦτο γένηται· καὶ οἶμαι ὡς καλῶς προσετέθη· εἰ δέ τις βέλτιόν τι νοήσει, τοῦτο τεθείτω.

916. τὰ καινὰ τοῖς πάλαι] ἤγουν τοὺς νῦν χρησμοὺς διὰ τῶν παλαιῶν συμβάλλει, τῶν εἰρηκότων ὅτι Λάϊος ὑπὸ παιδὸς τεθνήξεται.

920. κατεύγμασιν] ἤτοι τοῖς κινοῦσι κατάνευσιν τῶν εὐχῶν, ἤγουν τοῖς θυμιάμασι καὶ ἀναθήμασι. εὐαγῆ πόρῃς] ἤγουν ἵνα λύσιν εὐαγῆ τῆς παρούσης ἀνάγκης τοῦ Οἰδίποδος παρασχῇς, ἤγουν ἁγνὴν καὶ ἱεράν. ἐναντίον δὲ τῷ εὐαγεῖ τὸ ἐναγές.

930. παντελὴς] τελεία, νόμιμος. οὕτως, εἰ πρὸς τὸ δάμαρ συνάψεις· εἰ δὲ πρὸς τὸ ὀλβία, τελεία μόνον.

937. ἥδοιο μὲν] εὐφρανθείης μὲν, διότι ὁ σὸς πόσις καὶ ἑτέρας βασιλείας ἐγκρατὴς μέλλει γενήσεσθαι· λυπηθείης δὲ, εἰ τὸν τοῦ σοῦ κηδεστοῦ θάνατον ἀκούσαις.

940. τῆς Ἰσθμίας] τῆς Κορινθίας, τῆς ἐν τῷ Ἰσθμῷ τῆς Πελοποννήσου κειμένης.

979. εἰκῆ] ἤγουν ἁπλῶς καὶ ἀφροντίστως, καὶ μὴ πρὸς μαντείας ὁρᾶν.

1029. εἰκότως εἶπε τὸ πλάνης. οἱ γὰρ ποιμένες νῦν μὲν ἐνταῦθα, νῦν δ' ἐκεῖσε τὸ ποιμνίον ἀνάγουσι πρὸς τὸ λυσιτελοῦν.

1037. πρὸς μητρὸς ἢ πατρός, ἔπαθον τοῦτο δηλονότι. ἤγουν τὸ διατρυπηθῆναι τοὺς ἀστραγάλους. ἀσύνετον γὰρ καὶ ἀνακόλουθον πρὸς τὰ ἐπαγόμενα, τὸ νομίζειν ἐρωτᾶν τὸν Οἰδίποδα εἰ ὑπὸ τοῦ πατρὸς, ἢ τῆς μητρὸς ὠνομάσθη.

1063. τρίδουλος] δούλου γὰρ τὸ μὴ ἐμφανὲς ἔχειν τὸ γένος, ἀλλὰ λαθραῖον. εἰκότως δὲ τὸ τρίδουλος εἶπε πρὸς τὸ τρίτης μητρός.

1070. πλουσίῳ] εὐδαίμονι· τοῦτο δὲ λέγει, διὰ τὸ μὴ θέλειν ταύτην ἐξ ἀσήμων ὄντα φανήσεσθαι.

1081. τῆς εὖ διδούσης] τοῦτο λέγει, διότι πάντα τὰ τῆς Τύχης δῶρα, εἰ καὶ δυσχερῆ ἐστὶν ἡμῖν, ἀλλὰ καλά ἐστι, καὶ πρὸς συμφέρον ἡμῖν, εἰ καὶ μὴ δυνάμεθα αὐτοὶ τοῦτο καταμαθεῖν. μῆνές με διώρισαν] ἤγουν ὁ χρόνος δυστυχῆ με καὶ εὐτυχῆ πεποίηκεν· ἢ τὸ μικρὸν καὶ μέγαν διὰ τὴν ἡλικίαν λέγει.

1086. εἴπερ ἐγὼ κατὰ γνώμην μάντις εἰμὶ καὶ ἔδρις καὶ ἐπιστήμων καὶ ἄριστος στοχαστὴς, μὰ τὸν πανσέληνον Ὄλυμπον, οὐκ ἔσῃ καὶ ὑπάρξεις, ὦ Κιθαιρὼν, ἀπείρων καὶ ἀμέτοχος κατὰ τὴν αὔριον ἡμέραν, μὴ οὐκ αὔξειν καὶ φαίνεσθαί σε πατριώτην τοῦ Οἰδίποδος, τροφὸν καὶ μητέρα, καὶ χορεύεσθαι παρ' ἡμῶν, (τουτέστιν, ὅσον οὔπω φανήσεται ὁ Οἰδίπους εὑρεθεὶς ἐν Κιθαιρῶνι τὴν ἀρχήν· διὸ καὶ πατέρα καὶ μητέρα αὐτοῦ τοῦτον καλεῖ.) ὡς ἐπίηρα καὶ ἐπιθυμητὰ φέροντα τοῖς ἐμοῖς τυράννοις, ἤτοι τῷ Οἰδίποδι. ἐπιθυμεῖ γὰρ οὗτος, ὅστις ἐστὶ φανῆναι. σοὶ δὲ, ὦ ἰήϊε καὶ τοξικὲ Φοῖβε, ἀρεστὰ καὶ ἀποδεκτὰ εἴη καὶ ὑπάρχοι ταῦτα, ἡ τοῦ Οἰδίποδος λέγω ἔκφανσις· σὺ γὰρ ἐθέσπισας τὴν περὶ τούτου ἔρευναν.

1098. τίς σε, ὦ τέκνον, τῶν μακραιώνων καὶ ἀϊδίων θεῶν ἔτικτεν; ἆρα τοῦ ὀρεσιβάτου καὶ ὀρεινοῦ Πανὸς θυγάτηρ προσπελασθεῖσα ἐνταῦθα; ἢ ἔτικτέ σε ἡ τοῦ Λοξίου θυγάτηρ; τῷ γὰρ καὶ τούτῳ τῷ Πανὶ, ἢ τῷ Ἀπόλλωνι (νόμιος γὰρ καὶ οὗτος καλεῖται) πᾶσαι αἱ ἀγρονόμοι καὶ ὀρειναὶ πλάκες καὶ πέτραι φίλαι εἰσίν. εἴτε ὁ Κυλ-

τῶν ἐν Ἑλικῶνι τῆς Βοιωτίας ὄντων, σὺν αἷς πλεῖστα παίζει. λέγει δὲ τὸν Διόνυσον ναίειν ἐπ᾽ ἄκρων ὀρέων, ἢ διότι αἱ Βάκχαι αὐτοῦ, ὡς μαινόμεναι, τὰ ὄρη περιήρχοντο, ἢ ὅτι ἐν τῷ Κιθαιρῶνι τὸ ἱερὸν ἦν αὐτοῦ.

1114. εἰκότως εἶπε τὸ ὥσπερ. οὐ γὰρ ἀκριβῶς εἶδεν, ἀλλ᾽ εἰκάζων ἦν.

1134. κάτοιδεν] τοῦτο ἢ πρὸς τὸ τὸν Κιθαιρῶνος τόπον σύναπτε, εἰ καὶ τὸ ἦμος διὰ μέσου ἐτέθη, ὃ δὴ καὶ ποιεῖ τὴν δυσχέρειαν· ἢ πρὸς τὸ τὸν Κιθαιρῶνος τόπον ἔξωθεν εἰς λάμβανε, λαμβανομένου κατὰ συνεκδοχὴν τοῦ ἐπλησίαζεν.

1147. τὸ ἃ ἐστὶν ἐνταῦθα ἐπίρρημα σχετλιαστικὸν, σιωπὴν παρακελευόμενον.

1155. ἢ πρὸς τὸ δύστηνος στικτέον, οὕτως· δύστηνός εἰμι, ἀντὶ τοῦ λέγεις τοῦτο, τί προσχρήζων μαθεῖν; ἢ τὸ δύστηνος καὶ τὸ ἀντὶ τοῦ σύναπτε, οὕτως· ἀντὶ τοῦ περιαχθήσομαι ὁ δύστηνος; τί προσχρήζων μαθεῖν λέγεις τοῦτο;

1161. τὸ πάλαι πρὸς τὸ εἶπον συναπτέον, καὶ οὐ πρὸς τὸ δοίην.

1179. ἰστέον ὅτι τὰ ἀπαρέμφατα, εἰ μὴ προηγεῖται εὐθεῖα, οὐδέποτ᾽ εἰς εὐθεῖαν συντάσσεται, ὥστε καὶ τὸ αὐτὸς ἐνταῦθα οὐ πρὸς τὸ ἀποίσειν ἐστὶν, ἀλλὰ πρὸς τὸ ἔνθεν ἦν, οὕτως· δοκῶν καὶ νομίζων εἰς ἄλλην χθόνα ἀποίσειν καὶ κομίσειν, ἔνθεν ἦν αὐτός.

1186. ἀπιδὼν ὁ χορὸς πρὸς τὴν πάλαι τοῦ Οἰδίποδος εὐδαιμονίαν, καὶ τὴν ἄρτι συμβᾶσαν αὐτῷ τύχην, ἀποκλαίεται τὸ ἀνθρώπινον, λέγων· ὦ γενεαὶ ἀνθρώπων, ὄντως ἐναριθμῶ καὶ συντάττω ζώσας ὑμᾶς τὰς γενεὰς καὶ τὸ μηδὲν, ἴσα καὶ ὁμοίως, τουτέστιν, ἅπαντας τοὺς ζῶντας ἀνθρώπους οὐκ ἄλλο τι ἡγοῦμαι ἢ οὐδέν. τίς γὰρ ἀνὴρ φέρει τᾶς εὐδαιμονίας καὶ τᾶς εὐτυχίας πλέον ἢ τοσοῦτον ὅσον δοκεῖν καὶ φαίνεσθαι ὅτι ἐστί τις, καὶ δόξαντα ἀποκλῖναι καὶ ἀποπεσεῖν τῆς εὐδαιμονίας; τουτέστιν, οἱ εὐτυχοῦντες οὐδὲν πλέον ἀποφέρονται τῆς τύχης ἢ ὅσον δόξαν παρέχειν τοῖς ἀνθρώποις, ὅτι εἰσί τινες, εἶτα ἀθρόον, εἰς τὸ μηδὲν χωροῦσι. νόει δὲ καὶ τὸ εὐδαιμονίας γενικὴν, οὕτω· τίς ἀνὴρ φέρει τῆς εὐδαιμονίας πλέον ἢ τοσοῦτον ὅσον, καὶ τὰ ἑξῆς.

1208. ᾧ μέγας λιμὴν] ᾧτινι Οἰδίποδι μέγας λιμὴν ὁ αὐτὸς καὶ εἷς, ἤτοι Ἰοκάστη, ἤρκεσε καὶ ἀρκετὸς ἐφάνη παιδὶ καὶ θαλαμηπόλῳ καὶ νυμφίῳ πατρὶ, ὥστε πεσεῖν τοῦτον τὸν Οἰδίποδα ἐν αὐτῷ τῷ λιμένι. τουτέστιν, Ἰοκάστη καὶ παῖδα τὸν Οἰδίποδα ἔσχε καὶ πατέρα τῶν αὐτῶν παίδων.

1214. δικάζει καὶ κρίνει καὶ ἐκφαίνει ὁ χρόνος τὸν πάλαι κακόγαμον γάμον, τεκνοῦντα καὶ γεννῶντα, καὶ τεκνούμενον καὶ γεννώμενον. τουτέστι, τὸν ἀνόμως ὑπάρξαντα γάμον τοῦ Λαΐου δείκνυσιν ὁ χρόνος καὶ τεκνοῦντα καὶ τεκνοποιοῦντα, διὰ τὴν Οἰδίποδος πρὸς Ἰοκάστην μίξιν, καὶ τεκνούμενον καὶ γεννώμενον, διὰ τὸ ἐξ αὐτῆς τοῦτον γεννηθῆναι. ἢ τὸ ἄγαμον διὰ τὸν Οἰδίποδα νοητέον, οὕτω· δικάζει ὁ χρόνος τὸν ἄγαμον καὶ κακόγαμον γάμον τοῦ Οἰδίποδος πρὸς Ἰοκάστην, τεκνοῦντα καὶ τεκνοποιοῦντα ἐξ αὐτῆς, καὶ τεκνούμενον καὶ γεννώμενον αὐτὸν ἐξ αὐτῆς.

1228. ὅσα κεύθει] τοῦτο οὕτω λέγε· νίψαι καὶ καθᾶραι ἐν καθαρμῷ τὴν δετὴν στέγην ἐκείνων ὅσα κεύθει καὶ κρύπτει. ὅμοιον δὲ τῷ (Ἰλ. ε', 304.) "οἷοι νῦν βροτοί εἰσι." ὀφείλων δὲ εἰπεῖν, νίψαι τὴν στέγην τῶν κακῶν ὅσα κρύπτει, ἃ αὐτίκα εἰς τὸ φῶς δείξει, ὁ δὲ λέγει, νίψαι τὴν στέγην ὅσα κακὰ κρύπτει, ἀποδιδοὺς τὸν λόγον πρὸς τὸ ἀνταποδοτικὸν, τὸ δὲ τὰ δ' αὐτίκα, τὰ τοῦ Οἰδίποδος λέγει. ἔμελλε γὰρ αὐτὸς μετ' ὀλίγον ἐξιέναι τυφλός.

1230. ἑκόντα] ἑκὼν Οἰδίπους τετύφλωται, διὰ τὸ αὐτὸς ἑαυτὸν τυφλῶσαι· ἄκων δ', ὡς ὑπὸ τῶν κακῶν εἰς τοῦτο συνελαθεὶς, καὶ οὐ προαιρέσει οἰκείᾳ.

1235. ἰστέον ὅτι ὁ μὲν Εὐριπίδης φησὶ τὴν Ἰοκάστην τεθνάναι πλησίον τῶν παίδων, ὅτε μονομαχήσαντες ὑπ' ἀλλήλων ἀπώλοντο· Σοφοκλῆς δὲ νῦν ταύτην φησὶν ἀγχόνῃ χρήσασθαι.

1243. ἀμφιδεξίοις ἀκμαῖς] ἀμφιδέξιον τὸ ἐξ ἀμφοτέρων τῶν χειρῶν δεχόμενον καὶ λαμβανόμενον. ἔστι δὲ καὶ ἀμφιδέξιον εἶδος ὑποδήματος, ὃ καλοῦσι κόθορνον. ἀμφιδέξιον δὲ νῦν τὸ περιεκτικόν.

1246. ὑφ' ὧν] εὕρηται καὶ ὑφ' ἧς πρὸς τὸ μνήμην, οὕτως· ἔχουσα κατὰ νοῦν καὶ λέγουσα τὴν μνήμην καὶ τὴν φροντίδα τῶν παλαιῶν σπερμάτων, ἣν εἶχεν ὁ Λάϊος τεκνοποιῆσαι, ὑφ' ἧς φροντίδος θάνοι

1255. τὸ φοιτᾷ πρὸς τὸ ὅπου κίχοι κατὰ κοινοῦ λαμβάνε, οὕτω· φοιτᾷ δὲ ὅπου κίχοι καὶ καταλαμβάνοι τὴν γυναῖκα Ἰοκάστην, τὴν οὐ γυναῖκα· μήτηρ γὰρ αὐτοῦ ἦν· τὴν μητρῴαν διπλῆν ἄρουραν, οὗτε, ἤγουν αὐτοῦ, καὶ τῶν αὐτοῦ τέκνων.

1273. ἀλλ' ἐν σκότῳ] οἱ γὰρ τυφλοὶ περιφερόμενοι οὐ δύνανται ὑπὸ τῆς τυφλώσεως καταμαθεῖν οὓς ἂν θέλωσιν, ἀλλ' ἄλλοις ἀντὶ ἄλλων προσέρχονται.

1278. ἐπειδὴ τὸ μὲν αἷμα μέλαν, λευκὸν δὲ τὸ δάκρυον, μίγμα δ' ἦν ἀμφοτέρων τούτων τὸ ἐξ ὀφθαλμῶν τοῦ Οἰδίποδος στάζον, πρὸς μὲν τὸ αἷμα μέλας ὄμβρος εἶπε, πρὸς δὲ τὸ δάκρυον, ὄμβρος χαλάζης.

1300. τίς ὁ πηδήσας] ὁ ἐπιδραμών. τὸ δὲ πᾶν οὕτως· τίς ἀπὸ τῶν δαιμόνων κατώρθωσε μείζονα τῶν μηκίστων, ἐπὶ τῇ σῇ δυστυχεῖ μοίρᾳ;

1310. πᾶ μοι φθογγά] ἤγουν ἐν ποίῳ μέρει τῆς γῆς ἡ ἐμὴ φωνὴ διακέχυται; οὐκ οἶδα γὰρ ὅπου τυγχάνων βοῶ.

1318. κέντρων] ἤγουν τῶν ἀλγηδόνων τῆς πηρώσεως. τὸ δὲ πᾶν οὕτως· οἷα περιωδυνία τῶν ἀλγηδόνων τῶνδε εἰσέδυ με ἅμα, καὶ οἷα δηλονότι μνήμη κακῶν τῶν προτέρων.

1337. κατ' αἰτιατικὴν λέγεται τὸ τί. προσυπακούεται δὲ ἐν τούτοις τὸ οἰκεῖον, κατὰ ἀναλογίαν τοῦ προσρηθέντος. οἷον, τί δῆτ' ἐμοὶ προσήγορον ἤτοι προσαγορευτικὸν ἀπὸ τοῦ νῦν ἐστὶν ἐμοὶ ἀκούειν σὺν ἡδονῇ; ἢ τί βλεπτὸν ἢ ὁρατόν ἐστιν ἐμοὶ ὁρᾶν σὺν ἡδονῇ; ἢ τί στερκτὸν ἤτοι ἀγαπητόν ἐστιν ἐμοὶ ἀγαπᾶν σὺν ἡδονῇ;

1359. εἰ μὲν τὸ βροτοῖς πρὸς τὸ ἐκλήθην συνάψεις, ἀντὶ τοῦ πᾶσι τοῖς βροτοῖς νοήσεις· εἰ δὲ πρὸς τὸ νυμφίος, ἀντὶ τοῦ, τῇ μητρί. τὸ δὲ ἀνοσίων παῖς ἀντὶ τοῦ ἀνάγνων καὶ ἀκαθάρτων, καὶ μὴ κατὰ γνώμην θεῶν σπειράντων.

1372. εἰς Ἄιδου μολών] φαίνεται ἐντεῦθεν ὅτι οἱ Ἕλληνες τοιαύτην εἶχον δόξαν, ὡς εἴτε τυφλός τις, εἴτε βλέπων ἐτελεύτα, τοιοῦτος καὶ ἐν Ἄιδου ἦν.

1375. ἀλλ' ἢ τέκνων] ἤγουν ἡ τῶν τέκνων θεωρία εἰς φῶς φανεῖσα, ὡς ἐφάνη, ἦν ἐμοὶ ἀξία ἐπιθυμεῖσθαι, εἰς τὸ βλέπειν αὐτὴν ἐμέ; οὐδ'

ἀπτέον, τὸ δὲ κάλλιστα πρὸς τὸ ἀπεστέρησα.

1390. τὴν φροντίδ' ἔξω] ἤγουν τὸ μὴ τῶν κακῶν φροντίδα καὶ μνήμην ποιεῖσθαι, ὃ γένοιτο ἂν, ὀφθαλμῶν καὶ ὤτων οὐκ ὄντων. ὁρῶν γάρ τις καὶ ἀκούων ἀναπεμπάζει ἃ εἶδε καὶ ἤκουσε.

1397. κακός τ' ὢν] μὴ λάβῃς τὸ τε ἀργὸν, ὥς τινές φασιν, ἀλλ' οὕτω λέγε· νῦν γὰρ εὑρίσκομαι καὶ ὢν κακὸς καὶ ἐκ κακῶν.

1398. τὸ κεκρυμμένη διπλῶς νοητέον· ἢ διότι πᾶσαι αἱ λόχμαι οὐκ ἔμπροσθέν εἰσι τῆς ὁδοῦ, ἀλλ' ἰδίᾳ ἐν φάραγξιν, ἢ ὄρεσιν· ἢ ὅτι ἐν αὐταῖς κρυπτόμενοί τινες λῃστείαν ἐργάζονται. ἢ τὸ κεκρυμμένη ἀντὶ τοῦ ἀκατανόητε· οὐ γὰρ ἐγίνωσκέ τις τί ἔμελλεν ἐν αὐτῇ γενήσεσθαι.

1405. ἀνεῖτε] ἀνεδώκατε. ἤγουν, ὦ μῆτερ ἡ γεννήσασά με, καὶ πάλιν ἑαυτὴν εἰς σποράν ἐμοὶ δοῦσα. τὸ δὲ πατέρας, ἀδελφούς, διότι ἐκ μητρὸς ἐπαιδοποίησα, καὶ διότι οὓς ἔσπειρα, ἐκ τῆς αὐτῆς μητρὸς ἐγεννήθησαν.

1412. μή ποτ' εἰσόψεσθ' ἔτι] ἀντὶ τοῦ μηκέτι ποτὲ, ἤγουν μηδαμῶς εἰς τὸ ἑξῆς ποτ' ὄψεσθε.

1417. μὴ λάβῃς τὸ τό ἀργὸν, ὥς τινές φασιν, ἀλλ' οὕτω λέγε· ἀλλὰ πάρεστιν ὅδε ὁ Κρέων εἰς δέον ἐκείνων ὧν ἐπαιτεῖς. εἶτα μεθερμηνευτικὸν τοῦ εἰς δέον ἐπάγει τὸ πράσσειν καὶ τὸ βουλεύειν. καὶ ἐπειδὴ τὸ δέον ἐστὶν αἰτιατικὴ διὰ τὴν εἰς πρόθεσιν, διὰ τοῦτο καὶ τὸ αἰτιατικὸν ἄρθρον τὸ τό τέθειται.

1432. ἐπειδὴ κακὸν Οἰδίπους τὸν Κρέοντα προλαβὼν ἐνόμισε, διὸ καὶ ἐξορίαν αὐτοῦ κατεψηφίσατο, ἤλπιζεν αὐτὸς μᾶλλον ἀποδειχθεὶς κακὸς καὶ παράνομος, ὡς οὐκ ἂν ἐθελήσειεν, εἴ τινος αὐτοῦ δεηθείη, τοῦτο πληρῶσαι· διὰ τοῦτο ἄνδρα κάκιστον ἑαυτὸν λέγει, καὶ ἀποσπάσαι αὐτὸν τῆς ἐλπίδος, ἣν εἰς αὐτὸν εἶχεν.

1434. μὴ λάβῃς τὸ πρός ἀντὶ τοῦ ὑπέρ, ὥς τινές φασιν, ἀλλὰ λαμβάνων τὸ πρός ἀργὸν οὕτω λέγε· ὃ γὰρ μέλλω εἰπεῖν, φράσω καὶ εἶπω τοῦτο σοῦ, ἤγουν εἰς σὲ συντελοῦν.

1444. τὸ οὕτως πρὸς τὸ ἀθλίου, καὶ οὐ πρὸς τὸ πεύσεσθε συναπτέον.

γὰρ τὸ κατ' ἐκείνους ἐπ' ἀπωλείᾳ με ἔρριψαν ἐκεῖ. ἐπεὶ δὲ ἀπωλλύτην εἶπεν, ἐπάγει· εἰ καὶ ἐπ' ἀπωλείᾳ ἐκεῖσε ἐρρίφην, ἀλλ' ἐπειδὴ εἱμαρμένον ἐκ τῶν θεῶν ἦν τὰ καὶ τὰ ποιήσειν με, οὔτε νόσος ἔμελλεν ἀφανίσειν με, οὔτε θηρίον, οὔτε λῃστής. ἔστι δὲ τὸ οὐ γάρ καὶ τὸ μή ἐκ παραλλήλου.

1463. τὸ ἄνευ καὶ τὸ χωρίς ἐκ παραλλήλου, οὕτως· ὧν χωρὶς οὔποτε ἡ ἐμὴ τοῦδε τοῦ ἀνδρὸς βορᾶς τράπεζα ἐστάθη. δέον δ' εἰπεῖν, ἡ τράπεζα ἐμοῦ τοῦδε τοῦ ἀνδρὸς, ἡ ἐμή πρὸς τὸ τράπεζα εἶπε. καὶ ἔστιν ὅμοιον τῷ (Ἀριστοφ. Βατρ. 211.) "λιμναῖα κρηνῶν τέκνα." σύναπτε δὲ καὶ τὸ μάλιστα μὲν χεροῖν ψαῦσαί μ' ἔασον πρὸς τὸ ταῖν δ' ἀθλίαιν οἰκτραῖν τε. τὸ δὲ αἷν μοι μέλεσθαι διὰ μέσου λέγε. ἔχει δὲ τὸ μὲν τὴν ἀπόδοσιν πρὸς τὸ χερσὶ δ' ἂν θιγών, εἰ καὶ τὸ ἴθ' ὦναξ διὰ μέσου εἴρηται.

1472. τὸ πρὸς θεῶν διὰ μέσου λάμβανε· καὶ ἔστι τοῦτο ὥσπερ δεῖγμα τῆς τούτου πρὸς αὐτὰς προθυμίας.

1478. τῆσδε τῆς ὁδοῦ] τῆς τῆς ἀρχῆς ἐπικρατήσεως, μέχρις οὗ οἱ ἐμοὶ παῖδες ἄξιοι γένωνται. ἢ οὕτω· καὶ σὲ ὁ δαίμων φρουρήσειεν ἐν τῷ βίῳ κρεῖττον ἢ ἐμὲ, ἕνεκα τῆσδε ὁδοῦ, ἧγουν τῆς τῶν θυγατέρων πρὸς ἐμὲ πέμψεως.

1494. τοιαῦτ' ὀνείδη] ἀκούσεται γὰρ ὅτι ὁ Λάϊος ὁ προπένθερος αὐτοῦ, οὗ γυνὴ Ἰοκάστη ἐμίγη τῷ ἰδίῳ παιδὶ, ἃ νῦν ἀπαριθμήσεται.

1502. εἰκότως φθαρῆναι εἶπε, καὶ οὐ τεθνάναι. φθορὰ γάρ ἐστιν ἀληθῶς τὸ μὴ γάμων καὶ τέκνων τυχεῖν, ἀλλ' εἰκῇ καὶ μάτην τὸν αἰῶνα διελθεῖν.

1515. μετοχή ἐστιν ἐνταῦθα τὸ δακρύων. τὸ ὄνομα γὰρ ἀεὶ βραχὺ ἔχει τὸ υ· ἡ μετοχὴ δὲ δύναται καὶ μακρὸν αὐτὸ ἔχειν καὶ βραχύ· ἐνταῦθα δὲ τὸ μέτρον μακρὸν αὐτὸ ζητεῖ ἔχειν.

1520. ἃ μὴ φρονῶ] ἤγουν ἃ μὴ κατὰ νοῦν ἔχω, οὐδὲ διὰ γλώττης προφέρω. τὴν οὖν σὴν ἔξοδον ἐπεὶ ζητεῖς, καὶ αὐτὸς ἐθέλω, οὐκοῦν τεύξῃ ταύτης.

1523. ἀκράτησας] λέγω δὴ τὸ τὸν Λάϊον καταβαλεῖν, ὅτε συνῆψας αὐτῷ μάχην, καὶ τὸ τὰ Σφιγγὸς εὑρεῖν αἰνίγματα.

μηδὲν ἀλγεινὸν καὶ λυπηρὸν παθὼν, ἀλλ' ἀκέραιον τὴν εὐδαιμονίαν διασωσάμενος. ἔστι δὲ τὸ τελευταίαν ἡμέραν καὶ τὸ τέρμα τοῦ βίου ταυτόν. παραφράζει δὲ τὴν τοῦ Σόλωνος ῥῆσιν, ἣν ἔφη πρὸς Κροῖσον, ὅτε αὐτῷ τοὺς θησαυροὺς ἐδείκνυ. ἡ δὲ ἦν, ὡς οὐ χρὴ πρὸ τελευτῆς ἄνδρα μακαρίζειν. Ἄλλως. ὥστε χρὴ πάντα ἄνθρωπον ἐπισκοποῦντα τὴν τελευταίαν ἐκείνην ἰδεῖν ἡμέραν τοῦ θανάτου, καὶ μηδένα μακαρίζειν θνητὸν ὄντα, πρὶν ἂν ὁ τοιοῦτος τὸ τέρμα τοῦ βίου διέλθῃ μηδὲν δεινὸν πεπονθώς.

ΕΙΣ ΤΟΝ ΕΠΙ ΚΟΛΩΝΩι ΟΙΔΙΠΟΥΝ.

900. Ἀπαὶ ῥυτῆρος] ἤγουν ἀπὸ μιᾶς ὁρμῆς. ἀντὶ τοῦ, ὡς ἔχει ἕκαστος σχήματος. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν διωκόντων τινὰς στρατιωτῶν καὶ πάσας ἡνίας χαλώντων, ὥστε ταχύτερον φέρεσθαι. ῥυτῆρας γὰρ τοὺς χαλινούς φασιν, οὐ τὰ ὑποδήματα, ὡς τὰ σχόλια λέγει.

1113. τὸ ἐμφύσα πρὸς τὴν μίαν τῶν παίδων νοητέον, ἵν' εἴη τὸ σα βραχὺ διὰ τὸ μέτρον, ἐπεὶ καὶ πρὸς τὴν μίαν ποιεῖται τὸν λόγον, λέγων· Ὦ παῖ, ποιήσατε τόδε. εἰ δ' ἐπὶ τῶν δύο δυϊκῶς εἶπεις, οὐκ ὀρθὸν ἔσται τὸ μέτρον.

4. Οὔτ' ἄτης, ἄτερ] πάντα τὰ οὔτε τὴν αὐτὴν ἔχει δύναμιν τῷ οὐδέν. εἰ δὲ τοῦθ' οὕτως ἔχει, πῶς ἐροῦμεν τὸ ἄτης ἄτερ; εἰ γὰρ τὸ ἄτερ πρὸς τὸ ἄτης συνάψομεν, ἐναντίον ἔσται οὗ βουλόμεθα· τὸ γὰρ ἄτης ἄτερ, καλόν ἐστι. φαμὲν οὖν ὅτι πρὸς μὲν τὸ ἄτης ὑποστικτέον· μόνον δὲ τὸ ἄτερ λέγε, οὕτως· οὐδὲν οὔτε ἀλγεινόν, οὔτε ἄτης καὶ βλάβης, ἤτοι βλαβερόν. ἄτερ, ἤγουν χωρὶς, ἰδίᾳ, καὶ μοναδικὸν κακόν. ἢ τὸ ἄτερ πρὸς τὸ οὐδὲν ἔχει τὴν δύναμιν, οὕτως· οὐδὲν χωρὶς καὶ ἰδίᾳ ἐστὶν, οὔτε ἀλγεινόν, οὔτε βλάβης, καὶ τὰ ἑξῆς.

6. μὴ λάβῃς εἰς τὸ τῶν σῶν ἔξωθεν τὸ ἐπί, ἀλλ' ὥσπερ φαμὲν, κακοῦ ἀνδρὸς τὸ κατηγορεῖν ἐπίσταμαι, οὕτω καὶ τοῦτο.

11. μὴ λάβῃς εἰς τὸ φίλων ἔξωθεν ὑπέρ, ἀλλὰ πρὸς τὸ μῦθος ἐστὶν ἡ τοιαύτη γενική.

15. ἐπεὶ δὲ φροῦδος] μὴ εἴπῃς τὸ ἐπεί ἀντὶ τοῦ, ἀφ' οὗ, ἀλλ' ὃν τρόπον λέγομεν, ἐπεὶ συνέβη ἐκεῖνο, γέγονε τόδε, οὕτω καὶ τοῦτο. ἐπεὶ δ' ἐν νυκτὶ τῇ νῦν ὁ στρατὸς τῶν Ἀργείων ἐστὶ φροῦδος, ἤτοι ἐντεῦθεν ἀπῆρεν ἐπ' οἶκου, οὐδὲν οἶδ' ὑπέρτερον καὶ ἐπέκεινα τούτου. εἶθ' ὥσπερ ἐφερμηνεύουσα τὸ ὑπέρτερον φησὶν, οὔτ' εὐτυχοῦσα μᾶλλον, οὔτ' ἀτωμένη· τουτέστιν, οὔτ' εἰ εὐτυχῶ μᾶλλον, οὔτ' εἰ ἀτυχῶ, ἐπίσταμαι.

20. καλχαίνουσ'] τὸ καλχαίνω ἐκ μεταφορᾶς τοῦ κόχλου, τοῦ τὴν πορφύραν ἐντὸς κρύπτοντος, εἴρηται· κάλχη γὰρ ὁ κόχλος. εἰκότως δ' ἐτέθη ἡ λέξις. ὥσπερ γὰρ ἡ πορφύρα ἐντὸς οὖσα τοῦ κόχλου ἐν ἀφανεῖ ἐστὶν, ἢ καὶ ὅτι πρὸς τὸ σκοτεινὸν καὶ μελάντερον χρωματίζεται, οὕτω καὶ ὃν αὐτὴ ἔμελλεν εἰπεῖν λόγον μήπω ἐκφανθεὶς, ἄγνωστος καὶ σκοτεινὸς ἦν.

21. τὸ τάφου οὐ πρὸς τὸ προτίσας, ἀλλὰ πρὸς τὸ ἀτιμάσας ἐστὶν, οὕτως· οὐ γὰρ ὁ Κρέων τὼ κασιγνήτω, καὶ τοὺς ἀδελφοὺς ἡμῶν, τὸν μὲν, ἤτοι τὸν Ἐτεοκλέα, προτίσας καὶ προτιμήσας τοῦ Πολυνείκους ἔχει, ἤτοι θάψας· τὸν δὲ, ἤγουν τὸν Πολυνείκην, ἀτιμάσας τάφου, τουτέστιν ἀνάξιον καὶ ἄτιμον ταφῆς κρίνας;

λυνείκην δὲ οὔ, εἰ τελευτὴ σφᾶς κατασχήσει. ἔστιν οὖν τὸ χρησθείς ἀντὶ τοῦ παραγγελθείς. καὶ μὴ εἴπῃς ὅτι τὸ χρησθείς ἀντὶ τοῦ χρησμὸν δεξάμενος λέγεται. ὥσπερ γάρ ἐστι τὸ ἐθέσπισεν οὐ μόνον ἐπὶ θεοῦ, ἀλλὰ καὶ ἐπὶ βασιλέως, οὕτω καὶ τοῦτο. βασιλεὺς γὰρ ἦν ὁ παραγγείλας. σύντασσε δὲ οὕτω· τὸν Ἐτεοκλέα μὲν ἔθαψε κατὰ τῆς χθονὸς σὺν δίκῃ δικαίᾳ, ὡς λέγουσιν, οἱ τὰ ἐκείνου φρονοῦντες δηλονότι, χρησθεὶς καὶ παραγγελθεὶς καὶ ὁρισθεὶς παρ' αὐτοῦ. σὺν δίκῃ δὲ δικαίᾳ, ἐπειδὴ τὸν ὑπὲρ τῆς πατρίδος τετελευτηκότα καὶ ταφῆς ἠξιῶσθαι δίκαιον.

32. κηρύξαντ' ἔχειν] εἰκότως εἶπε τὸ ἔχειν, καὶ οὐκ εἶναι, ἐπειδὴ ἅπαξ κηρύξας εἶχε τοῦτο κεκηρυγμένον.

36. φόνον προκεῖσθαι] οὕτω λέγε, ἢ προκεῖσθαι αὐτὸν φόνον δημόλευστον, ἢ προκεῖσθαι αὐτῷ φόνον δημόλευστον.

39. εἰ ταῦ' ἐν τούτοις] ἤγουν εἰ οὕτως ὡρίσθη παρὰ τοῦ Κρέοντος, τί προσθείμην ἂν ἐγὼ πλέον, λύουσα τὸν ὁρισμὸν καὶ θάπτουσα τὸν Πολυνείκην; ἔστι δὲ τὸ λύουσα καὶ τὸ θάπτουσα διασάφησις τοῦ τί προσθείμην πλέον. καὶ γὰρ τὸ μὴ τοῖς κεκελευσμένοις ὑπείκειν, ἀλλὰ παρὰ ταῦτά τι διαπράττεσθαι, ὥσπερ τις προσθήκη ἐστίν. ἰστέον δὲ ὅτι τὸ ἤ σύνδεσμος ποτὲ μὲν διαζευκτικός ἐστι, ποτὲ δὲ σημασίαν τοῦ καί ἔχει, ὥσπερ καὶ ἐνταῦθα. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι οὐκ ἂν δυναίμην ὑπὲρ τὰ διατεταγμένα ποιεῖν. τοῦτο δ' ἂν ἦν, εἰ ταῦτα λύσασα ἔθαψα τὸν Πολυνείκην, ὅπερ ἐμοὶ καθάπαξ ἀδύνατον.

53. διπλοῦν πάθος] τοῦτο λέγει, ἢ διότι συνῆλθον ἀμφότερα, τὴν αὐτὴν μητέρα αὐτοῦ καὶ γυναῖκα γενέσθαι· ἢ ἐπειδὴ προεῖπεν ὅτι ὁ πατὴρ αὐτῶν δυσκλεὴς ἀπώλετο, ὅπερ ἦν ἓν πάθος· διπλοῦν δὲ τὸ καὶ τὴν μητέρα πεπνίχθαι. διπλασία γὰρ ἐντεῦθεν ἡ δυστυχία αὐτῶν ἐγένετο.

66. μὴ εἴπῃς τὸ βιάζομαι ἀντὶ τοῦ βιάζω, ἀλλ' ὥσπερ φαμὲν, ὀνειδίζομαι τόδε, οὕτω καὶ τοῦτο.

70. ἡδέως δρᾴης] τοῦτο λέγει, ὅτι οὔτε ἀπὸ τοῦ νῦν ἀναγκάσω σε συνθάπτειν τὸν ἀδελφὸν, οὔτ' ἂν, εἰ θέλοις πράσσειν, δρᾴης ἂν μετ' ἐμοῦ ἡδέως, ἀλλ' ἀμελῶς καὶ οὐ μετὰ προθυμίας. ἢ τὸ ἡδέως πρὸς τὴν Ἀντιγόνην νοητέον, οὕτω· δρᾴης ἂν μετ' ἐμοῦ οὐχ ἡδέως

φίλη μετὰ φίλου.

74. εἰκότως εἶπε τὸ πανουργήσασα. λάθρα γὰρ καὶ μετὰ πανουργίας ἔμελλε τὴν ταφὴν ποιήσειν. ἐπεὶ πλείων χρόνος] ἰστέον ὅτι οὕτως ἔδει εἰπεῖν, ἐπεὶ ὁ χρόνος, ὃν δεῖ μ' ἀρέσκειν τοῖς κάτω, πλείων ἐστὶν ἢ ὃν δεῖ μ' ἀρέσκειν τοῖς ἐνθάδε· νῦν δ' οὐ συνέκρινε τὸν χρόνον πρὸς τὸν χρόνον, ἀλλ' ἀνομοιογενῶς τὴν σύγκρισιν ἐποίησε χρόνου καὶ προσώπου, λέγων, πλείων χρόνος τῶν ἐνθάδε ἀνθρώπων.

84. προμηνύσεις] ἰστέον ὅτι οὐ μόνον τὰ εὐκτικὰ ἔστιν ὅτε προστακτικῶν δύναμιν ἔχοντα εὕρηται, ἀλλὰ καὶ ὁριστικὰ ῥήματα ἐπὶ μέλλοντος, ὡς ἔστι κἀνταῦθα. εὕροις δ' ἂν καὶ ἀλλαχοῦ, εἰ ζητοίης.

87. τὸ σιγῶσα οὕτω λέγε· πολλὸν καὶ κατὰ πολὺ ἔσῃ καὶ ὑπάρξεις ἐχθίων ἐμοί, ἐὰν μὴ κηρύξῃς τάδε πᾶσι, σιγῶσα. ἤγουν πλέον ἀχθεσθήσομαί σοι, εἰ σιγήσεις καὶ οὐ πᾶσι κηρύξεις.

100. τὸ ἀκτίς, εἰ καὶ μακρὸν τῷ κανόνι εἴρηται, ἀλλ' ἐνταῦθα βραχύ ἐστιν, ὡς ἐκ τοῦ κώλου τῆς ἀντιστροφῆς ἔστι μαθεῖν. καὶ οἶμαι, διὰ τὸ ἐπὶ κλητικῆς ἐνταῦθα λαμβάνεσθαι, συντέλλεται. ἡ γὰρ κλητικὴ ποτὲ μὲν τὸν ἴσον χρόνον ἔχει τῆς εὐθείας αὐτῆς, ποτὲ δ' ἐλάττονα. τὸ φανέν] δέον οὕτως εἰπεῖν, ἡ φανεῖσα κάλλιστον φῶς, πρὸς τὸ φῶς ἔτρεψε τὴν σύνταξιν, τὸ φανὲν κάλλιστον φῶς εἰπών. καὶ ἔστιν ὅμοιον τῷ παρὰ τῇ Μυοβατραχομαχίᾳ (115.)

ξύλινον μέρον ἐξευρόντες,
ἣν παγίδα καλέουσιν.

104. διὰ τὸ ἐν Δίρκῃ παρακεῖσθαι τοὺς πολεμίους, διὰ τοῦτο ὑπὲρ Διρκαίων ῥεέθρων καλλίστην φανῆναι τὴν ἡμέραν φησὶν, ἀπαλλαγέντων τῶν παρακειμένων. νόει δὲ πρὸς τὸ ἐφάνθης τὸ κάλλιστον ἀπὸ κοινοῦ· τὸ δὲ μολοῦσα πρὸς τὸ σημαινόμενον.

110. ὃν ἐφ' ἡμετέρᾳ γᾷ] Πολυνείκης] δέον οὕτως εἰπεῖν, ὃν ἐφ' ἡμετέρᾳ γᾷ ἤγαγε Πολυνείκης, ὁ δὲ ἀετῷ παρεικάσας αὐτὸν, πρὸς τοῦτο καὶ τὴν σύνταξιν ἔτρεψεν. ἀετοῦ γάρ ἐστι τὸ ὑπερίπτασθαι. τὸ δὲ ὃν ἐφ' ἡμετέρᾳ γᾷ ἀσύντακτον εἴασε. διὰ τοῦτο καὶ τὸ ἐς γᾶν πάλιν τέθεικεν. εἰκότως δὲ τὰς ἀσπίδας παρείκασε πτέρυγι· σχῆμα γὰρ πτερύγων ἐπέχουσι τῷ φέροντι. ἐτήρησε δὲ τὴν τροπήν· ἀετοῦ γὰρ αἱ πτέρυγες. παράδειγμα δὲ τοῦ ὃν ἐφ' ἡμετέρᾳ γᾷ τόδε παρὰ

ἔστιν οὖν τὸ τῶν Ἀθηναίων ἀναπαίστοτον.

121. ἰστέον ὅτι πρὸς τὸ ἀετὸς εἶπε τὸ γένυσι, καὶ τὸ ἑπτάπυλον στόμα, ἀπὸ τοῦ ἄστεος ἑπταπύλου ὄντος καὶ τὸ στόμα αὐτοῦ ἑπτάπυλον εἰπών· ἢ διότι ἑπτὰ στρατηγοῖς περιέλαβεν αὐτό. τινὲς δὲ τὸ ἑπτάπυλον στόμα πρὸς τὸ ἄστυ νοοῦσι, τὸ ἑπτὰ πύλας καὶ στόματα ἔχον.

127. Ζεὺς γὰρ] αὕτη ἡ κατασκευή ἐστι πρὸς τὸ ἔβα. τὸ δὲ τοῖος ἀμφὶ νῶτ' ἐτάθη ἕως τοῦ δράκοντι, διὰ μέσου.

130. τὸ χρυσοῦ καναχῆς ἢ πρὸς τὸ πολλῷ ῥεύματι συναπτέον οὕτως, ἐν πολλῷ ῥεύματι καναχῆς καὶ κτύπου χρυσοῦ προσερχομένους, ἤγουν μετὰ μεγάλης καὶ πλουσίας παρασκευῆς. ἢ πρὸς τὸ ὑπεροπτίας οὕτως, ὑπέρφρονας χρυσοῦ καναχῆς, ἤτοι χρυσοῦ, περιφραστικῶς· τουτέστιν, ὑπὲρ χρυσὸν σοβοῦντας· οὐχ ὅτι ἐστὶν ὁ χρυσὸς αὐτὸς καθ' ἑαυτὸν σοβαρός· πῶς γὰρ, ἄψυχος ὕλη οὖσα; ἀλλ' ὅτι τοὺς ἔχοντας ποιεῖ τοιούτους. ἰστέον δὲ ὅτι διὰ πάντας τοὺς Ἀργείους πρῶτον εἰπὼν, πρὸς τὸν Καπανέα τὸν λόγον ἔτρεψεν. οὗτος γὰρ κεκεραύνωται. καὶ ἔστιν ὅμοιον τῷ παρὰ Θουκυδίδῃ. ἐκεῖνος γὰρ περὶ τῶν Ἀθήνηθεν νεῶν τὸν λόγον ποιούμενος ἔτρεψε τὸν λόγον πρὸς τοὺς αὐτῶν στρατηγούς. (1, 49.) "Ἐν ᾗ αἱ Ἀττικαὶ νῆες παραγενόμεναι "τοῖς Κερκυραίοις, εἴ τοι πιέζοιντο, φόβον μὲν παρεῖχον, μάχης δ' "οὐκ ἦρχον, δεδιότες οἱ στρατηγοὶ τὴν πρόρρησιν τῶν Ἀθηναίων." βαλβὶς δὲ καὶ ἀφετηρία ἡ ἀρχὴ τοῦ δρόμου. βαλβίδων οὖν ἐνταῦθα λέγει τῶν τειχῶν, ἐφ' ὧν παρὰ μικρὸν ἂν ἐπιβὰς Καπανεὺς, εἰ μὴ κεραυνῷ ἐπεσχέθη, ἔμελλε δραμεῖσθαι πρὸς πᾶσαν τὴν πόλιν, νικητὴς αὐτῆς.

138. εἶχε δ' ἄλλῃ τάδε] ἤγουν τὰ πράγματα δὲ τάδε ἦν ἀλλοτρόπως ἔχοντα, ἃ τότε συνέβαινεν. ἡμᾶς γὰρ περιβαλεῖν κακοῖς βουλόμενοι αὐτοὶ τούτοις ἐνέπεσον. ἄλλα γὰρ κακὰ ἐπ' ἄλλοις, κακοῖς δηλονότι, ἐπενώμα καὶ ἐπέφερε, ταράσσων τὰ πράγματα ὁ Ἄρης. οὕτως οὖν χρὴ γράφειν ἄλλῃ, καὶ ἐπ' ἄλλοις, ὡς καὶ ἔν τινι τῶν παλαιῶν βιβλίων εὕρηται, καὶ οὕτω συντάσσειν ὡς εἴρηται.

140. δεξιόσειρος] τοῦτο εἴρηται ἀπὸ μεταφορᾶς τοῦ δεξιοῦ πρὸς τῷ ἅρματι ἵππου.

τῶν ὅπλα τοῖς θεοῖς ἀναθεῖναι. πλὴν τοίν στυγεροῖν] οὗτοι γὰρ εἰ καὶ ἀπέθανον, ἀλλὰ διότι οὐ διεκρίθη αὐτῶν ἡ νίκη, διὰ τοῦτο οὐκ ἀνετέθη τὰ ὅπλα αὐτῶν τοῖς θεοῖς.

151. θέσθαι] θελήσατε, ἤγουν ἔκθεσθε καὶ ποιήσατε λησμοσύνην τῶν πολέμων τῶν νῦν. σύναπτε δὲ τὸ ἐκ πρὸς τὸ θέσθαι.

154. ἐλελίχθων] ἤγουν ὁ κινῶν διὰ τῶν χορῶν τὰς Θήβας. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ (Αἰσχύλ. Ἑπτὰ ἐπὶ Θήβ. 109.) πολισοῦχοι χθονός.

160. λέσχη, κυρίως ἡ πολυλογία. ἐπεὶ δὲ τῇ βουλῇ πολλῶν λόγων δεῖ, διὰ τοῦτο λέσχην τὴν βουλὴν νῦν καλεῖ.

167. τοῦτ' αὖθις] δέον εἰπεῖν, τοῦτο δ' αὖθις, ἀσυνδέτως εἶπε. καὶ ἔστιν ὅμοιον τῷ (Αἴαντι 56.)

κἀδόκει μὲν ἔσθ' ὅτε
δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
ὅτ' ἄλλοτ' ἄλλον ἐμπιτνῶν στρατηλατῶν.

174. τὸ ἀγχιστεῖα οὐδέτερόν ἐστιν, ἀντὶ τοῦ ἀγχιστείαν καὶ συγγένειαν· καὶ ἔστιν ὅμοιον τῷ γνῶμα, ἤτοι γνωμάτευμα καὶ νοῦν, ὡς ἐν τούτῳ τε εὕρηται (Τραχιν. 593.)

ἔχειν, ἔχοις ἂν γνῶμα, μὴ πειρωμένη.

καὶ ἐν Εὐριπίδῃ (Ἡρακλείδαις 407.)

πόλλ'· ἓν δὲ πᾶσι γνῶμα ταὐτὸν ἐμπρέπει.

177. φησὶ γὰρ Βίας ὁ Πριηνεύς, "ἀρχὴ ἄνδρα δείξει."

206. αἰκισθέντ' ἰδεῖν] τοῦτο καθ' ὅλον καὶ μέρος· τὸ μὲν αἰκισθέντα ὅλον, τὸ δὲ δέμας μέρος.

218. τί δῆτ' ἂν ἄλλῳ τοῦτ'] τοῦτο οὕτως εἴποις· τί δῆτα ἐντέλλοις ἂν καὶ προστάξειας ἡμῖν ἔτι καὶ εἰς τὸ ἑξῆς τοῦτο, ὃ μέλλεις εἰπεῖν, ἐπ' ἄλλῳ, ἤγουν ἐπὶ τῷ πρώην ῥηθέντι. ἄλλο δὲ ἐπ' ἄλλῳ ὀφείλων εἰπεῖν, τοῦτο εἶπεν.

225. πολλὰς γὰρ εὗρον] ἤγουν πολλαὶ φροντίδες ἐπέστησαν, καὶ ἐπῆλθον ἐμοὶ ἀναχωρήσεως. τὸ δὲ ὁδοῖς κυκλῶν ἐμαυτόν, ἢ ἀντὶ οὗ, στρέφων ἐμαυτὸν εἰς ἀναχώρησιν ἐν ταῖς ὁδοῖς, δι' ὧν ἐπορευόμην ἢ ἐν ὁδοῖς καὶ ἀναπολήσεσι κυκλῶν ἐμαυτόν, τουτέστι κατὰ νοῦν στρέφων τὴν ἀναχώρησιν.

ἐξέφυγεν. σημεῖα] πολλάκις γὰρ καὶ κύνες καὶ λέοντες καὶ ἄρκτοι σπαράξαντές τι ζῶον καὶ καταβρώξαντες ὅσον ἠβούλοντο, τὸ λοιπὸν κατέχωσαν εἰς δευτέραν τράπεζαν αὐτοῖς γενησόμενον.

259. ἐπειδὴ γὰρ οἱ λόγοι τῶν φυλάκων ἦσαν, διὰ τοῦτο πρῶτον εἰπὼν λόγοι, εἶτα φύλαξ ἐλέγχων φύλακα εἶπε. καὶ ἔστιν ὅμοιον τῷ παρὰ Θουκυδίδῃ· ἐκεῖνος γὰρ περὶ τῶν Ἀθηναίων νεῶν τὸν λόγον ποιούμενος πρὸς τοὺς αὐτῶν στρατηγοὺς μετέβη οὕτως εἰπών "Ἐν ᾗ " αἱ Ἀττικαὶ νῆες παραγενόμεναι τοῖς Κερκυραίοις, εἴ ποι πιέζοιντο, " φόβον μὲν παρεῖχον τοῖς ἐναντίοις, μάχης δ' οὐκ ἦρχον, δεδιότες οἱ " στρατηγοὶ τὴν πρόρρησιν τῶν Ἀθηναίων."

275. εἰκότως εἶπε τὸ καθαίρει· κίνδυνον γὰρ παρὰ τοῦ Κρέοντος ἐδόκει αὐτῷ ἡ ἀγγελία ἐνεγκεῖν· ἢ ἐπειδὴ πρώην μὲν ἄκαμπτος ἦν καὶ οὐκ ἐβούλετο τοιαῦτα ὑπηρετεῖν, ὕστερον δὲ ὑπὸ τοῦ πάλου ταύτην τὴν γνώμην κατέβαλε καὶ ἄκων εἰς τοῦτο ἐχώρησεν.

282. ἢ τὸ δαίμονας λέγων πρόνοιαν ἴσχειν διὰ μέσου, τὸ δὲ λέγεις οὐκ ἀνεκτά πρὸς τὸ τοῦδε τοῦ νεκροῦ πέρι· ἢ πρὸς τὸ λέγεις οὐκ ἀνεκτά ὑποστικτέον.

289. τὸ ταῦτα ἢ ἀντὶ τοῦ τὴν Πολυνείκους ταφὴν νοητέον, ἵν' ᾖ τὸ μόλις φέροντες ἀντὶ τοῦ οὐ προφανῶς, ἀλλὰ συνεσταλμένως προτείνοντες· ἢ ἀντὶ τοῦ, ἃ περὶ Πολυνείκους ἐθέσπισα, ἵν' ᾖ τὸ μόλις φέροντες ἀντὶ τοῦ δυσχερῶς καὶ βαρέως ταῦτα δεχόμενοι.

296. εἰκότως εἶπε τὸ νόμισμα. ἐκ νόμου γὰρ πάντα ἐτάχθησαν ἐνεργεῖσθαι. 299. τὸ βροτῶν πρὸς τὸ φρένας συναπτέον, ἢ πρὸς τὸ πράγματα, οὕτω· πρὸς αἰσχρὰ πράγματα ἐλθεῖν βροτῶν, ἤτοι πρὸς δυστυχίας καὶ ἀφανισμούς.

323. ἦ δεινὸν] ἦ καὶ ὄντως ἐὰν δοκῇ καὶ ὑπολαμβάνῃ τις κατὰ τινός τι, δεινὸν καὶ χαλεπὸν ὑπάρχει καὶ τὸ δοκεῖν καὶ ὑπολαμβάνειν ψευδῆ. δέον δὲ εἰπεῖν, καὶ ἐὰν δοκῇ ψευδῆ, δοκεῖν εἶπε. καὶ εὕροις ἂν πολλὰ τοιαῦτα ἑτέρως σχηματιζόμενα καὶ οὐ πρὸς τὴν ἔμπροσθεν σύνταξιν. λέγει δὲ τὸ ψευδῆ δοκεῖν, διὰ τοῦτο, ὅτι εἰ καὶ ἡ ψευδὴς δόξα οὐ τοσοῦτον λυπεῖ, ἀλλ' ὅλως τὸ δοξάζειν κακόν ἐστιν.

327. ἀλλ' εὐρεθείη] τοῦτο ἀρχόμενος ἀπιέναι ἔλεγε, μὴ ἀκούοντος Κρέοντος. ἦ γὰρ ἂν κατὰ νώτου πολλὰς ἐδέξατο.

ἀπαύστων καὶ ἀϊδίων θεῶν. τὸ εἰλομένων δὲ ἀντὶ τοῦ τῶν ἀπὸ ἔτους εἰς ἔτος κινουμένων πρὸς τὸ ἀροτριᾶν ἀρότρων. εἰλομένων δὲ εἶπεν, ἐπειδὴ, ὥσπερ κύκλου τινὸς τοῦ χρόνου διερχομένου, κατὰ τὸν αὐτὸν ἀεὶ καιρὸν κινοῦσι πρὸς τὸ ἀροῦν ἄροτρα, ὥσπερ δὴ καὶ πρὸς τὸ θερίζειν δρέπανα, τὰ μὲν ἐν χειμῶνι, τὰ δ' ἐν θέρει.

351. ἀμφίλοφον] ἤγουν κατ' ἄμφω τὰ μέρη ἐπαναστήματα ἔχοντα· ἢ τὸν περικείμενον τοῖς λόφοις καὶ τραχήλοις τῶν ζώων.

356. εἰκότως εἶπεν ὀργάς· οἱ γὰρ μὴ πειθόμενοι τοῖς νόμοις χαλεπῶν αὐτῶν πειρῶνται. ἰστέον ὅτι τῷ ἐδιδάξατο οἱ ῥήτορες ἀντὶ τοῦ εἰς διδασκάλου ἔπεμψε χρῶνται. φησὶ γὰρ Ἀριστείδης "οὐκ ἐδι- "δάξατο τοὺς παῖδας, ἀλλ' ἐδίδαξεν αὐτός." καὶ Ἀριστοφάνης (Νεφ. 1338.)

ἐδιδαξάμην μέντοι σὲ, νὴ Δί', ὦ μέλε,
τοῖσιν δικαίοις ἀντιλέγειν.

νῦν δὲ ἀντὶ τοῦ ἐφεῦρε καὶ ἐδίδαξε κεῖται.

366. τὸ τέχνας οὐκ ἔστι γενικὴ, ὡς οἴονταί τινες, ἀλλ' αἰτιατικὴ, οὕτως· ἔχων τὸ μηχανόεν καὶ τὸ ἐφευρίσκον τέχνας, τουτέστι τὸ μηχανᾶσθαι καὶ περινοεῖν τέχνας, σοφὸν ὑπὲρ ἐλπίδα.

371. ὅτῳ τὸ μὴ καλόν] ἤγουν ὅστις δι' οἰκείαν κακίαν ἀμέτοχός ἐστι τῶν καλλίστων, καὶ οὐ κατὰ νόμους καὶ θείαν βούλησιν φέρεται. τοῦτο δὲ λέγει διὰ τὸν θάψαντα Πολυνείκην. εἰς τοῦτο γὰρ φέρει καὶ τὸ τόλμης χάριν. ἐκ δὲ τούτου πίστιν καὶ ἀσφάλειαν ἑαυτῷ περιποιεῖται ὁ χορὸς πρὸς τὸν Κρέοντα, τὰ συμφέροντα αὐτῷ φθεγγόμενος. ὕστερον δὲ ἀπορῶν εἰς θεοὺς ἀναφέρει τὸ πρᾶγμα, καὶ δαιμόνιον τέρας φησὶ τὴν ταφήν.

392–4. σύναπτε τὸ ἀλλὰ πρὸς τὸ ἥκω. τὰ λοιπὰ δὲ διὰ μέσου λέγε. τὸ δ' ἐκτὸς καὶ παρ' ἐλπίδας ἐκ παραλλήλου.

417. ἡ σύνταξις, καὶ τότ' ἐξαίφνης ὁ τυφὼς, οὗτος γὰρ στροβίλων καὶ καταιγίδος ἔφορός ἐστιν, ἀείρας καὶ ἐπάρας σκηπτὸν καὶ στροβιλώδη ἄνεμον, ἄχος καὶ λύπην οὐράνιον καὶ ἀερώδη, λυπηρὸς γὰρ ἡμῖν οὗτος ὁ ἄνεμος, ὅταν πνεύσῃ, πίμπλησι καὶ γεμίζει τὸ ἐκεῖ πεδίον ὕλης πεδιάδος, ἤτοι τοῦ ἐν γῇ συρφετοῦ, αἰκίζων καὶ μαστίζων πᾶσαν φόβην καὶ τρίχωσιν χθονὸς, βοτάνας λέγω καὶ δένδρα.

ἡ εὐνὴ ἐστι· καὶ τὸ κενῆς καὶ τὸ ὀρφανόν ταὐτόν ἐστι, πρὸς μὲν τὸ εὐνῆς τὸ κενῆς λέγε, πρὸς δὲ τὸ λέχος τὸ ὀρφανόν. μὴ στίξας δὲ εἰς τὸ φθόγγον ἀσυνδέτως τὴν παραβολὴν ἔκφερε, πλανηθεὶς ἐκ τοῦ οὕτω δέ· ἀλλ' ἡ μὲν παραβολὴ πρὸς τὸ ὄρνιθος ἔχει τὴν δύναμιν, μηδὲν ἐμποδιζομένη, τοῦ οὕτω δέ λείποντος. τὸ δὲ οὕτω δέ διὰ τοῦτο ἐπέφερεν, ἵνα σύνδεσμον τῆς ἐφεξῆς ἐννοίας ποιήσῃ, καὶ ἔστι ζῆλος Ὁμηρικός.

451. ξύνοικος τῶν κάτω θεῶν δίκη] ἤγουν τὸ δίκαιον, ὅπερ ἡ Περσεφόνη καὶ ὁ Πλούτων περὶ τῶν ζώντων νομίζουσι. λέγω δὴ τὸ θάπτεσθαι αὐτοὺς θανόντας.

455. τὸ θνητὸν ὄντα ἢ πρὸς τὸν Κρέοντα νόει οὕτως, ὥστε ὑπερδραμεῖν καὶ ὑπερβῆναί σε τὰ νόμιμα τῶν θεῶν, ὄντα θνητόν, τουτέστι κρείττονα τῶν θεῶν φανῆναι, διὰ τὸ μὴ δύνασθαί τινα ὑπὸ τοῦ σοῦ φόβου ἃ προστάττουσιν ἐκεῖνοι ποιεῖν· ἢ τὸ θνητὸν ὄντα ἀντὶ τοῦ, τινὰ ἄνθρωπον, οὕτως· ὥστε ὑπερδραμεῖν καὶ ὑπερβῆναι τινὰ θνητὸν ὄντα τὰ νόμιμα τῶν θεῶν διὰ τὸν σὸν φόβον. κρεῖττον δὲ τὸ πρῶτον.

475. περισκελῆ] τοῦτο ἢ πρὸς τὸ ἐγκρατέστατον συναπτέον, ἢ πρὸς τὸ ὀπτὸν ἐκ πυρὸς οὕτως· εἰσίδοις ἂν καὶ θεάσαιο τὸν ἐγκρατέστατον σίδηρον θρανσθέντα καὶ ῥαγέντα πλεῖστα καὶ κατὰ πολὺ, ὀπτὸν ἐκ πυρὸς περισκελῆ, ἤτοι ἄγαν βαφέντα καὶ ἔντονον γενόμενον.

478. ἐκπέλει] τὸ ἐκ πρὸς τὸ πέλει, ἤγουν ἐκπέλει καὶ ἔξεστιν· ἢ πρὸς τὸ τῶν πέλας συναπτέον, ἤγουν ἐκ τῶν πέλας καὶ τῶν συγγενῶν.

485. τὸ ταῦτα κράτη ἢ πρὸς τὴν Ἀντιγόνην νοητέον· ταῦτα κράτη, ἤγουν ἡ τοιαύτη ταύτης ὑπεροψία. ἢ πρὸς τὸν Κρέοντα, ἵν' ᾖ ταῦτα τὰ κράτη, ἤγουν ἡ ἐμὴ βασιλεία.

514. τὸ δυσσεβῆ πρὸς τὸ ἐκείνῳ συναπτέον.

520. ἢ πρὸς τὸ ἀλλά ἔξωθεν λάμβανε τὸ, οὐχ ὑπάρχει νόμος, οὕτως· ἀλλ' οὐχ ὑπάρχει ὁ ἄνθρωπος νόμος, ἤγουν οὐ νενομισμένον ἐστὶ λαβεῖν ἴσον καὶ ὅμοιον τῷ κακῷ· ἢ οὕτως· ἀλλ' οὐκ ἴσον καὶ ὅμοιον ὑπάρχει ὁ χρηστὸς ἄνθρωπος τῷ κακῷ, ὥστε λαβεῖν τὴν αὐτὴν τιμὴν δηλονότι.

λῶ, ἀλλὰ καὶ δοτικῇ, ὡς ἐνταῦθα. φησὶ δὲ καὶ Αἰσχύλος (Πέρσ. 842.)

ὡς τοῖς θανοῦσι χρήματ' οὐδὲν ὠφελεῖ.

569. γύαι] διὰ τὸ μέτρον ἐν τῷ γύαι ἐξεβλήθη τὸ ι. εἰ δὲ μετὰ τοῦ ι βούλει γράφειν, ἔστω σοι ἀντὶ κοινῆς συλλαβῆς.

582. εὐδαίμονες] ταῦτα λέγει ὁ χορὸς διὰ τὸ τοῦ Λαΐου γένος, ὅτι εὐδαίμονές εἰσιν οἷς ὑπῆρξεν ὁ βίος καὶ ὁ τῆς ζωῆς χρόνος ἄγευστος καὶ ἀμέτοχος κακῶν. οἷς γὰρ ἂν ἀνθρώποις σεισθῇ καὶ ἀνατραπῇ καὶ δυστυχήσῃ ὁ δόμος θεόθεν καὶ ἀπὸ θεοῦ, οὐδὲν ἄτης καὶ δυστυχίας ἐλλείπει, ἕρπον καὶ φερόμενον ἐπὶ τὸ πλῆθος τῆς αὐτῶν γενεᾶς. ὅμοιον ὥστε καὶ ὥσπερ οἴδμα καὶ κῦμα ποντίας ἁλὸς, κυλίνδει καὶ ἀνακυκᾷ ἐν στόνῳ καὶ ταραχῇ βυσσόθεν καὶ ἀπὸ βυθοῦ θῖνα κελαινήν, ἤτοι τὴν ἐν τῷ βυθῷ κεκρυμμένην κόνιν, τὴν δυσήνεμον καὶ τὴν δυσκόλως ὑπὸ τῶν ἀνέμων ἀνατρεπομένην, ὅταν ἐν πνοαῖς Θρήσσαις καὶ Θρᾳκικαῖς δυσπνόοις καὶ κακῶς καὶ ἀγρίως πνεούσαις, ἐπὶ τὸ ἔρεβος καὶ τὸ βάθος τῆς ἁλὸς δράμῃ καὶ ἐπέλθῃ τὸ κῦμα δηλονότι.

599. ἐσχάτας ὑπὲρ ῥίζας] ἐσχάτην ῥίζαν νόει Ἀντιγόνην καὶ Ἰσμήνην. λέγει δὲ φάος ἐν τοῖς δόμοις τοῦ Οἰδίποδος ἀνατεῖλαι, διὰ τὸ ἀπαλλαγὴν γεγονέναι τοῦ πολέμου καὶ τῶν πραγμάτων εἰς κατάστασίν τινα ἐλθόντων. τὸ δὲ φοινία θεῶν τῶν νερτέρων ἁμᾷ κόνις, ἀντὶ τοῦ, τὴν ἐσχάτην ῥίζαν θερίζει ὁ Ἅιδης. εἰκότως δὲ τὸ κόνις τέθειται. διότι γὰρ ἐκάλυψεν Ἀντιγόνη τὸν ἀδελφὸν Πολυνείκην κόνει, διὰ τοῦτο τεθνήξεσθαι ἔμελλε. δέον δὲ εἰπεῖν, ἁμᾷ δέ νιν, ὁ δὲ ἀσυνδέτως ἐπήγαγε. σύναπτε δὲ καὶ τὸ κατά πρὸς τὸ ἁμᾷ, ἤτοι καταμᾷ καὶ θερίζει καὶ καταβάλλει νιν καὶ αὐτὴν ἡ κόνις τῶν νερτέρων θεῶν. ποταπή; φοινία, ἤγουν φόνον αὐτῇ προξενοῦσα.

606. ὁ παντογήρως] ὁ πάντας καταβάλλων· τὸ γὰρ γῆρας ὥσπερ καταβολή ἐστιν. ἢ ὁ ἀΐδιος.

607. οὕτω χρὴ γράφειν ἀκάματοί τε θεῶν, ἵν' ᾖ ὅμοιον τῷ τῆς ἀντιστροφῆς κώλῳ.

608. ἀγήρως] τοῦτο πρὸς τὸ δυνάστας σύναπτε, ἤγουν δεσπότης οὐχ ὑπὸ χρόνου γηράσκων.

612. πρὸς τὸ μέλλον τέθειται μόνον τὸ ἀρκέσει· τὸ γὰρ ἔπειτα

πρὸς τὸ ἔπειτα, μέλλοντος μέλλον καὶ χρόνου παράτασις. εἰ δὲ μή, τὸ πρίν διπλοῦν νόει, καὶ ἀντὶ τοῦ νῦν, καὶ ἀντὶ τοῦ πάλαι. τὸ γὰρ νῦν καὶ πάλαι τοῦ ἔπειτα πρότερόν ἐστι. τὸ δὲ τοῦ ἔπειτα τε ἀντὶ τοῦ καί ὂν πρὸς τὸ ἐπαρκέσει σύναπτε.

613. νόμος ὃδ' οὐδὲν ἕρπει] τοῦτο οὕτω νόει. ὅδε ὁ νόμος, ὃν ἐπὶ τῆς ἀρχῆς τοῦ Διὸς ἔφαμεν, οὐδὲν καὶ οὐδαμῶς ἕρπει καὶ φέρεται πάμπολις καὶ παγκόσμιος τῷ βίῳ τῶν θνητῶν ἄτερ καὶ χωρὶς ἄτης. τουτέστιν, ὃ περὶ τῶν θεῶν ἔφαμεν, οὐκ ἔστι περὶ ἀνθρώπων εἰπεῖν. ἀλλ' οἱ μὲν ἀπαθεῖς καὶ ἄφθαρτοι, οἱ δὲ ἄνθρωποι θνητοὶ καὶ παθητικοί.

615. ἃ γὰρ δὴ] αὕτη ἡ κατασκευὴ πρὸς τὸ νόμος ὅδ' οὐδὲν ἕρπει ἐστὶν, εἰ καὶ ἀσαφὴς ἐκ τοῦ φανεροῦ δοκεῖ. οὕτω γὰρ νοεῖται. ὁ νόμος ὁ εἰς τοὺς θεοὺς οὐκ ἔστιν ἐν ἀνθρώποις, ἀλλὰ δυστυχίαις ὑποπίπτουσιν. ἐλπίσι γὰρ ἀπατώμενοι ὡς, εἰ τόδε ποιήσαιεν, καλῶς αὐτοῖς ἕξει, ποιοῦντες εἰς δυστυχίας ἐμπίπτουσιν, ὃ δὴ καὶ Ἀντιγόνη πέπονθε.

624. θεὸς ἄγει πρὸς ἄταν] ἤγουν οἱ θεοὶ ὃν βούλονται δυστυχεῖν ἄγουσι πρὸς βλάβην. τοῦτο δὲ λέγει διὰ τὴν Ἀντιγόνην δοκοῦσαν τὸ θανεῖν ἥδιστον.

683. θεοὶ φύουσιν] τοῦτο λέγει, διότι προϊὼν μέλλει εἰπεῖν ὡς ἄνομον ἡγεῖται ἡ πόλις τὸ σὸν κατὰ τῆς παιδὸς θέσπισμα, ὡσανεὶ λέγων, ὡς ἐπειδὴ τὸ φρονεῖν θεόθεν ἀνθρώποις, λόγον ἂν ἔχοι καὶ τὴν πόλιν καλῶς λέγειν.

704. τὸ ἄγαλμα πρὸς τὸ εὐκλείας συναπτέον, ἵν' ᾖ εὐκλείας ἄγαλμα, ἤτοι εὔκλεια.

723. μὴ λάβῃς εἰς τὸ λεγόντων ἔξωθεν τὸ ἀπό, ἀλλὰ πρὸς τὸ μανθάνειν ἐστὶν ἡ γενική. ὥσπερ γάρ φαμεν, ἥδε τῶν καλῶν μάθησις, οὕτω καὶ τοῦτο. ὁ γὰρ λέγων τι χρηστὸν, οὗτος τὸ μανθάνειν οἷον γεννᾷ, καὶ αἴτιος τοῖς ἄλλοις τούτου καθίσταται.

737. πόλις γὰρ οὐκ ἔσθ'] δεῖ γὰρ τὴν τῶν πολλῶν γνώμην πράττειν τὸν ἄρχοντα, καὶ τοὺς πολλοὺς τὴν αὐτοῦ.

748. ἰστέον ὅτι τὸ γοῦν ἐνταῦθα δύναμιν ἔχει τοῦ γάρ. καὶ εὕροις ἂν πανταχῇ τῶν λογοποιῶν ἐξετάζων. εὕρηται δὲ καὶ τὸ γε μόνον

δι' ἑαυτὸν τοῦτο ἐνόησε. δέον δὲ εἰπεῖν, θρασέως, θρασύς εἶπε πρὸς τὸ ἐπεξέρχῃ.

760. τὸ κατ' ὄμματα καὶ τὸ πλησία ἐκ παραλλήλου.

765. οὕτω τὸ μαίνῃ συντάσσων λέγε· ὡς καὶ ἵνα μαίνῃ καὶ ὀργίζῃ τοῖς θέλουσι τῶν φίλων· ἐγὼ δὲ οὐχὶ θυμουμένῳ πείσομαι.

767. τὸ ἔστι πρὸς τὸ βαρύς συναπτέον, οὕτως· ὁ τηλικοῦτος δὲ καὶ ὁ νέος νοῦς, ὁποῖος ὁ τοῦ Αἵμονος, ἀλγήσας καὶ λυπηθεὶς βαρύς ἐστιν.

773. σύντασσε οὕτω· κρύψω αὐτὴν ζῶσαν ἐν κατώρυχι καὶ ὀρύγματι πετρώδει, ἤγουν πέτραν ὀρύξας, ταύτην κατακρύψω, ἄγων καὶ φέρων ἔνθ' ἂν ᾖ καὶ ὑπάρχῃ ὁδὸς ἔρημος βροτῶν, ἤγουν ἔνθα οὐ διατρίβουσιν ἄνθρωποι, προθεὶς καὶ ἔμπροσθεν αὐτῆς θεὶς τοσοῦτον μόνον φορβῆς καὶ τροφῆς, ὡς καὶ καθὰ ἄγος καὶ μίασμα, ἤγουν ὡς μισητῇ μερικὴν αὐτῇ τροφὴν δοὺς, ὅπως καὶ ἵνα ἐκφύγῃ ἡ πόλις πως καὶ κατὰ τρόπον τινὰ τὸ μίασμα καὶ τὴν ἁμαρτίαν, καὶ παρὰ πάντων μέμψιν, ὡς λιμοκτονήσασα αὐτὴν ἀπώλεσε.

778. τὸ μὴ θανεῖν] τοῦτο πρὸς τὸ αἰτουμένη συναπτέον, οὐ πρὸς τὸ τεύξεται, οὕτω· κἀκεῖ τὸν Ἅιδην, ὃν μόνον σέβει θεῶν, αἰτουμένη καὶ ζητοῦσα τὸ μὴ θανεῖν, ἴσως τεύξεται τούτου.

782. ὃς ἐν κτήμασι] οὐ γὰρ μόνον ἀνθρώπων, ἀλλὰ καὶ κτημάτων ἐρῶμεν· ὅθεν ἡ πλεονεξία γίνεται.

790. μέμηνε] ἤτοι τοῦ καθεστηκότος ἐξίσταται, καὶ κατέχειν ἑαυτὸν οὐ δύναται.

791. σὺ καὶ δικαίων] οἱ γὰρ σώφρονες καὶ δίκαιοι, οἱ μὲν ὑπὸ κάλλους γυναικῶν, οἱ δὲ ὑπὸ κτημάτων ἐπιθυμίας τὴν ἑαυτῶν φύσιν ἠρνήσαντο.

794. νικᾷ δὲ] ἤγουν ὁ τῆς Ἀντιγόνης ἔρως πλέον ἴσχυσε τοῦ πατρικοῦ φίλτρου. δέον δὲ εἰπεῖν, νικᾷ ἐναργῶς, ἐναργὴς εἶπε πρὸς τὸ ἵμερος.

798. πάρεδρος] πάρεδρον λέγει τὸν Ἔρωτα τῶν μεγάλων ἐν ἀρχαῖς νόμων, ὡς κατακρατοῦντα ἀνθρώπων, καθάπερ καὶ τὰ μεγάλα παρὰ τῶν θεῶν νόμιμα. ἄμαχος] πρὸς τὸ νικᾷ ἐστὶν ἡ κατασκευὴ,

804. εἰ μὲν τὸ παγκοίταν τὸν Ἅιδην νοήσεις, ἀντὶ τοῦ πάγκοινον εἴποις· εἰ δὲ τὸν τάφον τῆς Ἀντιγόνης, ἀντὶ τοῦ, εἰς ὃν ἀεὶ κοιτασθήσεται.

806. γᾶς πατρίας γράφε, μὴ πατρῴας. οὐ γὰρ ἁρμόζει τῷ μέτρῳ οὕτως.

824. ξένην λέγει τὴν Νιόβην, ἢ ἀντὶ τοῦ φίλην, ὡς θυγατέρα τοῦ Ταντάλου, ἢ διὰ τὸ μὴ Ἑλληνίδα εἶναι· βάρβαροι γὰρ οἱ Φρύγες· ἢ διὰ τὸ δυστυχῆ εἶναι, καθάπερ αὐτὴ φίλην ἑαυτῆς λέγει. Σιπύλῳ πρὸς ἄκρῳ] Σίπυλον ὄρος ἐν Ἀσίᾳ, ὅπερ οἱ μὲν περὶ τὴν Σμύρναν εἶναί φασιν, οἱ δὲ ἀνωτέρω, ὃ νῦν Κουζηνᾶς ὀνομάζεται, ἔνθα φασὶ τὴν Νιόβην κλαίουσαν τοὺς παῖδας ὑπὸ Διὸς λελιθῶσθαι κατοικτείραντος αὐτήν.

827. καί νιν] ἤγουν αὐτὴν τὴν Νιόβην τηκομένην καὶ δαμαζομένην ἐν ὄμβρῳ, ὥσπερ ὑπάρχει ἡ τῶν ἀνθρώπων φήμη, οὐδαμῶς λείπει καὶ χιών. τουτέστι, λιθωθεῖσα ὄμβρῳ καὶ χιόνι χειμάζεται.

847. οἷα καὶ ὁποία ἄκλαυτος τῶν φίλων, ἤγουν μὴ θρήνου ὑπὸ τῶν φίλων ἀξιωθεῖσα, ἐν οἷοις καὶ ὁποίοις νόμοις· οὐ γὰρ νενομοθέτηται οὑτωσὶ κατορύττειν· ἔρχομαι πρὸς ἔργμα καὶ κατασκεύασμα τυμβόχωστον τάφου ποταινίου καὶ προσφάτου, ἤτοι πρὸς τὸν ὑπὸ γῆν κατορωρυγμένον τάφον, μέτοικος οὔτ' ἐν βροτοῖς ζῶσιν, οὔτ' ἐν νεκροῖς θανοῦσι, τουτέστιν, οὔτε πρὸς ζῶντας μετοικιζομένη, διὰ τὸ ὥσπερ νεκρὸς κατορύττεσθαι καὶ αὐτίκα τεθνήξεσθαι· οὔτε πρὸς νεκρούς, διὰ τὸ ζῶσα καὶ μὴ θανοῦσα κατορύττεσθαι. τὸ δὲ ἰὼ δύσταινος διὰ μέσου.

856. πατρῷον ἆθλον] ἤγουν ὅσον δυστυχίας ἔμελλεν ἐκεῖνος δυστυχῆσαι, τοῦτο αὐτὴ ἀποπληροῖς, τοιαύταις περιπεσοῦσα δυστυχίαις.

861. δέον εἰπεῖν, ἡμῖν τοῖς κλεινοῖς Λαβδακίδαις, ἡμετέρου εἶπε πρὸς τὸ πότμου. ἢ οὕτως· ἔψαυσας τοῦ πρόπαντος καὶ ὅλου πότμου τοῖς κλεινοῖς Λαβδακίδαις, τοῦ ἡμετέρου, ἤγουν τοῦ συγγενικοῦ.

879. ἱερὸν ὄμμα] ἤτοι τὸν ἥλιον· ἢ τὸ τῆς λαμπάδος ὄμμα, ἀντὶ τοῦ τὸ τοῦ ἡλίου φῶς.

881. τὸ ἀδάκρυτον σαφηνισμός ἐστι τοῦ οὐδεὶς στενάζει. τὸ γὰρ παρ' οὐδενὸς στεναζόμενον ἀδάκρυτόν ἐστιν.

σαν αὐτὴν τοιαῦτα περὶ αὐτῆς διεξέρχεσθαι, καὶ οὐ ταχέως ἤγαγον πρὸς ὅπερ κατεδικάσθη ὄργυμα.

887. ἀφεῖτε χρὴ γράφειν, οὐκ ἄφετε, καὶ ζῶσα τυμβεύσει· (οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ. τὸ ἀφεῖτε δὲ καὶ ἔν τινι τῶν παλαιῶν εὕρηται βιβλίων·) συντάσσειν δὲ οὕτως. οὐκ ἄξετε ταχέως αὐτὴν, καὶ ἀφεῖτε μόνην ἔρημον, περιπτύξαντες ἐν τῷ κατηρεφεῖ τύμβῳ, ὡς εἴρηκα ἐγὼ, εἴτε χρὴ θανεῖν αὐτὴν, εἴτε τυμβεύσει ἐν τοιαύτῃ στέγῃ ζῶσα, ἦγουν ἐντάφιος κείσεται. ζῶσαν δὲ ὀφείλων εἰπεῖν καὶ τυμβεύσειν πρὸς τὴν ἄνω αἰτιατικὴν καὶ πρὸς τὸ θανεῖν, ὁ δὲ πρὸς εὐθεῖαν ἔτρεψε τῇ τοῦ μέτρου ἀνάγκῃ. οὐ γὰρ ζῶσαν ὁ ποιητὴς ἔγραψεν, ὡς ἐν πολλοῖς τῶν βιβλίων εὕρηται, ἀλλ' οἱ συντάσσειν μὴ δυνηθέντες.

890. στερήσεται] ἤτοι τοῦτο αὐτῇ ἔσται στέρησις καὶ ζημία, τὸ μετοικισθῆναι ἀπὸ τῶν ζώντων εἰς τοὺς θανόντας. δέον δὲ οὕτως εἰπεῖν, τῆς ἄνω διαίτης στερήσεται, ἐπειδὴ ἡ τοῦ κόσμου στέρησις μετοικία ἐστὶ, μετοικίας εἶπεν, εἰ καὶ ἀγνοοῦντές τινες τὸ μετοικίας ἀντὶ τοῦ, τῆς μεθ' ἡμῶν διατριβῆς λέγουσιν.

894. Περσέφασσα ἡ Περσεφόνη, ἡ φέρουσα ἄτας καὶ βλάβας, ὥς φησι Πλάτων ἐν Κρατύλῳ. διπλασιάζεται δὲ ἐνταῦθα τὸ σ διὰ τὴν τοῦ μέτρου ἀνάγκην.

904. τοῖς φρονοῦσιν εὖ] πάντες γὰρ οἱ νουνεχεῖς καὶ τὰ πράγματα ὡς δεῖ διακρίνοντες ἠγάσαντό με τῆς περὶ σὲ σπουδῆς. σύναπτε δὲ τὸ εὖ πρὸς τὸ ἐτίμησα.

908. τίνος νόμου] ἦγουν τίνι νόμῳ χαριζομένη καὶ στέργουσα καὶ ἀποδεχομένη τοῦτον λέγω ταῦτα;

940. κοιρανίδαι] οἱ προὔχοντος τῶν Θηβαίων· ἢ κοιρανίδας λέγει τοὺς προγόνους αὐτῆς.

943. τὴν εὐσεβίαν] οὕτω χρὴ γράφειν Ἰωνικῶς, ἵν' ᾖ οἰκεῖον τῷ μέτρῳ. ἐκεῖνοι γὰρ τῶν τοιούτων προπαροξυτόνων θηλυκῶν ὀνομάτων τὰς διφθόγγους συστέλλοντες διὰ τοῦ ι μόνου ἐκφέρουσι παροξυτόνως. ἀλλὰ καὶ τὸ σεβίσασα ἀπὸ τοῦ σεβίζω ὀφείλεις λέγειν. οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ.

944. ἔτλα καὶ Δανάας] παραμυθούμενος ὁ χορὸς τὴν Ἀντιγόνην,

χαλκῷ κιβωτίῳ μετὰ τοῦ παιδὸς ἐνέκλεισεν. ἔστι δὲ τὸ χαλκοδέτοις αὐλαῖς καὶ τὸ τυμβήρει θαλάμῳ ταυτό.

955. Λυκοῦργος ὁ Δρύαντος παῖς, βασιλεὺς Μακεδόνων, τιμῶν πάντας τοὺς θεούς, ἀθέως διέκειτο πρὸς Διόνυσον, καὶ ἐπειρᾶτο τάς τε βάκχας αὐτοῦ καὶ τοὺς χορεύοντας καθαιρεῖν. ἐξενεχθεὶς οὖν ποτὲ εἰς πόλεμον καὶ τροπῆς γενομένης, ἐπεὶ φεύγειν ἤρξατο, συνεπεδίσθη ἐν κλήματι ὑπὸ Διονύσου, καὶ ἀπορριφεὶς εἰς κρημνὸν τὸ ζῆν ἀπολέλεκεν. ἕτεροι δέ φασιν ὡς λαβόντες αὐτὸν οἱ πολέμιοι συμποδισθέντα καὶ εἰς ἄντρον ἐμβαλόντες καὶ τὴν εἴσοδον κλείσαντες ἐλιμαγχόνησαν, ὃ καὶ κρεῖττον· συνάδει γὰρ τῷ πετρώδει δεσμῷ κατάφρακτος. εἰ δὲ πρὸς τὸ ἄνω εἴποις τὸ πετρώδει, ἀντὶ τοῦ στερρῷ νοήσεις. λέγει δὲ τὴν Λυκούργου ἱστορίαν, οὐχ ὅτι ἡ Ἀντιγόνη ἀσεβὴς ἦν, ὥσπερ ἐκεῖνος, ἀλλὰ διὰ μόνον τὸ πάθος.

961. ἐπέγνω μανίας] ἐπέγνω τὰς οἰκείας μανίας, ὡς εἰς κακὸν αὐτῷ ἐτελεύτησαν. λέγει δὲ ὅτι ταῦτα ἀποκερδαίνουσιν οἱ κακοὶ καὶ ἀσεβεῖς.

966. Βορέας κῆδος συνῆψε τοῖς Ἀθηναίοις, ἁρπάσας Ὠρείθυιαν Ἐρεχθέως, ἐξ ἧς ἔσχε Ζῆθον καὶ Κάλαϊν καὶ Κλεοπάτραν, ἣν γήμας Φινεὺς δύο παῖδας ἐγέννησε, Πλήξιππον καὶ Πανδίονα. μετὰ δὲ τὸν Κλεοπάτρας θάνατον ἐπέγημεν Ἰδαίαν τὴν Δαρδάνου, κατὰ δέ τινας, Εἰδοθέαν τὴν Κάδμου ἀδελφήν, ἥτις ἐξ ἐπιβουλῆς τυφλώσασα τοὺς Κλεοπάτρας παῖδας ἐν τάφῳ καθεῖρξε ζῶντας. ἡ δὲ ἐπιβουλὴ τοιαύτη. κατεψεύσατο αὐτῶν πρὸς Φινέα ὡς δῆθεν πειρώντων αὐτήν. ἀπατηθεὶς οὖν Φινεὺς ἐξουσίαν αὐτῇ τούτων ἔδωκεν. ἕτεροι δέ φασιν ὅτι Φινεὺς ζῶσαν τὴν Κλεοπάτραν ἀπαξιώσας τὴν Ἰδαίαν ἔγημε. Κλεοπάτρα γοῦν ἀμυνομένη τοῦτον τυφλοῖ τοὺς παῖδας αὐτῆς. ἡ σύνταξις· αἱ δὲ Βοσπόριαι καὶ Θρᾳκικαὶ ἀκταὶ τῆς ἁλὸς τῆς ἀπὸ τῶν Κυανέων πετρῶν διδύμας καὶ διπλῆς· εἰς δίχα γὰρ αἱ Κυανέαι πέτραι τὴν ἐκεῖ θάλασσαν τέμνουσιν· ἢ διότι αἱ πέτραι δύο καὶ ἡ θάλασσα διδύμη ἐστί· καὶ ὁ Σαλμυδησσὸς ποταμὸς τῶν Θρᾳκῶν, ἵνα καὶ ὅπου ὁ Ἄρης ἀγχίπτολις καὶ γείτων ἐστίν· ἐκεῖ γὰρ τὸ ἱερὸν ἦν Ἄρεως· εἶδε καὶ ἐθεάσατο ἕλκος καὶ πήρωσιν ἀρατὸν καὶ καταράσιμον τοῖς δισσοῖς καὶ διπλοῖς Φινείδαις καὶ Φινέως

ὡς εἴρηται, λέγεται. τυφλωθὲν, ἀλαὸν καὶ τυφλὸν, ἀραχθὲν καὶ πληγὲν οὐκ ἐν ἀκμαῖς καὶ ὀξύτησιν ἐγχέων καὶ ξιφῶν, ἀλλ' ὑπὸ αἱματηραῖς τε χερσὶ καὶ ἐν ἀκμαῖς κερκίδων, ἤτοι σιδηρῶν ἀτράκτων, ἀραχθὲν ἐν τοῖς κύκλοις τῶν ὀμμάτων τοῖς ἀλαστόροις.

980. ἀνύμφευτον] ἤγουν κακονυμφεύτου μητρὸς γέννημα ὑπάρξαντες. δέον δὲ εἰπεῖν, ἀνυμφεύτου μητρὸς, ἀνύμφευτον πρὸς τὸ γονάν εἶπε.

1000. λιμὴν] ἤγουν συναγωγή. ἐκεῖ γὰρ συνάγων τοὺς ὄρνιθας, ὅταν τι βούλωμαι μαντεύσασθαι, σκοπῶ τὴν αὐτῶν πτῆσιν καὶ τὰς φωνάς.

1002. δέον εἰπεῖν κλαζόντων πρὸς τὸ ὀρνίθων, κλάζοντας εἶπε πρὸς τὸ σημαινόμενον. τὸ γὰρ ἀκούω φθόγγον ὀρνίθων ἀντὶ τοῦ ὄρνιθας. οἱ δὲ λέγοντες τὸ κλάζοντας πρὸς τὸ ἔγγων ψυχροί τινές εἰσιν.

1009. ὅτι μετὰ τῶν μηρῶν καὶ τὴν χολὴν τοῦ ζώου καὶ τὴν κύστιν παρετίθουν ἀκριβῶς ἐν Αἰσχύλῳ εἴπομεν εἰς τοὺς Ἑπτὰ ἐπὶ Θήβας. δέον δὲ εἰπεῖν, μεταρσίως, καὶ, καταρρυείσης τῆς πιμελῆς, μετάρσιοι εἶπε πρὸς τὸ χολαί, καὶ καταρρυεῖς πρὸς τὸ μηροί.

1013. εἰκότως εἶπε τὸ ὀργίων. ὥσπερ γὰρ τὰ μυστήρια οὐδεὶς εἶδεν, εἰ μὴ οἱ πεπειραμένοι, οὕτω καὶ τὰ μαντεύματα οἱ μάντεις μόνοι γινώσκοντες τοῖς ἄλλοις διασαφοῦσιν.

1016. ἢ πρὸς τὸ παντελεῖς ὑποστικτέον οὕτω, καὶ αἱ ἐσχάραι αἱ παντελεῖς, ἤτοι ἐν αἷς πᾶσαι αἱ θυσίαι τελοῦνται· ἢ πρὸς τὸ πλήρεις οὕτως, οἱ γὰρ βωμοὶ ἡμῖν καὶ αἱ ἐσχάραι, πλήρεις καὶ πεπληρωμέναι εἰσὶ, παντελεῖς καὶ τέλειαι, τοῦ γόνου καὶ τοῦ υἱοῦ τοῦ Οἰδίποδος, τοῦ πεπτῶτος καὶ πεσόντος δυσμόρου καὶ ἀθλίου. τὸ δ' ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς ἑρμηνεία ἐστὶ τοῦ πῶς εἰσι πλήρεις.

1021. ἰστέον ὅτι ἑνικῶς πρῶτον εἰπὼν τὸ ὄρνις, ἐπειδὴ οὐχ εἷς ἦν ὁ ποιῶν τὴν βοὴν, ἀλλὰ πολλοὶ, πρὸς πληθυντικὸν ἀπέδωκε τὸ βεβρῶτες, εἰ καὶ ἀμαθεῖς τινες τὸ ὄρνις ἀντὶ τοῦ ὄρνιθές φασι καὶ τὸ

18. Ἑπτὰ ἐπὶ Θήβας] Hoc in dramate, quantum commemini, nuspiam istiusmodi fuit annotationi locus, in Prometheo 494. memorat Æschylus χολῆς λεβοῦ τε ποικίλην εὐμορφίαν. Fortasse igitur memoria fefellit Triclinium. VALCK. ad Eurip. Phœn. 1261.

"Ἥρα γὰρ, φησὶ τὰ μειράκια τοῦ γέροντος." εἰ καὶ ἐν Πινδάρῳ που εὕρηται μόνῳ (Πυθ. δ', 100.) "ἦ ῥα Μηδείας ἐπέων στίχες."

1034. μὴ λάβῃς εἰς τὸ τοῦδε ἔξωθεν ἐπί ἢ κατά, ἀλλ' ἔστιν ἡ γενικὴ πρὸς τὸ σκοποῦ. τὸ δὲ σκοποῦ πρὸς τὸ τοξόται. οἱ γὰρ τοξόται σκοποῦ τοξόται εἰσίν. ὦ πρέσβυ, πάντες ὡς τοξόται σκοποῦ τοῦδε τοῦ ἀνδρός, τουτέστιν, ὥσπερ σκοπὸν ποιησάμενοί με, τοξεύετε.

1036. πάλαι] υἱὸς αὐτοῦ Μενοικεὺς, Τειρεσίου πρόσθεν εἰπόντος, ὡς εἰ πρὸς τὸ σπήλαιον τοῦ δράκοντος ἑκὼν ἑαυτὸν ἀναιρήσει, σωτηρία ἔσται τῇ πόλει, ἀπελθὼν ἐκεῖσε ἑαυτὸν διεχρήσατο.

1037. πρὸ Σάρδεων] ἐν γὰρ τῇ Λυδίᾳ πλησίον Σάρδεων ὁ Πακτωλός ἐστι ποταμὸς ψήγματα χρυσοῦ τοῖς ἐκεῖ χορηγῶν. καλεῖ γοῦν τὸν χρυσὸν ἤλεκτρον, διὰ τὸ καθαρόν· τοιοῦτος γὰρ ὁ ἤλεκτρος. ἔστι δὲ καὶ ἐν τῇ Ἰνδίᾳ τόπος χρυσοῦ ψήγματα ἔχων, ὃν ἀνορύττουσι θηρία τινὰ, μύρμηκες καλούμενα, πτεροῖς χρώμενα, ἀφ' ὧν οἱ Ἰνδοὶ μηχαναῖς τισὶ λαμβάνουσι τὸν χρυσόν.

1053. ὥσπερ τὸ λέγω μόνον πρὸς δοτικὴν συντάσσεται, μετὰ δὲ τοῦ κακῶς συντεθὲν αἰτιατικῇ, οὕτως ἔχει καὶ τὸ ἀντειπεῖν καὶ τὸ κακῶς ἀντειπεῖν· τὸ μὲν δοτικῇ, τὸ δὲ κακῶς ἀντειπεῖν αἰτιατικῇ.

1057. ἆρ' οἶσθα] ἆρα γινώσκεις λέγων ἡμᾶς ὄντας ταγοὺς ἐκεῖνα ἃ λέγεις; τουτέστιν, ἆρα γινώσκεις οὐ τοὺς τυχόντας ὑβρίζων, ἀλλὰ βασιλεῖς;

1060. τἀκίνητα χρὴ γράφειν, ἵν' ᾖ μακρὸν τὸ α, ὡς ἐκ κράσεως ὄν· εἰ δ' ἄλλως γράψεις, οὐκ ὀρθὸν ἔσται.

1069. τὸ ψυχὴν καὶ πρὸς τὸ βαλών καὶ πρὸς τὸ κατῴκισας λαμβανε κατὰ συνεκδοχήν.

1080. δέον ἐχθρῶς εἰπεῖν, ἐχθραί εἶπε πρὸς τὸ πόλεις. ἀπορήσειε δ' ἄν τις πῶς εἶπε συνταράσσονται, καὶ οὐ, συνταραχθήσονται. οὔπω γὰρ ἐταράχθησαν, ἀλλ' ἔμελλον. καὶ φαμὲν ὅτι ὁ ταραγμὸς αὐτῶν, εἰ καὶ μήπω γέγονεν, ἀλλ' ἐξ ὅτουπερ εἰς αὐτὰς παρὰ κυνῶν, ἢ οἰωνῶν, τὰ σπαράγματα γέγονεν, ἐξ ἐκείνου τοῦ καιροῦ ἡ φθορὰ αὐταῖς ἐπεκρέματο. εἰς δὲ τὸ ὅσων μὴ λάβῃς ἔξωθεν ἐπί, ἀλλὰ πρὸς τὸ καθήγνισαν, οὕτω, καθ' ὅσων ἥγνισαν, ἤγουν μεμιασμένως ἔφερον. ἅγος γὰρ τὸ μίασμα.

νεις ἐξ ἡμῶν ἐπὶ σοὶ φέρεσθαι κέρδους χάριν, ψευδῶς λογίζῃ.

1096. καὶ γὰρ τὸ εἰκάθειν καὶ ὑποτάσσεσθαι τῷ μάντει, καὶ θάπτειν ἐᾶν Πολυνείκην, καὶ Ἀντιγόνην ἐξελαύνειν τοῦ τάφου, δεινόν. πολλοὺς γὰρ εἰσαῦθις ὁμοίους εἶναι προτρέψεται, εἰδότας ὡς οὗτοι κακοὶ ὄντες οὐκ ἐκολάσθησαν. τὸ δ' ἀντιστάντα με αὐτῷ πατάξαι τὸν θυμὸν αὐτοῦ ἐν ἄτῃ καὶ ἐν βλάβῃ, τουτέστι, τὸ διὰ μάχης ἐλθεῖν με αὐτῷ, καὶ τὴν ἀναίδειαν καὶ θρασύτητα αὐτοῦ, ἣν πρὸς ἐμὲ ἐνεδείξατο, τιμωρήσασθαι, ἐν δεινῷ πάρα καὶ πάρεστι. θεῖον γὰρ τὸ τῶν μάντεων γένος, καὶ οὐχ οὕτω δεῖ πρὸς αὐτοὺς ἀπαντᾶν, ἀλλὰ γεραίρειν τιμαῖς.

1112. ἔδησα] ἤγουν ἐδέσμευσα καὶ εἰσήγαγον εἰς τὸ ὄρυγμα αὐτήν. ἢ δεσμὸν λέγει ὅπερ εἴς τε αὐτὴν καὶ τὸν Πολυνείκην ἐκύρωσεν.

1115. πολυώνυμός ἐστιν ὁ Διόνυσος, ὅτι οἱ μὲν Βακχεῖον, οἱ δὲ Ἴακχον, οἱ δὲ Εὔϊον, οἱ δὲ Λύαιον, οἱ δὲ Εἰραφιώτην, οἱ δὲ Διμήτριον, οἱ δὲ Διθύραμβον αὐτὸν καλοῦσιν. ἄγαλμα δὲ Σεμέλης αὐτὸν καλεῖ, ὡς ἀπ' ἐκείνης ἐπ' εὐδαιμονίᾳ καὶ λαμπρότητι Θηβῶν γεννηθέντα. ἐπικαλεῖται οὖν αὐτὸν ὁ χορὸς, φοβούμενος διὰ τοὺς τοῦ μάντεως λόγους.

1122. ἐπειδὴ ἐν Θήβαις ὁ Διόνυσος μὲν γέγονεν, οὗτος δὲ τὰς Βάκχας πεποίηκε, διὰ τοῦτο μητρόπολιν αὐτὴν τῶν Βακχῶν λέγει.

1128. Κωρύκιον ἄντρον ἐν Παρνασῷ. ἄλλοι δέ φασι πόλιν παρακειμένην αὐτῷ οὕτω καλουμένην.

1131. Νύσσα, πόλις ὑπὲρ Αἰθιοπίαν παρακείμενον ἔχουσα ὄρος, ἐφ' οὗ ἐτιμᾶτο ὁ Διόνυσος.

1133. χλωρά τ' ἀκτά] ἤγουν ἀειθαλὴς, διὰ τὴν ἐκεῖ ἄμπελον, τὴν καθ' ἑκάστην ἡμέραν βότρυς πεπαινομένους ἐκφέρουσαν, ὅθεν καὶ ἡ σπονδὴ τῷ Διονύσῳ· διὸ καὶ τὸν τόπον καλεῖ πολυστάφυλον, ὅς ἐστιν ἐν τῷ Παρνασῷ, ὡς Εὐριπίδης φησί. (Φοινισσ. 236.) συντακτέον δὲ τὸ μὲν πέμπει πρὸς τὸ σέ, τὸ δὲ σέ πρὸς τὸ Θηβαίας ἀγυιὰς ἐπισκοποῦντα, τουτέστιν, ἐκ Παρνασοῦ εἰς Θηβῶν χωρεῖς ἐπιτήρησιν. τὸ δ' ἀβρότων ἐπέων εὐαζόντων διὰ μέσου, ἀντὶ τοῦ, θείων ὕμνων εἰς σὲ φερομένων.

1146. οὕτω χρὴ γράφειν, πῦρ πνεόντων ἄστρων χοραγὲ, ἵν' ᾖ

αὔτρα τὰς λαμπάδας, ἃς ἐν νύκτι αἱ βακχαὶ κατέχουσι. φοεγμάτων] ἤγουν ὕμνων τῶν βακχικῶν, ἐπειδὴ κατὰ τὴν νύκτα ἐγένοντο.

1150. ξὺν Ναξίαις γράφε. οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ· καὶ σαῖς Θυάσι προσπόλοις. εἰ δ' ἄλλως γράψεις, οὐκ ὀρθῶς γράψεις.

1176. πότερα πατρῴας] ἀπορήσειεν ἄν τις ἐνταῦθα πῶς, τοῦ ἀγγέλου εἰπόντος αὐτόχειρ, ὁ χορὸς ἐρωτᾷ περὶ τοῦ φονεύσαντος. καὶ φαμὲν ὅτι οἱ δεχόμενοι συμφορῶν λόγους παρὰ τινὸς, ὥσπερ ἐκπληττόμενοι τῷ ἀκούσματι, οὐ πάντα τὸν λόγον ἀκριβῶς ἀκούουσιν, ἀλλὰ μόνην τὴν ἀρχὴν δεχόμενοι αὖθις τὸν λέγοντα ἐπανέρονται.

1182. μὴ λάβῃς εἰς τὸ παιδός ἔξωθεν τὸ περί, ἀλλὰ πρὸς τὸ κλύουσα ἐστὶν ἡ γενική. τὸ γὰρ κλύειν τοῦ παιδὸς ἦν, τουτέστιν, ἐκεῖνος παρέσχε τοῦτο καὶ αἴτιος γέγονεν.

1184. ἡ τοιαύτη γενικὴ, τὸ Παλλάδος, πρὸς τὸ ἔξοδον ἐστίν· αὕτη γὰρ ἦν ἡ τῆς ἐξόδου αἰτία. ἢ πρὸς τὸ στείχουσα ὑποστικτέον, ἵν' ᾖ τὸ προσήγορος πρὸς τὸ Παλλάδος (οὐ γὰρ μόνον προσήγορος τῷ δεῖνι, ἀλλὰ καὶ τοῦ δεῖνος φαμέν) οὕτω· στείχουσα καὶ πορευομένη πρὸς ἔξοδον, ὅπως καὶ ἵνα ἱκοίμην καὶ ἔλθοιμι προσήγορος καὶ συνόμιλος τῆς Παλλάδος θεᾶς, εὐγμάτων καὶ εὐχῶν, τουτέστιν ἵνα εὐχὰς αὐτῇ προσφέρω. μὴ ξενισθῇς δὲ πρὸς τὰς δύο γενικὰς, τὸ Παλλάδος καὶ τὸ εὐγμάτων. ὥσπερ γάρ φαμεν, διδάσκαλος τῶν παίδων εἰμὶ μαθημάτων, οὕτως καὶ τοῦτο.

1192. τοῦτο οὕτω συντάξεις, ὦ φίλη δέσποινα, ἐγὼ παρὼν ἐνταῦθα καὶ ἐρῶ καὶ εἴπω, ὅσα δηλονότι προεῖπον, καὶ οὐδὲν ἔπος τῆς ἀληθείας παρήσω καὶ καταλείψω.

1196. ἀπορήσειεν ἄν τις πῶς, τοῦ ἕπεσθαι καὶ ὁδηγεῖν ἐναντίων ὄντων, οὗτός φησιν, ἐγὼ δὲ σῷ ποδαγὸς ἑσπόμην πόσει. καὶ φαμὲν ὅτι διὰ τοῦτο λέγει τὸ ἑσπόμην, διότι δοῦλος ἦν, οἱ δὲ δοῦλοι τῇ τῶν δεσποτῶν ἄγονται γνώμῃ· τὸ δὲ ποδαγὸς, διότι οὗτος τότε τὸν αὑτοῦ δεσπότην προέπεμπεν.

1198. τὸ ἔτι πρὸς τὸ ἔκειτο συναπτέον.

1200. δέον εὐμενῶς εἰπεῖν, εὐμενεῖς εἶπε πρὸς τὸ ὀργάς. κατασχέθειν δὲ λέγει εὐμενεῖς τὰς ὀργὰς, διότι τὸ τὴν ὀργὴν ἐπέχειν εὐμένειά ἐστιν.

1205. τὸ νυμφεῖον πρὸς τὸ κόρης, τὸ δὲ κόρης πρὸς τὸ Ἅιδου. τὸ

1221. μὴ λάβῃς εἰς τὸ αὐχένος ἔξωθεν τὸ ἐξ, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ κρεμαστήν.

1222. βρόχον μιτῶδη σινδόνος κυρίως τὴν ἀρπεδόνην τὴν ἐν τοῖς ὑφάσμασι φασίν. ἐνταῦθα δὲ λέγει τὴν ζώνην αὐτῆς, ἥτις στενοεπίμηκες ἦν τμῆμα σινδόνος. ἄλλοι δέ φασι τὸ αὐτῆς κρήδεμνον· οἱ δὲ τὸ τῆς σινδόνος μέρος, μεθ' ἧς αὐτὴν ἐνῆκαν ἐκεῖσε.

1226. τὸ στυγνόν ἢ ἀρσενικὸν νοητέον πρὸς τὸ σφέ, ἢ οὐδέτερον πρὸς τὸ οἰμώξας.

1249. τὸ προθήσειν καὶ πρὸς τὸ ἐς πόλιν ἐκληπτέον.

1250. ἁμαρτάνειν] ἤγουν ἀνοίκεια ἑαυτῇ ἔργα ποιεῖν, λέγω δὴ τὸ δρᾶσαί τι περὶ αὐτὴν δυσχερὲς ἐπὶ τῷ παραδόξῳ τῆς τοῦ παιδὸς συμφορᾶς ἀκούσματι.

1274. τὸ ἔπαισέ με ἐν τῷ ἐμῷ κάρᾳ, ἀντὶ τοῦ, ἐξέστησε τὰς ἐμὰς φρένας, καὶ τοῦ λελογισμένου παρατροπὴν εἰργάσατο. οὐ γὰρ ἐγίνωσκον κατ' ἐμαυτοῦ κινῶν τὸν Ἀνάγυρον τοιαῦτα κατ' Ἀντιγόνης ἐψηφισμένος. χαρὰν δέ φησιν ἣν εἶχε διὰ τὸ τῆς ἀρχῆς ἐγκρατὴς γεγενῆσθαι.

1278. τοῦτο οὕτως εἴποις, ὦ δέσποτα, ἔοικας καὶ φαίνῃ ἥκειν καὶ ἐλθεῖν ὄψεσθαι καὶ ἰδεῖν καὶ τάδε ἐν δόμοις κακὰ τάδε, ἤγουν τὸν Εὐρυδίκης θάνατον, ὡς ἔχων γε καὶ κεκτημένος, ταῦτα δ' ἐκ παραλλήλου εἴρηται, τὰ μὲν, κακὰ δηλονότι, πρὸ χειρῶν καὶ ἔμπροσθεν τῶν χειρῶν, ἤγουν τὸν Αἵμονα θανόντα, τὸν σὸν παῖδα, τὰ δὲ, ἤγουν τὴν τοῦ γένους συμφοράν, φέρων καὶ ὑπομένων. τριπλᾶ γὰρ ἐπῆλθε αὐτῷ κακὰ, ὅ τε Ἐτεοκλέους καὶ Πολυνείκους καὶ τῆς ἀδελφῆς αὐτῶν Ἀντιγόνης θάνατος, ὅ τε τῶν δύο υἱῶν αὐτοῦ Μενοικέως καὶ Αἵμονος, καὶ τελευταῖος πάντων ὁ τῆς αὐτοῦ γυναικὸς Εὐρυδίκης.

1284. δυσκάθαρτος] ὁ γόων καὶ συμφορῶν ἀδυνάτως ἔχων καθαίρεσθαι Ἅιδης, εἰς ὃν πάντες μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν συνάγονται, ὥσπερ εἰς λιμένα.

1287. τίν' αὐδᾷς λόγον γράφε, ἵν' οἰκεῖον ᾖ τὸ κῶλον πρὸς τὸ τῆς στροφῆς. τὸ γὰρ τίνα θροεῖς οὐκ ἔχει ὀρθῶς.

1301. βωμία] ἰστέον ὅτι ἡ τοῦ Κρέοντος γυνὴ περὶ βωμὸν, ὄντα

κελαινά εἶπε πρὸς τὸ βλέφαρα, οὕτω, λύει τὰ βλέφαρα καὶ τοὺς ὀφθαλμούς. ποταπά; κελαινά. τουτέστιν, ἐκάλυψε τοὺς ὀφθαλμοὺς αὐτῆς σκότος θανούσης. ἔκλυσις γὰρ καὶ ἀπαλλαγὴ φωτὸς ὁ θάνατος. Μεγαρέα δὲ λέγει ἐνταῦθα, ὡς μέν τινές φασιν, ἄνδρα αὐτῆς πρὸ τοῦ Κρέοντος ὄντα οὕτω καλούμενον· ὡς δ' ἄλλοι λέγουσιν, ὁ ἐν τῇ χειᾷ τοῦ δράκοντος ἀποσφαγεὶς πρῶτος υἱὸς αὐτῆς Μενοικεύς, κατ' ἀρχὰς Μεγαρεὺς ἐκαλεῖτο. εἰ μὲν οὖν τὸ πρῶτον εἴποις, λέχος νοήσεις τὴν πρὸς ἐκεῖνον γαμικὴν συνάφειαν· εἰ δὲ τὸ δεύτερον, λέχος κωκῦσαι αὐτὴν ἐρεῖς, τὸ παρὰ καιρὸν αὐτὸν ἀπελθεῖν, καὶ μὴ τυχεῖν ὑμεναίου, ὃ καὶ κρεῖττον. μαρτυρεῖ δὲ καὶ τὸ τοῦδε λαμβάνον τὸ λέχος κατὰ συνεκδοχήν.

1310. ἄθλιος χρὴ γράφειν ἐνταῦθα, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς. τὸ γὰρ δείλαιος οὐκ ὀρθόν.

1313. σύναπτε τὸ μόρων πρὸς τὸ τῶνδε· τὰ δὲ λοιπὰ διὰ μέσου λέγε.

1316. τὸ ὀξυκώκυτον ἀντὶ τοῦ, τὸ ὀξέος καὶ μεγάλου θρήνου δεόμενον· ἢ τὸ ὀξέως, ταχέως καὶ ἐξαίφνης θρῆνον ἐγεῖραν.

1330. τὸ ἐμῶν ἀντὶ τοῦ ἡμερῶν νοητέον πρὸς τὸ τερμίαν, οὗτως· ἄγων καὶ φέρων ἐμοὶ τερμίαν καὶ ἐσχάτην ἡμέραν τῶν ἐμῶν ἡμερῶν. ἢ τὸ ἐμῶν πρὸς τὸ μόρων, οὕτως· ὁ ὕπατος καὶ ἔξοχος τῶν μόρων, τουτέστι, τὸ τέλος τῶν ἐμῶν δυστυχιῶν. μέχρι γὰρ ἄν τις ἐν ζῶσι τυγχάνῃ, καὶ συμφορῶν μέτοχός ἐστιν· ἐπὰν δὲ ἀπογένηται, καὶ τοῦ δυστυχεῖν παύεται· ὥστε ὁ θάνατος καὶ τέλος ἐστὶ συμφορῶν καὶ συμφορὰ ὑπερτάτη. τὸ γὰρ ζῆν, ὃ μέγιστόν ἐστι κέρδος, ἀφαιρεῖται.

1337. πεπρωμένης] μεμοιρασμένης. ὥστε ἐπειδὴ καὶ σοὶ τὸ τοιαῦτα παθεῖν πέπρωτο, μὴ δυσχέραινε, μηδὲ κατεύχου θανεῖν.

1343. πᾶ καὶ θῶ] ἤτοι τί ποιήσω; οὐ γὰρ ἔχω πότερον θρηνήσω πρότερον, πότερον τὸ τῆς γυναικὸς πάθος, ἢ τὸ τοῦ παιδός.

1350. ἀσεπτεῖν] ἤγουν ἀσεβεῖν. τοῦτο δὲ λέγει διὰ τὸ παροργίσαι τὸν Κρέοντα Πλούτωνα καὶ Περσεφόνην, διὰ τὸ Πολυνείκην ἄθαπτον ῥῖψαι.

129. Ἀλλ' ἐπὶ πᾶσι κυκλοῦσι καὶ κυκλικῶς ἐπέρχονται πῆμα καὶ λύπη, καὶ χαρὰ, ὥσπερ κέλευθοι καὶ ὁδοὶ Ἄρκτου στροφάδες, ἤγουν ὥσπερ αἱ ἀεὶ στρεφόμεναι ἄρκτοι καὶ μηδέποτε στάσιν ἔχουσαι. διὰ τὸ εἶναι δὲ καὶ αὐτὰς δύο, καὶ ποτὲ μὲν ἄνω, ποτὲ δὲ κάτω ἑκάστην στρέφεσθαι, ὡς καὶ τὰ ἐν ἀνθρώποις πράγματα, ταύτας πρὸς παράδειγμα εἴληφεν. ἀλλὰ καὶ τὸ κυκλοῦσι καλῶς ἄγαν εἴρηται, ἐπεὶ ἡ κυκλικὴ τοῦ χρόνου στροφὴ τάς τε λύπας ἐπιφέρει καὶ τὰς χαρὰς τοῖς ἀνθρώποις.

350. ἀγνοίᾳ χρὴ γράφειν ἐπὶ δοτικῆς διὰ τὸ μέτρον, καὶ οὐκ ἄγνοια, καὶ συντάσσειν οὕτως· ἐν ἀγνοίᾳ με ἔχει ἅπερ εἴρηκας. τοῦτό ἐστιν, ἅπερ εἴρηκας αἴτιά ἐστι τοῦ εἶναι ἐμὲ ἐν ἀγνοίᾳ, διὰ τὸ ἀσαφῶς εἰρῆσθαι. ἐπεὶ γὰρ οὐκ ἔσχον τὴν τούτων γνῶσιν, τρόπον δή τινα αὐτά με κατέχει ἐν τῇ ἀγνοίᾳ.

373. ὥστ' ἐξελέγχειν] οἷον, τοσοῦτοι ἤκουσαν ταῦτα ὥστε καὶ ἐξελέγχειν αὐτὸν εἰ ἀρνήσοιτο. οὐ γὰρ εἶχον ἂν λέγειν κατ' αὐτοῦ τι, εἰ μὴ καὶ μαρτύρων ηὐπόρουν.

394. ὡς ἔρποντος] τοῦτο μᾶλλον ὅμοιόν ἐστιν, ὡς ἐμοὶ δοκεῖ, τῷ· φράσον, ὡς ὄντος γε μὴ βαδιστικοῦ. παρ' Ἀριστοφάνει. (Βατρ. 128.)

434. ὁ ἄνθρωπος, φησὶν, ὦ δέσποινα, ἐπιστήτω, ἤγουν, παρελθὼν στήτω εἰς μέσον, ὁ διελέγχων με. οἱ δὲ ἀποστήτω γράφοντες οὐκ οἶδα τίνι λόγῳ τοῦτο γράφουσιν.

593. γνῶμα] ἤτοι νοῦν. καὶ ἔστιν οὐδέτερον, ἀντὶ τοῦ γνωμάτευμα καὶ νοῦν. καὶ Εὐριπίδης (Ἡρακλείδαις 407.)

πόλλ'· ἓν δὲ πᾶσι γνῶμα ταυτὸν ἐμπρέπει.

ἤτοι γνωμάτευμα, νοῦς.

1135. δεινοῦ λόγου] θαυμαστοῦ. ἄπιστον γὰρ, εἰ παύσομαι τῆς ὀργῆς· ὅμως εἰπέ.

2. Πεῖραν ἁρπάσαι] ἢ πειραθῆναι τῶν ἐχθρῶν, καὶ ὧν κατὰ σοῦ μηχανῶνται προλαβεῖν ζητοῦντα, τῷ, πρὶν ἢ παθεῖν, μαθεῖν καὶ φυλάξασθαι. ἢ οὕτως· ἁρπάσαι καὶ συντόμως λαβεῖν πεῖραν τῶν ἐχθρῶν, τί κατὰ σοῦ μηχανῶνται.

4. τάξιν ἐσχάτην] ὅτι ἐν μὲν τῷ ἑνὶ μέρει Ἀχιλλεὺς ἦν τοῦ στρατοῦ, ἐν δὲ τῷ ἄλλῳ Αἴας οὑτοσί, ἵνα, ὡς κρείττους τῶν ἄλλων τὴν ἰσχύν, φύλακες ὦσιν· ἐν δὲ τῷ μεταξὺ Ἀγαμέμνων καὶ Μενέλαος καὶ οἱ λοιποὶ στρατηγοί.

10. στάζων ἱδρῶτι] τοῦτο καθ' ὅλον καὶ μέρος, τὸ μὲν στάζων, ὅλον, τὸ δὲ κάρα καὶ χέρας, μέρος, καὶ οὐχ, ὥς τινές φασι, στάζων καὶ σταζόμενος, καὶ ἔξωθεν τὸ ἔχων λαμβάνουσι, λέγοντες οὕτω, σταζόμενος τὸ κάρα, καὶ ἔχων τὰς χεῖρας ξιφοκτόνους. πάντα γὰρ ταῦτα λῆρος καὶ οὐδὲν ὑγιές.

14. φιλτάτης ἐμοὶ] εἰκότως τοῦτ' εἶπε. δεῖ γὰρ τοὺς συνετωτάτους, οἷος οὗτος, τὴν Ἀθηνᾶν περὶ πλείστου ποιεῖσθαι, φρονήσεως ἔφορον οὖσαν.

17. ὡς Τυρσηνικῆς] τούτων γὰρ αἱ σάλπιγγες κρείττους τῶν παρ' ἑτέροις εὑρημένων· ἢ ὅτι πρῶτοι Τυρσηνοὶ τὴν σάλπιγγα εὗρον. βέλτιον δὲ τὸ πρῶτον. αἱ γὰρ τῶν Τυρσηνῶν σάλπιγγες ἐξαίρετόν τι τῶν παρ' ἑτέροις εὑρημένων ἀπετέλουν μέλος, ὡς μόνον ἀκούσαντά τινα γνῶναι Τυρσηνικὴν εἶναι τὴν ἠχοῦσαν σάλπιγγα. λέγει οὖν καὶ Ὀδυσσεὺς ἐνταῦθα πρὸς τὴν Ἀθηνᾶν· ὄντως ἀκούω τὸ σὸν φώνημα εὐμαθὲς καὶ εὐκατάληπτον, καὶ ὀξέως νοῶ ὅτι σόν ἐστιν, εἰ καὶ ἀθέατος ὑπάρχεις, ὥσπερ καταλαμβάνω τὸ φώνημα τῆς Τυρσηνικῆς σάλπιγγος, ἀκούων ἠχοῦσαν αὐτὴν δηλονότι.

19. τῷ σακεσφόρῳ] οὐχ ὁπλοφόρῳ ἁπλῶς, ἀλλὰ κατ' ἐξοχήν. ἐξαίρετον γὰρ εἶχεν ὁ Αἴας τὸ σάκος.

21. ἄσκοπον] ἀνέλπιστον, ἀπροσδόκητον. οὐ γάρ ἐστι συνιέναι τίνος χάριν ἐποίησε.

23. πλανώμεθα τῇ διανοίᾳ, οἰόμενοι τοῦτον ταῦτα ποιῆσαι, ἀπὸ τοῦ

13. πάντα γὰρ—ὑγιές addidi ex Lips.

24. τῷδ' ὑπεζύγην] ὑπῆλθον. ἀπὸ τῶν ζώων τῶν ὑπὸ τῷ ζυγῷ δουλευόντων.

32. καὶ τὰ μὲν] κατὰ τινὰ μὲν σημειοῦμαι ὡς αὐτός ἐστιν ὁ δράσας, κατὰ τινὰ δὲ εἰς ἔκπληξιν πίπτω καὶ ἀπορίαν, οὐ δυνάμενος συνιέναι τὸν δράσαντα. σώφρων γὰρ ὁ Αἴας. τὸ δὲ ἔργον μαινομένου καὶ παραπλῆγος. οἱ δὲ λέγοντες τὰ μὲν τῶν ἐχνῶν οὐ καλῶς λέγουσι.

39. τὸ σοί οὐ παντάπασιν ἀργόν, ἀλλὰ καί τινα χρείαν παρέχει, εἴ τις ἀκριβῶς σκοποίη. ἐπειδὴ γὰρ ὁ Ὀδυσσεὺς ὅστις ἐστὶν ὁ πράξας μαθεῖν ἐβούλετο, διὰ τοῦτο Ἀθηνᾶ πρὸς τὴν ἐρώτησιν τοῦτό φησιν, ὡς ταῦτα τὰ ἔργα τοῦ Αἴαντος ἐστί σοι, τῷ περὶ τούτων μαθεῖν ζητοῦντι. εὑρήσεις δὲ τοῦτο πολλάκις προϊών.

42. ἐπεμπίπτει βάσιν] οἱ λέγοντες τὸ ἐπεμπίπτει ἀντὶ τοῦ ἐπιβάλλει, ἵνα συντάξωσι τὴν αἰτιατικὴν, ταληθὲς ἀγνοοῦσιν. ἀλλ' ὥσπερ φαμὲν, πολεμῶ σοι πόλεμον, καὶ, ἦλθον ἐνταῦθα καλλίστην πορείαν, οὕτω καὶ νῦν, ἐπεμπίπτει ταῖς ποίμναις τήνδε τὴν βάσιν, τουτέστι, τίνος ἕνεκα ἐπὶ ταύταις ὁρμᾷ ὁρμὴν τήνδε;

43. τοῦτο καθ' ὅλον καὶ μέρος, τὸ μὲν δυκῶν ὅλον, τὸ δὲ χεῖρα μέρος.

51. ἐπειδή φησιν ἡ παροιμία, Νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει, ὁ δὲ Αἴας ὑπ' Ἀθηνᾶς τὸν νοῦν κατεσέσειστο, διὰ τοῦτό φησι τὸ δυσφόρους ἐπ' ὄμμασι γνώμας βαλοῦσα, τουτέστι, τὸν νοῦν αὐτοῦ διαφθείρασα, ὥστε ὁρῶντα μηδὲν αἰσθάνεσθαι, πάσχοντος τοῦ αἰτίου τῆς ὁράσεως, ἀλλ' οὐ τῆς ὁράσεως.

54. οὐ δεῖ πρὸς τὸ λείας ἔξωθεν τὴν ἀπό λαμβάνειν, ἀλλ' οὕτω λέγειν, πρὸς τὰ σύμμικτα φρουρήματα τῶν βουκόλων, τὰ ἄδαστα τῆς λείας, ἤτοι τὴν ἀμέριστον λείαν.

57. αὐτόχειρ κτείνειν] αὐτοχείρως ἔδει εἰπεῖν· πρὸς δὲ τὸ ἔχων ἐπήνεγκε. καὶ τὸ ὅτ' ἄλλοτ' ἄλλον δὲ ἀσυνδέτως εἴρηκε. ἐμπιτνῶν] οἱ γράφοντες ἐμπίπτων οὐ καλῶς γράφουσι. βραχὺ γὰρ ὀφείλει εἶναι τὸ ΠΙ, ὡς ἐν τετάρτῃ ὂν χώρᾳ.

59. μανιάσιν νόσοις] ταυτὸν τῷ εἰς ἔρκη κακά. ἢ οὕτω λέγε· ἐγὼ δὲ φοιτῶντα καὶ ἀλόγως ὁρμῶντα καθ' ὑμῶν ἄνδρα ὤτρυνον, εἰσέβαλλον

75. τὸ σίγα τὸ μὲν προστακτικὸν, σπονδειακὸν ὂν, παροξύνεται, ὡς τὸ (87.)

σίγα νυν ἐστὼς, καὶ μέν' ὡς κυρεῖς ἔχων.

καὶ παρ' Εὐριπίδῃ (Ἑκάβ. 533.)

σίγα, σίωπα· νήνεμον δ' ἔστησ' ὄχλον.

τὸ δὲ ἐπίρρημα, τροχαϊκὸν ὂν, προπερισπᾶται, ὡς ἐνταῦθα καὶ παρ' Αἰσχύλῳ (Ἑπτὰ ἐπὶ Θήβ. 252.)

οὐ σῖγα; μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν.

τὸ μέντοι ἀρεῖς οὐκ ἄρῃς ὀφείλει γράφεσθαι ἐπὶ ἀορίστου, ἀλλ' ἀρεῖς ἐπὶ μέλλοντος. ὁ μὲν γὰρ ἀόριστος, ὡς ἐπὶ τὸ πλεῖστον, φύσει ἢ θέσει, μακρᾷ παραλήγεται. ὡς ἐπὶ τὸ πλεῖστον δὲ εἴρηται, διὰ τὸ ἐπῆνεσα, καὶ ἐγέλασα, καὶ ἤρασα, καὶ ἔφρασα, καὶ ὅσοι λοιποὶ ἀόριστοι ἀπὸ μελλόντων γίνονται βραχείᾳ συλλαβῇ παραληγομένων. ὁ δὲ μέλλων τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων τὰ ἀμετάβολα τηρεῖ μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένου τόνου· ὥστ' ἐπειδὴ ἡ ἔκτη τοῦ ἰάμβου χώρα ἢ ἰάμβῳ ἢ πυρριχίῳ ἐκφέρεται, οὐ χρὴ ἄρῃς γράφειν, ὡς ἐν πολλοῖς τῶν βιβλίων εὕρηται· μακρὸν γὰρ ὂν τὸ α τὸν τοῦ μέτρου διαφθείρει κανόνα· ἀλλ' ἀρεῖς, διὰ τὸ ἴαμβον εἶναι τὸν τοιοῦτον μέλλοντα. εἰ δέ τις εἴποι ὡς ἐπειδὴ ὁ ἦρα ἀόριστος μεταβὰς εἰς ὑποτακτικὸν συνέστειλε τὴν παραλήγουσαν κατὰ τὸν κανόνα, ἴστω ὅτι πάντες οἱ ἀόριστοι, κἂν τε δισύλλαβοι ὦσι, κἂν τε τρισύλλαβοι, τὴν μὲν κλιτικὴν ἔκτασιν κινηθέντες ἀποβάλλουσι, κἂν τε συλλαβική ἐστι, κἂν τε χρονική· οἷον ἔτυψα, ἐὰν τύψω· ἤκουσα, ἐὰν ἀκούσω· εἶδον, ἰδών· ἦλθον, ἐλθών· πλὴν τοῦ εἶπον, εἰπών· καὶ ἦκον, ἥκων, ἤγουν ἐλθών. τὴν δὲ παραλήγουσαν μακρὰν ἔχουσι, πλὴν τῶν εἰρημένων. καὶ τὸ ἄρῃς οὖν, εἰ καὶ συνέστειλε τὴν κλιτικὴν ἔκτασιν, ἀλλὰ τὴν φυσικὴν διεφύλαξε μακρότητα. οὐ μόνον δὲ τὸ ἄρῃς, ἀλλὰ καὶ τὸ ἄρον. διὸ καὶ προπερισπᾶται. ὅτι δὲ μακρά εἰσι φύσει ἀμφότερα δῆλον ἐντεῦθεν. (129.)

μηδ' ὄγκον ἄρῃς μηδέν', εἴ τινος πλέον—

(Τραχ. 799.)

ἀλλ' ἄρον ἔξω, καὶ μάλιστα μὲν μέθες.—

γνοίη σέ.

85. βλέφαρα ἐνταῦθα τοὺς ὀφθαλμούς, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. βλέφαρα γὰρ κυρίως οἱ τοὺς ὀφθαλμοὺς περιέχοντες ὑμένες.

87. τὸ νυν τοῦτο, εἰ καὶ ἀντὶ τοῦ δή ἐστιν, ἀλλ' ἔχει καί τινα ἔμφασιν καιροῦ, ὥσπερ φαμὲν καὶ τὸ ὅτε, τὸ τὴν αἰτίαν δηλοῦν. τοῦτο γὰρ οὐ μόνον ἀντὶ τοῦ ἐπεί ἐστιν, ἀλλὰ καὶ καιρὸν δηλοῖ.

92. παρέστης] ἤγουν παραστάτις καὶ βοηθὸς ὑπῆρξας ἐμοί, ἵνα τοὺς ἐχθροὺς ἀνέλω.

96. αἱ δύο στερήσεις ἐνταῦθα ἀντὶ μιᾶς καταφάσεως· μία γὰρ στέρησις τὸ οὐ, καὶ ἑτέρα τὸ ἀπαρνοῦμαι.

101. τὸ γάρ οὐκ ἔστι κατασκευαστικὸν, ἀλλ' ἔστι κάλλος τοῦ λόγου, ἐν ἀρχῇ ἐννοίας τιθέμενον, ᾧ καὶ οἱ λογοποιοὶ χρῶνται πολλαχοῦ.

103. εἰ καὶ δοκεῖ τὸ ἐπίτριπτον κίναδος εὐθεῖα, διὰ τὸ ῥᾳδίως οὕτω συντάσσεσθαι, ἀλλ' οὐκ ἔστιν οὕτως· ἀλλ' ἔστιν αἰτιατικὴ πρὸς εὐθεῖαν προσχωροῦσα, ὥσπερ καὶ παρὰ τῷ κωμικῷ (Νεφ. 95.)

οἳ τὸν οὐρανὸν

λέγοντες ἀναπείθουσιν ὡς ἔστιν πνιγεύς.

καὶ πάλιν (Νεφ. 145.)

ψύλλαν, ὁπόσους ἄλλοιτο τοὺς αὑτῆς πόδας.

εἰ καί τινες τῶν ἀμαθῶν τὴν διά πρόθεσιν λαμβάνουσιν ἔξωθεν. ἔστι δὲ τὸ οὐρανὸν αἰτιατικὴ πρὸς εὐθεῖαν τὸ πνιγεὺς προσχωροῦσα. οὕτω δὴ καὶ τοῦτο. προϊὼν δὲ εὑρήσεις αὖθις τήνδε τὴν σύνταξιν. ἀλλὰ καὶ τὸ (118.)

ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση.

καὶ τὸ (1141.)

σὺ δ' ἀντακούσῃ τοῦτον ὡς τεθάψεται.

οὐχ ἕτερα ἐστί. μὴ μόνον δὲ παρὰ ποιηταῖς, ἀλλὰ καὶ λογοποιοῖς πολλὰ τοιαῦτα εὑρήσεις.

112. χαίρειν] ἤγουν, ἄλλα λέγε, καὶ ὑπακούσομαί σοι. εἰκότως δὲ εἶπε τὸ χαίρειν. ὅταν γάρ τις εἰπών τι εἰσακουσθῇ, διὰ τὸ πεπληρῶσθαι τὸ θέλημα αὐτοῦ ἥδεται.

τὴν δύναμιν.

122. τὸ ἔμπης οὐ πρὸς τὸ ὄπισθεν νοητέον, ἀλλὰ πρὸς τὸ ἐπ- 5
οικτείρω. ἔστι δὲ ἐναντιωματικὸς σύνδεσμος. ἔστι δὲ καὶ ὁ λόγος τοιοῦτος, οἷον, εἰ καὶ ἐχθρός ἐστιν, ὅμως οὕτως ἔχοντα αὐτὸν ἐλεεῖν μᾶλλον ἄξιον ἢ μισεῖν.

127. τοιαῦτα] ὡς τοὺς μεγαλαύχους οὕτω θεοὶ κολάζουσι, καὶ πρὸς αὐτοὺς οὐδέν ἐστι τὸ ἀνθρώπινον. ὅτι δὲ Αἴας τοιοῦτος προϊ- 10
όντες εὑρήσομεν.

131. τὸ ὡς ἀντὶ τοῦ ὅτι ἐνταῦθα, καὶ ἀντὶ τοῦ καθά, νοητέον. καὶ τὸ μὲν ἀντὶ τοῦ καθά οὕτω νοητέον· ἅπαντα τὰ ἀνθρώπινα κλίνει καὶ πίπτει, καὶ ἀνάγει καὶ ἀναφέρεται, καθάπερ ἡμέρα ἀρχομένη τε καὶ πάλιν λήγουσα, τοῦ μὲν ἡλίου, ὁπότε πρὸς τὰ κάτω χωροίη, λήγου- 15
σαν ταύτην παρασκευάζοντος, ὁπότε δὲ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω πάλιν ἄνεισιν, ἀρχομένην δεικνύντος καὶ φαίνουσαν. οὐδὲν γὰρ ἄλλο ἡμέρα ἢ παρουσία ἡλίου, ὥσπερ καὶ τοὐναντίον ἡ νὺξ ἀπουσία. εἰ δὲ ἀντὶ τοῦ ὅτι, πρὸς τὸ ἄνω συνάψεις· ὅτι ἡμέρα καὶ καιρὸς εἷς ἅπαντα τὰ ἀνθρώπινα κλίνει καὶ μεταβάλλει, καὶ ἀνάγει καὶ ἀνορθοῖ, 20
ὥσπερ καὶ Φίλων φησί· "Τύχης γὰρ ἀσταθμητότερον οὐδέν, ἄνω καὶ " κάτω τὰ ἀνθρώπεια πεττευούσης."

136. ἐπιχαίρω ὡς ἐπὶ τὸ πολὺ ἐπὶ κακοῦ λαμβάνεται· νῦν δὲ ἐπὶ καλοῦ κεῖται, τῆς ἐπί πρὸς τὸ σέ συντασσομένης· ὅπερ καὶ εἰς τὸ ἐπιβῇ ποιήσεις. βούλεται δὲ δεῖξαι ὅτι καὶ τὴν εὐτυχίαν καὶ τὴν 25
δυστυχίαν αὐτοῦ οἰκείαν λογίζεται.

140. πελείας] τοῦτο γὰρ τὸ ζῶον πάνυ δειλόν. εἰκότως δὲ εἶπε τὸ ὄμμα. ὁπόταν γὰρ αἰσθομένη τινὸς ψόφου καμμύῃ τοὺς ὀφθαλμούς, παλλομένην αὐτῆς τὴν καρδίαν ἔστι φωρᾶσαι.

141. μὴ λάβῃς εἰς τὸ νυκτός τὸ ἔξωθεν ἐπί, ἀλλὰ πρὸς τὸ θόρυβοι 30
σύντασσε. ἐπειδὴ γὰρ ταῦτα νύκτωρ γέγονεν, ἄριστ' ἂν ἔχοι λέγειν τῆς νυκτὸς τουτουσὶ τοὺς θορύβους. μὴ διστάσῃς δὲ, εἰ πρὸς τὸ φθιμένης, ὅπερ ἐστὶ παρῳχημένου χρόνου, τὸ νῦν συντάξεις. διὰ γὰρ τὸ πάνυ ἀρτίως, καὶ μὴ ἐκ πολλοῦ, γεγονέναι τὴν φθίσιν, τὸ νῦν τέθειται, τὸ σύνεγγυς τῆς φθίσεως παριστῶν. 35

143. τὸ ἱππομανῆ ἢ πρὸς τὸ λειμῶνα νόει· ἱππομανὴς γὰρ λειμὼν

θυμούμενον. ἐν ᾗ παραπλήσιον τῷ βούπαις, ἀντὶ τοῦ μέγας παῖς. ἢ ἱππομανῆ, τὸν ἱππικόν.

150. εἰκότως εἶπε τὸ νῦν, παριστῶν τὴν ἐνεστῶσαν αὐτῷ ἔχθραν πρὸς τοὺς Ἕλληνας, καὶ μάλιστα τοὺς αὐτῶν προὔχοντας, ἠδικηκότας αὐτὸν τῇ περὶ τῶν ὅπλων κρίσει· ὥστε ἃ κατ' αὐτοῦ ἀκούοιεν, εἰ καὶ ψευδῆ, ἀλλ' ὡς ἀληθῆ δεχόμενοι ἥδονται.

154. μὴ λάβῃς ἔξωθεν τὸ κατά εἰς τὸ μεγάλων, ὥς τινες τῶν ἀμαθῶν, ἀλλ' οὕτω λέγε· οὐ γὰρ ἄν τις δηλονότι ἁμάρτοι τῶν μεγάλων ψυχῶν, εἰς καὶ πέμπων κατ' αὐτῶν, λόγους δηλονότι ἐχθίστους. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τοξευόντων. ὅταν γὰρ μείζων ὁ σκοπὸς ᾖ, ἥκιστα τούτου ἀποτυγχάνουσιν. οἱ δὲ προστιθέντες τῷ εἰς τὸ λόγους ἁμαρτάνουσι, μὴ εἰδότες τὰ μέτρα τῶν στίχων· νοεῖται δὲ τὸ λόγους κατὰ συνεκδοχήν, ἀπὸ τοῦ λέγων.

157. εἰκότως τὸ ἕρπει ἐπὶ φθόνου εἴρηκε, δίκην ὄφεως (ἐπὶ τούτου γὰρ τὸ ἕρπειν λέγεται) τοὺς φθονουμένους βλάπτοντος.

160. οἱ προστιθέντες εἰς τὸ ἄριστ' ἄν τὸ δράσῃ, καὶ λέγοντες, ἄριστ' ἂν δράσῃ, ἀγνοοῦντες τὰ μέτρα τοῦτο προστιθέασι· σὺ δὲ τὸ ὀρθοῖτο ἀπὸ κοινοῦ λέγε. ὁμοίως καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικρῶν λέγε, οὐ μικροτέρων. ἐφθημιμερὲς γὰρ ὀφείλει εἶναι τὸ τοιοῦτο κῶλον, ὡς ἀποθετικόν. ἀλλὰ καὶ τὸ ἀπαλέξασθαι σοῦ χωρίς τοιοῦτον ὀφείλει εἶναι ἐφθημιμερὲς, ὡς ἀποθετικόν· διὸ τὸ ἄναξ ἐξεβλήθη παρ' ἐμοῦ. οἱ δὲ γράφοντες ἀπαλλάξασθαι ἀμαθεῖς τῶν μέτρων. χρὴ οὖν ἀπαλέξασθαι γράφειν, ἵν' ἔχῃ ὀρθῶς.

162. τοῦτο διπλῶς λέγε. ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους προδιδάσκειν γνώμας τούτων, ἤγουν τὴν περὶ τούτων διάνοιαν, τουτέστιν, οὐδεὶς ἂν δύναιτο διδάσκειν τοὺς ἀσυνέτους Ἕλληνας τούτους τοὺς λόγους, ὡς δεῖ περὶ πλείστου ποιεῖσθαι τοὺς μεγάλους. καὶ πάλιν, οὐ δυνατὸν προδιδάσκειν τοὺς κατὰ τὰς γνώμας ἀνοήτους τούτων, ἤγουν τοὺς μωροὺς τὴν διάνοιαν, καὶ μηδὲν τούτων ὧν ἔφην αἰσθανομένους. ἢ οὕτω τοῦτο λέγε, ἀλλ' οὐ δυνατὸν ὑπάρχει τοὺς ἀνοήτους τούτων τῶν πραγμάτων ὧν ἔφην προδιδάσκειν γνώμας, τουτέστι γνωματεύεσθαι καὶ παραινεῖν καὶ λέγειν αὐτοῖς ταῦτα.

167. τὸ πᾶν οὕτως· ἀλλὰ γὰρ ὑποδείσαντες οἱ Ἀχαιοί σε, ἤγουν

ἡ σύνταξις οὕτως· ἀλλ' εἰ φανείης σὺ τούτοις ἐξαίφνης, τάχ' ἂν πτήξειαν καὶ φοβηθεῖεν ἄφωνοι ἐν σιγῇ· τουτέστιν, ὑπὸ τοῦ φόβου σιγὴν καὶ ἀφωνίαν ἔξουσιν· ὑποδείσαντες καὶ φοβηθέντες, ἅτε καὶ καθὰ ἀγέλαι πτηνῶν μέγαν αἰγυπιὸν καὶ ἀετὸν, ὑποδείσασαι δηλονότι. παταγοῦσι γὰρ καὶ θορυβοῦσιν, ὅτε ἀπέδραν καὶ ἀπέφυγον τὸ σὸν ὄμμα. καὶ μὴ νομίσῃς λέγειν τὸν χορὸν τοῦτο, διότι ἐξέφυγον οἱ Ἕλληνες τὸ τοῦ Αἴαντος ξίφος μανέντος καὶ πρὸς τὰς ποίμνας χωρήσαντος, καὶ οὐκ ἀπώλοντο· πῶς γὰρ ἔλεγεν ἂν ὅπερ οὐκ ἠπίστατο, ἀλλ' ὕστερον ὑπὸ Τεκμήσσης καὶ αὐτοῦ Αἴαντος ἔμαθεν ἐλθόντος εἰς αἴσθησιν; ἐνδεικνύμενος δὲ τὸ τοῦ Αἴαντος φοβερὸν τοῦτό φησιν. οἱ δὲ τὸ γάρ ἀργὸν λέγοντες ἀγνοοῦσι τὴν σύνταξιν. καὶ γὰρ στίζουσι μὲν πρὸς τὸ παταγοῦσι, τὸ δὲ ἅτε πτηνῶν ἀγέλαι ἀσυνδέτως ἐκφέρουσι. τὸ δὲ ὅτε ἐνταῦθα ἀντὶ τοῦ ὁπότε ἐστίν· ἐπειδὴ καθολικῶς, ὡς ἔφαμεν, ὁ λόγος ἀπὸ τοῦ χοροῦ λέγεται. ἢ μὴ λάμβανε πρὸς τὸ πτηνῶν ἀγέλαι τὸ ὑποδείσασαι, ὡς ἔφαμεν, ἀλλ' ἐκ τοῦ ἀπέδραν ἀποδρᾶσαι κατὰ συνεκδοχὴν νόει, ἵν' ᾖ, ἀποδρᾶσαι μέγαν αἰγυπιόν.

172. εἰκότως Ἄρτεμιν, καὶ Ἄρην, καὶ τὸν ὑπουργὸν αὐτοῦ Ἐνυάλιον αἰτίους τῶν παρόντων ἡγεῖται κακῶν, ἅτε πολεμικοὺς θεοὺς, καὶ βεβοηθηκότας ἴσως ἂν αὐτῷ πρὸς μάχην, καὶ μὴ παρ' αὐτοῦ τυχόντας ὧν ἔδει· ταῦτα δὲ ἦν θυσίαι καὶ ἀναθήματα. οἴεται δὲ καὶ ἐν ἐλαφηβολίαις καὶ κυνηγεσίοις συμμαχῆσαι αὐτῷ τὴν Ἄρτεμιν· τούτων γὰρ ἔφορος ἡ θεός· καὶ διὰ τὸ μὴ ἀντιτυχεῖν χάριτος, ὀργισθῆναι αὐτῷ. μὴ λάβῃς δὲ ἔξωθεν εἰς τὸ χάριν τὸ διά, ὥς τινες φασὶν ἀπατώμενοι πρὸς τὴν αἰτιατικήν. οὐ γὰρ μόνον, ἐψεύσθημεν τοῦδε, φαμὲν, ἀλλὰ καὶ, τόδε· ὥσπερ καὶ, μέτεστί μοι τοῦδε, καὶ, μέτεστί μοι τόδε. οὐ μόνον δὲ οὕτω φαμὲν τὸ ψεύδεσθαι, ἀλλὰ καὶ πρὸς δοτικὴν πλαγιάζομεν, ὡς ἔχει κἀνταῦθα. πρῶτον γὰρ εἰς αἰτιατικὴν συνέταξε, ψευσθεῖσα χάριν ἀκάρπωτον λέγων· εἶτα πρὸς δοτικὴν ἐπλαγίασε κλυτῶν ἐνάρων ψευσθεῖσα δώροις.

173. ὦ μεγάλα φάτις] οὔπω πεπιστευκὼς ὁ χορὸς ὡς Αἴας τὸ διατεθρυλλημένον διεπράξατο ἔργον, ἀλλ' οἰόμενος ἔκ τινος μήνιδος τῶν θεῶν ταύτην τὴν φήμην γεγενῆσθαι, πρὸς ταύτην ἀποτείνει τὸν λόγον.

180. μομφὰν ἔχων] ἤγουν μεμφόμενός σοι, διὰ τὸ ἴσως ἐν πολέμῳ συμμαχῆσαι, καὶ μὴ τυχεῖν θυσίας εἰς ἀμοιβήν. τὸ δὲ ἐννυχίοις εἶπε διὰ τὸ ἐν νυκτὶ γενέσθαι τὴν μανίαν αὐτῷ.

182. ἐτίσατο] ἤγουν ἀντέδωκεν, ἢ ἔλαβεν, ἢ ἔδωκεν ἁπλῶς, ἢ ἐτιμώρησε τοιαύτην λώβην, ἤγουν ὕβριν.

189. βασιλῆς] τοῦτο Ἀττικῆς ἐστι διαλέκτου, τὸ τρέπειν τὴν ει δίφθογγον εἰς η. οἱ βασιλῆς γὰρ λέγουσι καὶ οἱ ἱππῆς. καὶ τὸ ἧδη παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἡπίστατο, τῆς αὐτῆς ὂν διαλέκτου, σαφέστερον τοῦτο δείκνυσιν.

190. τινὲς εἰς τὸ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς τὸ ὁ ἄρθρον λαμβάνουσιν ἔξωθεν, λέγοντες· οἱ μεγάλοι βασιλεῖς, καὶ ὁ ὑπάρχων τῆς ἀσώτου Σισυφιδᾶν γενεᾶς Ὀδυσσεύς· οὓς ἀγνοοῦντας αὐτὸς χαίρειν ἐάσας οὕτω λέγε· εἰ δὲ ὑποβαλλόμενοι μύθους οἱ μεγάλοι βασιλεῖς κλέπτουσι καὶ ἀπατῶσι τοὺς ἀκούοντας, καὶ ὑπάρχουσιν οἱ μῦθοι τῆς ἀσώτου γενεᾶς τῶν Σισυφιδῶν, ἤγουν τοῦ πανούργου Ὀδυσσέως, τοῦ ἐκ Σισύφου τὰ γένος κατάγοντος, καὶ τὰ ἑξῆς. κυρίως δὲ ἄσωτος ὁ τὸν πατρῷον κακῶς δαπανήσας κλῆρον.

195. ἀγωνίῳ] ἤγουν ἐναγωνίῳ· ἐνταῦθα γὰρ διατρίβοντες τοῖς Τρωσὶ πολεμοῦμεν. ἢ ἀγωνίῳ, τῇ ἀγωνίαν καὶ φόβον ἐμποιούσῃ σχολῇ καὶ διατριβῇ, διὰ τὸ εἰς μῆκος τοσοῦτον τετάσθαι τὸν πόλεμον, καὶ ὑποψίαν πᾶσιν ἡμῖν εἶναι τοῖς Ἕλλησιν ἐκ τούτου, ὡς οὐ παλινοστήσομεν οἴκαδε.

203. οἱ κηδόμενοι] ἢ πρὸς μόνον τὸν χορὸν νοητέον, διὰ μέσου τὸ ἔχομεν στοναχὰς λαμβάνοντας· οὗτος γὰρ πατρόθεν τῷ Αἴαντι ὑποχείριος ἦν, καὶ διὰ τοῦτο μάλιστα πάντων αὐτοῦ ἐκήδετο. ἢ συμπαραληπτέον καὶ τὴν Τέκμησσαν, ὡς αὐτὴν μετὰ τοῦ χοροῦ κηδομένην τοῦ Αἴαντος, ἅτε γαμετὴν οὖσαν αὐτῷ. οἱ δὲ λέγοντες τὸ τηλόθεν ἀντὶ τοῦ, ἀπὸ Τροίας φροντίζοντες Σαλαμῖνος, τἀληθὲς ἀγνοοῦσιν. οὐδεὶς γὰρ λόγος ἐνταῦθα τῆς Σαλαμῖνος. ἠπάτηνται δὲ ἀπὸ τοῦ λέγειν τοῦ Τελαμῶνος οἴκου. τὸ δέ ἐστι τοιοῦτον· οἱ φροντίζοντες τῶν Αἴαντος πραγμάτων τοῦ Τελαμῶνος υἱοῦ. τηλόθεν] ἔκπαλαι.

208. μὴ εἴπῃς τὸ ἐνήλλακται ἀντὶ τοῦ ἐνηλλαγμένως ἤνεγκεν, ὥς τινες οἴονται, συντάσσειν ἐθέλοντες πρὸς τὸ βάρος, ἀλλ' ἀντὶ τοῦ

εἰπεῖν ἐναλλαγήν, βάρος εἶπε, δεικνὺς τὸ τῆς ἐναλλαγῆς δυσχερές. ὥσπερ γὰρ βαρὺ φορτίον οὐ δυνάμεθα φέρειν, οὕτω καὶ τὴν ἀπροσδόκητον μεταβολήν. εἰ μὲν οὖν συνάψεις πρὸς τὸ ἀμερίας τὸ ἐνήλλακται, τὸ ἀμερίας ἀντὶ τοῦ, πρὸ αὐτῆς ἡμερινῆς καταστάσεως νοήσεις· εἰ δὲ τὸ βάρος πρὸς τὸ ἀμερίας ἐρεῖς, τὸ ἀμερίας, ἀντὶ τοῦ, τῆς νῦν ἡμερινῆς καταστάσεως νοήσεις. τοῦτο δὲ εἴποις ἂν, διὰ τὸ ἅμα πρωὶ τὴν περὶ τοῦ Αἴαντος κακὴν φήμην τούτους ἀκοῦσαι, κἀντεῦθεν βάρος λύπης δεδέχθαι, ὥστε ἡ κατὰ τὴν νύκτα συμβᾶσα ἐναλλαγὴ τῆς μετ' ἐκείνην ἡμέρας ἦν.

213. τὸ ὑπείποις ἀντὶ τοῦ προείποις. εἰς ταύτην γὰρ τὴν σημασίαν τῷ ὑπείποις χρῶνται ἅπαντες. ἡ γὰρ ὑπό ἀντὶ τῆς πρό, ὡς ἔχει καὶ τὸ ὑποτίμησις ἤτοι προτίμησις.

216. τὸ ἡμῖν οὐ παντελῶς ἀργὸν, ἀλλ' ἔχει καί τινα χρείαν, εἴπερ συνάψεις οὕτως, ὁ Αἴας ἡμῖν. φίλτρον γὰρ ἐμφαίνει καὶ σχέσιν τὸ ἐμοί καὶ ἡμῖν, ἔνθα ἂν εὑρίσκηται οὑτωσὶ κείμενον. ὃ δὴ καὶ εὑρήσεις ἔν τε ποιηταῖς καὶ λογοποιοῖς πολλαχοῦ, ἀκριβῶς σκοπῶν. τὸ δὲ νύκτερος ἢ πρὸς τὸ ἀπελωβήθη σύντασσε, ἢ πρὸς τὸ ἁλούς.

223. ἄτλατον] ἤγουν οὐ φορητὸν, ἀλλ' ἀνυπομόνητον τοῖς ἀκούουσι, καὶ μάλιστα τοῖς φίλοις. οὐ φευκτὰν] ἣν οὐ δύναταί τις φυγεῖν, καὶ μὴ κατακλασθῆναι τῷ ἀκούσματι.

232. βοτῆρας τοὺς τὴν ποίμνην φυλάσσοντας λέγει κύνας, ὡς καὶ προϊὼν ἐρεῖ. τὸ δὲ βοτῆρας καὶ ἱππονόμους ἐκ παραλλήλου. καταχρηστικῶς δὲ τὸ ἱππονόμους εἶπεν. ἱππονόμος γὰρ ὁ τῶν ἵππων νομεύς. ἢ ἱππονόμους, τοὺς μεγάλους νομεῖς καὶ φύλακας τῶν ποιμνίων. ἵππος γὰρ τὸ μέγα παρ' Ἀττικοῖς, ὥσπερ καὶ τὸ βοῦς. καὶ τοῦ μὲν ἑνὸς παράδειγμα τὸ βούπαις, τοῦ δὲ ἑτέρου τὸ ἱππόβινος καὶ ἱπποβούκολος.

235. οἱ γράφοντες ὧν τὴν μέν καὶ τὰς δὲ πλευροκοπῶν, ἀγνοοῦσι τὰ μέτρα.

243. τὸ δεννάζω ἀπὸ τοῦ δεινὸν γέγονε, τροπῇ τοῦ ι εἰς ν. δέννος γὰρ ἡ λοιδορία.

245. οἱ γράφοντες κρᾶτα οὐ καλῶς γράφουσιν. ἔχει γὰρ τὸ μὲν κρᾶτα τὸ κρα μακρὸν, τὸ δὲ κάρα τὸ κα βραχὺ, τὸ δὲ ρα μακρόν.

τινά. τοῖς γὰρ μαινομένοις οὐδεὶς πλησιάζει, ἵνα μή τι κακὸν ὑπ' αὐτῶν πάθῃ.

257. ἄτερ στεροπᾶς] φασὶν οἱ περὶ ταῦτα δεινοὶ ὡς εἰ μὴ τύχοι οὖσα ἀστραπὴ, ἡνίκα ὁ νότος ἄρξηται πνεῖν, ταχέως παύεται.

269. τοῦτο ἡ Τέκμησσα λέγει διὰ τὸν Αἴαντα. δέον δὲ εἰπεῖν, ὁ Αἴας οὐ νοσῶν βλάπτεται, ἡμεῖς οὐ νοσοῦντες εἴπε διὰ ταῦτα, ὅτι εἰώθαμεν, ὁπηνίκα περὶ τινὸς τῶν γνωρίμων διηγούμεθα ἀπόντος, ἐκ τοῦ οἰκείου προσώπου τοὺς λόγους ποιεῖσθαι, καὶ εἰς ἑαυτοὺς τὸ ἐκείνου πρόσωπον ἀναδέχεσθαι, καὶ ὅτι αὕτη ἡ Τέκμησσα τοῦ Αἴαντος ἦν, καὶ τὸ ἐκείνου κακὸν οἰκεῖον ἐνόμιζεν. ὅθεν σκοτεινῶς εἰρῆσθαι δοκοῦν, ἐξεπίτηδες ἀποροῦντα τὸν χορὸν ὁ ποιητὴς δείκνυσιν, ἵνα δῆλον διὰ τῶν ἑξῆς γένηται.

275. τὸ πᾶς εἶπεν, ἵνα δείξῃ ὡς ὅλος τῆς λύπης γέγονε. τὸ δὲ ἐξ ἁπλῶν ἀντὶ τοῦ μονοειδῶν φησί. πρώην γὰρ ἐλυπούμεθα ἡμεῖς μόνοι, νῦν δὲ καὶ ὁ Αἴας μεθ' ἡμῶν.

279. πῶς γάρ] ἔδει γὰρ νῦν μᾶλλον εὐφραίνεσθαι παυσάμενον τῆς μανίας ἢ ὅτε ταύτῃ συνείχετο, εἰ καὶ ἄλογος ἦν ἡ τότε χαρά. διόπερ ἀπορῶν ὁ χορὸς εἰς θεοὺς ἀναφέρει τὸ πρᾶγμα, καὶ παρ' ἐκείνων ἐλθεῖν αὐτῷ φησι τὰ δεινὰ, εἴγε καὶ μετὰ τὴν νόσον χείρω διάκειται τῇ λύπῃ.

282. τοῦτο τὸ γάρ ὅμοιον, ὡς ἄνω ἔφημεν, τῷ (101.) "Τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου;" ἢ τὸ γάρ ἀντὶ τοῦ δέ νοητέον, δεινοπάθειαν ἔξωθεν σχετλιάζοντος τοῦ χοροῦ, κἂν ὁ ποιητὴς εἴασε τοῦτο δηλῶσαι.

285. μὴ λάβῃς εἰς τὸ νυκτός ἔξωθεν τὸ ἐπί, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἡνίκα.—ἕσπεροι] οὓς εἰώθαμεν ἐν ἑσπέρᾳ ἅπτειν, διὰ τὴν τοῦ σκότους παρουσίαν.

290. οὔτε του κλύων] εἰώθασιν οἱ Ἀττικοὶ τὰ θηλυκὰ ἄρθρα ἀρσενικῶς ἐκφέρειν, ἀντὶ τοῦ τῆς του λέγοντες. ἔστι δὲ τοῦτο ὅμοιον τῷ παρ' Εὐριπίδῃ (Ἑκάβ. 370.) "οὔτε του δόξης ὁρῶ." εὕρηται δὲ καὶ παρ' Ἰσοκράτει πολλὰ τοιαῦτα, καὶ κοινῶς, ὡς ἔπος εἰπεῖν, παρὰ πᾶσι λογοποιοῖς τὸ, τὼ χεῖρε.

293. οἱ τιθέντες ἐπὶ τῷ γύναι περισπωμένην ἀμαθεῖς τῶν μέτρων. ἐντεῦθεν οὖν μανθανέτωσαν ὀξεῖαν τιθέναι· βραχὺ γάρ ἐστι τὸ γυ, εἰ

βραδέως εἰς τὸ καθεστηκὸς ἦκεν.

309. νεκρῶν ἀρνείου φόνου] τουτέστι, νεκρῶν ἀρνῶν πεφονευμένων. εἴρηται δὲ τοῦτο ἀπὸ μέρους τὸ πᾶν. οὐ γὰρ ἄρνες μόνον ἦσαν, ἀλλὰ καὶ κριοὶ καὶ βόες.

319. κακοῦ καὶ βαρυψύχου] ἀμφότερον ἀντὶ τοῦ δειλοῦ νοητέον.

320. οἱ λέγοντες τὸ ἔχειν ἀντὶ τοῦ ὑπάρχειν ἁμαρτάνουσιν. ὥσπερ γάρ φαμεν, τὰ δίκαια ποιεῖν καλοῦ ἀνδρὸς ἔχει, οὕτω καὶ τοῦτο· ἔλεγε γὰρ ὁ Αἴας ὡς ἔχει τὸ τοιοῦτο δειλοῦ ἀνδρὸς, τὸ καθάπερ γυναῖκα κλάειν καὶ θρήνους εἰς ὕψος αἴρειν.

322. μυκώμενος] οἱ γράφοντες βρυχώμενος καὶ μεγεθύνοντες τὸ χο διὰ τὸ μέτρον ἴσως ἀμαθεῖς εἰσι καὶ γραμματικῆς καὶ μέτρων. κάλλιον γὰρ τὸ μυκώμενος πρὸς τὸ ταῦρος.

328. καταχρηστικῶς τὸ ἐστάλην ἀντὶ τοῦ ἐπορεύθην εἴρηται. κυρίως γὰρ τὸ ἐστάλην ἐπὶ θαλάσσης λέγεται, οἷον, ἐστείλατό τις τόνδε τὸν πλοῦν.

331. λέγεις ἐν τοῖς νῦν κακοῖς διαπεφοιβάσθαι καὶ μαντεύσασθαι τὸν ἄνδρα ἡμῖν δεινὰ, τουτέστιν, ἐξ ὧν διηγῇ, παριστᾷς προμεμηνυκέναι αὐτὸν, ὡς ἑαυτὸν ἐργάσεταί τι κακόν. ἃ γὰρ ἔπραξεν ἀναλογιζόμενος, κρεῖττον τὸ θανεῖν ἡγήσεται.

341. ποῦ ποτ' εἶ;] τοῦτο ἢ πρὸς τὸν παῖδα, ἢ πρὸς τὸν Αἴαντα, οὕτως· ποῦ ποτε νοῦ εἶ, καὶ τί ταῦτα βοᾷς;

355. δηλοῖ δὲ τοὔργον] τοῦτο λέγει, ὅτι τὰ παρόντα ὑπὸ μανίας γενέσθαι παρίστησιν. ἢ οὕτως· τὸ ἔργον, τουτέστι τὸ ἐν τούτοις εἶναι τὸν Αἴαντα, ὡς ἄδοξον, καὶ παῖδα ἀνακαλεῖσθαι, καὶ τὴν αὐτοῦ τύχην πρὸς ἡμᾶς ἀνακλαίεσθαι, δηλοῖ ὡς ἀφροντίστως καὶ ἀποστατικῶς ἔχει τῆς μανίας. ὅπερ εἰ λέγεις, πρὸς μόνην τὴν Τέκμησσαν τὸν λόγον ἐρεῖς. ἢ οὕτω· τὸ ἔργον δὲ, ἤγουν τὸ τοσοῦτον αὐτὸν λυπεῖσθαι καὶ δυσχεραίνειν ἐπὶ τοῖς πεπραγμένοις, ἀπαραμύθητον τοῦτο δεικνύει, ὡς ἀφροντίστως τῆς οἰκείας σωτηρίας ἔχει, καὶ δεινὰ καθ' αὑτοῦ μελετᾷ.

356. τὸ ναΐας τέχνης ἢ πρὸς τὸ γένος συναπτέον, οὕτω, ᾧ γένος ναΐας τέχνης, ἤγουν ᾧ ναῦται· ἢ πρὸς τὸ ἀρωγόν, λαμβανομένου ἔξωθεν τοῦ ἕνεκα, οὕτως, ᾧ γένος ἀρωγὸν ἐμοὶ ἕνεκα τῆς ναΐας τέχνης,

σὲ μονον δεδορκα και βλεπω φροντιστων επαρκεσοντα. τουτεστι συ μόνος ἐφάνης ἐμὸς φροντιστὴς εἰς τὸν παρόντα καιρόν. τὸ δὲ ποιμένων μεταφορικῶς εἴρηται ἀντὶ τοῦ κηδεμόνων. καὶ γὰρ καὶ ὁ ποιμὴν κηδεμὼν τῶν προβάτων ἐστίν.

373. ἀλάστορας ἐνταῦθα λέγει ἢ τοὺς κακοὺς καταχρηστικῶς, ἢ τοὺς φονεῖς. καὶ γὰρ τρόπον τινὰ καὶ οἱ Ἕλληνες αὐτὸν ἀπεκτόνασιν, ἀπεστερηκότες τὰ ὅπλα, καὶ τῶν παρόντων αὐτῷ γεγονότες αἴτιοι, δι' ἅπερ οὐκ ἀνέξεται ζῆν, ἀλλὰ ἐθελήσει τεθνήξεσθαι, ὃ δὴ καὶ γέγονε.

387. οἱ γράφοντες προγόνων προπάτωρ οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων. δεῖ οὖν πάτερ γράφειν, ὡς καὶ ἔν τινι τῶν βιβλίων εὕρηται.

395. ἔρεμβος χρὴ γράφειν διὰ τὸ μέτρον, καὶ φαενόν, οὐ φαενώτατον. ὅμοιον γὰρ χρὴ εἶναι τῷ τῆς ἀντιστροφῆς κώλῳ.

399. τὸ τινα ἢ πρὸς τὸ ἀμερίων συντακτέον, ἢ τὸ μὲν γένος κατὰ κοινοῦ λάμβανε πρὸς τοῦτο, σύναπτε δὲ τὸ τινα πρὸς τὸ ὄνησιν, ὥσπερ καὶ τὸ ἀνθρώπων ἢ πρὸς τὸ ἀμερίων, ἵν' ᾖ τὸ αὐτό, ἢ πρὸς τὸ ὄνησιν, οὕτως· οὔτε γὰρ ἄξιός εἰμι βλέπειν τὸ γένος τῶν θεῶν οὔτε τῶν ἀμερίων εἴς τινα ὄνησιν ἀνθρώπων, τουτέστιν, οὐ δεῖ με ἀπὸ τοῦδε ζῆν, εὐχόμενον τοῖς θεοῖς, καὶ μετὰ τῶν ἄλλων διάγοντα, ἵν' ἀνθρωπίνως εὐτυχῆσαί μοι γένοιτο· ὅπου γε τὸ ἀνθρώπων εἰς τὸ ἀμερίων συνάπτων οὕτω τὸ ὄνησιν ἐρεῖς.

402. ὀλέθριον] ὀλεθρίως εἰπεῖν ἔδει, ἀλλὰ πρὸς τὸ ἐμὲ ἐπήγαγε. καὶ ἔστιν ἀρσενικὸν, οὐχ, ὥσπερ τινὲς οἴονται, οὐδέτερον.

405. τὰ μὲν] τινὲς λέγουσι τὴν περὶ τῶν ὅπλων κρίσιν, καὶ τὸ φθίνει πρὸς τὴν Ἀθηνᾶν ἀποδιδόασι, καὶ ἕτερ' ἄττα· ἐγὼ δὲ αὐτὸς οὕτω, τὰ μὲν τῶν ἡμετέρων φθίνει καὶ φθείρεται· λέγω δὴ τὸ τιμᾶσθαι καὶ παρὰ πάντων αἰδέσιμον εἶναι, καὶ μετὰ τοῦ λελογισμένου πράττειν ὅσα καὶ θέλοιμι, ἅπερ ἐμοὶ πρῶτον ἀνθοῦντα νῦν καταρρεῖ καὶ εἰς οὐδὲν χωρεῖ, παραπλησίως τοῖς προκειμένοις θρέμμασιν. ἢ τὸ φθίνει ἀντὶ τοῦ φθείρουσιν, οὕτω· τὰ μὲν, ἤτοι τὰ συμβάντα μοι κακὰ, φθείρουσί με εἰς μνήμην ἐρχόμενα.

408. δίπαλτος] ἤτοι διπλῇ χειρὶ καὶ πάσῃ δυνάμει. δηλοῖ δὲ διὰ τοῦτο τὴν κατ' αὐτοῦ σφοδρὰν ὀργὴν τοῦ στρατοῦ.

412. πόροι ἁλίρροθοι] ποταμοὶ οἱ πρὸς τὴν ἅλα ἐμβάλλοντες καὶ

χρῆσθαι ὑμῖν.

434. ἡ σύνταξις, ὅτου ὁ πατὴρ Τελαμὼν ἦλθεν ἀπὸ τῆς Τροίας εἰς τὸν οἶκον φέρων πᾶσαν εὔκλειαν, τὰ πρῶτα καλλιστεῖα καὶ ἐξαίρετα γέρα τοῦ στρατοῦ, λέγω τὴν Ἡσιόνην, ἀριστεύσας καὶ ἄριστος φανείς. πρῶτος γὰρ τὸ Τροίας εἰσεπήδησε τεῖχος. στρατὸν δὲ λέγει, ὃν κατὰ τῆς Τροίας Ἡρακλῆς ἠγάγετο, ἀμυνόμενος Λαομέδοντα, διὰ τὸ μὴ τοὺς ἵππους λαβεῖν, οὓς ὑπέσχετο αὐτῷ δοῦναι, εἰ τὸ κῆτος ἀνέλοι. ἡ δὲ ἱστορία παρὰ Λυκόφρονι. τὸ δὲ εὔκλειαν καὶ τὰ πρῶτα καλλιστεῖα ταυτόν ἐστιν, εἰ καί τινες τῶν ἀμαθῶν τὸ ἀριστεύσας ἀντὶ τοῦ, ὡς ἄριστος λαβών, λέγουσι, βουλόμενοι συντεταχέναι τὰ πρῶτα καλλιστεῖα, ἃ οὐκ ἄλλο οὐδὲν ἦν ἀλλ' ἢ εὔκλεια. οὕτω δὲ εὑρήσεις καὶ προϊών, λέγω δὴ τὸ (465.)

ὃν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν.

439. τὸ ἀρκέσας οὐκ ἀντὶ τοῦ πράξας, ὥς τινες οἴονται, ἀλλ' ὥσπερ φαμὲν τὸ, ἀρκετός εἰμι τόδε, οὕτω καὶ τὸ ἀρκέσας ἔργα νοῶμεν, εἰ καὶ λεπτὸν ὂν ἐκφεύγει τὸν νοῦν τοῖς μὴ τελείοις τὴν σύνταξιν.

443. μὴ τοῖς ἄλλοις ἀκολουθῶν καὶ αὐτὸς τὸ κρίνειν ἀντὶ τοῦ, μετὰ κρίσεως διδόναι λέγε, ἵνα συντάξῃς τῷ τινί, ἀλλ' εἰδὼς ὡς, κρίνει πᾶσιν ὁ δεῖνα τὰ δίκαια, λέγομεν, τὸν αὐτὸν λογισμὸν ἔχε κἀνταῦθα.

446. εἴ τις τὸ ἔπραξαν ἀντὶ τοῦ ἔδωκαν λέγει, ἁμαρτάνει. καὶ γὰρ ὃν τρόπον φαμὲν ὅτι ὁ δεῖνα τοὺς νόθους καταβαλὼν ἄρχοντας τὴν βασιλείαν τῷ δεῖνος παιδὶ πεποίηκε κατὰ νόμους εἰς ταύτην ἁρμόττοντι, οὕτως ἔχει καὶ τοῦτο. ἀπώσαντες γὰρ οἱ Ἀτρεῖδαι τὸν Αἴαντα Ὀδυσσεῖ τὰ ὅπλα ἐποίησαν, τουτέστιν, αὐτὸν κύριον εἶναι τούτων κατέστησαν.

450. Γοργῶπις] καταπληκτικὴ, ἢ τὴν τῆς Γοργοῦς κεφαλὴν, δίκην ὀφθαλμοῦ, ἐν τῇ ἀσπίδι ἔχουσα.

461. τὸ μόνους μὴ οὕτω νόει, ὡς ἀπελθόντος αὐτοῦ μόνοι οἱ Ἀτρεῖδαι καταλειφθήσεσθαι ἔμελλον· ἀνόητον γὰρ, τοῦ ἄλλου παρόντος αὐτοῖς στρατοπέδου. ἀλλὰ τοῦτο λέγει, ὡς μόνους αὐτοὺς καταλείψει μὴ τοῦτον ἔχοντας.

465. μὴ λάβῃς εἰς τὸ ὃν ἔξωθεν τὸ ἀπό, ἀλλ' οὕτω λέγε, τῶν

467. μέρος ἦν τι τοῦ τῆς Τροίας τείχους σαθρὸν, ὃ φοβούμενοι Τρῶες μὴ πορθηθεῖεν ἐκεῖθεν, ἄνδρας πρὸς τοῦτο συνεχεῖς κατέστησαν φυλακῆς ἕνεκα, οὓς νῦν καλεῖ ἔρυμα.

481. ὑπόβλητον λόγον] ὑπόβλητα καλεῖται τὰ νόθα τῶν παιδίων, διὰ τὸ ὑφ' ἑαυτὰς τιθέναι τὰς πλείστας τῶν γυναικῶν ἑτέρων τέκνα μητέρων, ὥστε καταπεῖσαι τοὺς ἑαυτῶν ἄνδρας, γνήσια ἑαυτῶν εἶναι τὰ ὑπ' αὐτὰς κλαυθμυρίζοντα βρέφη.

485. ταῦτα ἐκ τῶν Ὁμήρου μεμίμηται, ὅτε Ἀνδρομάχη πρὸς τὸν ἴδιον ἄνδρα Ἕκτορα εἰς πόλεμον ἐξερχόμενον δεινοπαθοῦσα ἐπεχείρει κάμπτειν εἰς ἔλεον καὶ τῆς ὁρμῆς ἐπισχεῖν.

491. τὸ ξυνῆλθον ἀπορίαν τινὰ ἔχει, διὰ τὸ δοκεῖν πρὸς αἰτιατικὴν συντάσσεσθαι. τὸ δ' οὐκ ἔστι τοιοῦτον, ἀλλ' ὥσπερ φαμὲν, συνῆλθον τὴν σὴν οἰκίαν, ἀντὶ τοῦ, σὺν σοὶ τὸν οἶκον ὤδευσα· ἔννοιαν γὰρ κοινωνίας ἡ σύν παρίστησιν, εἰ καὶ μὴ τὸ τὴν κοινωνίαν ποιοῦν δείκνυσι πρόσωπον· οὕτω δὴ κἀνταῦθα συνῆλθον τὸ σὸν λέχος, ἤτοι μετὰ σοῦ τὴν σὴν κοίτην ἔβην, καὶ κοινωνόν με ταύτης πεποίησαι. ἢ τὸ κατά πρὸς τὸ λέχος ἔξωθεν λάμβανε, οὕτω· συνῆλθόν σοι κατὰ τὸ σὸν λέχος, ἤτοι ἐν σοὶ κατέστην οὐ δοῦλος, ἀλλὰ γυνὴ εἶναί σοι. τὸ δὲ τοιγαροῦν ἀντὶ τοῦ ἀληθῶς. εὖ φρονῶ τὰ σά] τὸ σοὶ ἁρμόττον σπουδάζω καὶ κάλλιστα τῶν σῶν φροντίζω.

499. τὸ δουλίαν διὰ τὸν τοῦ μέτρου κανόνα ἰωτογραφεῖται, καὶ ἔστιν Ἰωνικῆς διαλέκτου, ὡς καὶ τὸ προμηθίαν καὶ ἀληθίαν, καὶ τὰ τοιαῦτα. οἱ δὲ διὰ διφθόγγου αὐτὸ γράφοντες, καὶ ἔτι οἱ δούλειον λέγοντες, οὐ καλῶς γράφουσιν.

512. μὴ φίλων] ἤγουν κακῶν, οὓς οὐδεὶς ἂν φιλήσειε, καὶ μάλιστα ὁ ἐπιτροπευόμενος, ὡς μὴ προσηκόντως ἐπιμελομένους.

524. οὐκ ἂν γένοιτο] ἤγουν οὐκ ἂν εἰς τὸ ἑξῆς οὕτος γενναῖος νομισθείη. ἔστι γὰρ τοῦτο ἀγνώμονος.

526. αἰνοίης] ἤγουν ἐπαινοίης ἄν, εἰ συμπαθῶς καὶ μετὰ νοῦ πράου οἷς λέγει προσενεχθείης, τοῦ σκληροῦ καὶ ἀνενδότου χαλάσας.

535. μὴ λάβῃς εἰς τὸ τοῦτο ἔξωθεν τὴν κατά.

538. ἐμφανῆ] ἐμφανῶς δέον εἰπεῖν, πρὸς τὸ αὐτόν ἤγαγεν.

555. τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν] κακὸν μὲν διὰ τὸ

ἐντεῦθεν μὴ τήκεσθαι λύπῃ.

566. ἐπισκήπτω χάριν] τὸ φροντίδα ποιεῖσθαι τοῦ οἰκείου παιδὸς τὸν χορὸν, καὶ ἀπελθόντα εἰς Σαλαμῖνα μετὰ τοῦ Τεύκρου παραδιδόναι Τελαμῶνι τὸν παῖδα, χάριν αὐτῷ λογίζεται Αἴας. τὸ δὲ Ἐριβοίᾳ λέγω εἶπεν, ἵν', ἐπειδὴ τοῦτο ἀόριστον ἦν, μή τινες πλανῶνται, ἀγνοοῦντες ὁποίαν λέγει, εἴτε Ἡσιόνην, εἴτε Ἐρίβοιαν. ἀμφότεραι γὰρ ἔζων τότε, ἡ μὲν οὖσα Τεύκρου μήτηρ, ἣν Τελαμὼν παρ' Ἡρακλέους γέρας εἰλήφει, ὁπότε εἰς Τροίαν ἐστράτευσεν, Ἐρίβοια δὲ Αἴαντος.

576. ἄρρηκτον] στερρὸν καὶ μὴ ῥηγνύμενον· ὑπερβολικῶς δὲ τοῦτο λέγει.

581. οὐ πρὸς ἰατροῦ] ὃ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἔστιν ἀγαθοῦ ἰατροῦ, ἐάν τις ἀνιάτως ἔχῃ χειρὸς ἢ σκέλους, μὴ τομὴν ἐπισπεύδειν τούτου, ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ λοιπὸν σῶμα συννοσταίῃ φθοράν, ἀλλὰ παραμυθεῖσθαι λόγοις πειρᾶσθαι ὡς προσδοκᾶν χρὴ τὴν ἴασιν· ὥστε καὶ αὐτὴ μή με δακρύοις ἐπιχείρει μαλάσσειν, καὶ ὃν προὐθέμην σκοπὸν ἀποστερεῖν, λέγω δὴ τὸ τεθνάναι. τοῦτο γὰρ ἐμοὶ νῦν οὕτως ἔχοντι κρεῖττον ἢ ζῆν.

589. θεοῖς ὡς οὐδὲν] ὃ λέγει τοιοῦτόν ἐστιν· οὐκ εἰμὶ ὀφειλέτης ἀρκεῖν τοῖς θεοῖς, ἤτοι ἀρκετὸς καὶ ἀνελλιπὴς αὐτοῖς εἶναι, τουτέστι τιμᾶν καὶ θεραπεύειν, ὡς δεῖ, καὶ μηδὲν ἐλλείπειν τῶν δεόντων εἰς αὐτοὺς γίνεσθαι, ὡς τῆς ζωῆς ἀνθρώποις αἰτίους, καὶ πάντα τἄλλ' ἀγαθὰ παρέχοντας. ἢ τὸ θεοῖς πρὸς τὸ εἰμ' ὀφειλέτης σύναπτε, τὸ δὲ ἀρκεῖν, ἀντὶ τοῦ διαρκεῖν καὶ εἰς τὸ ἑξῆς ζῆν, λέγε, οὕτως, οὐκ ὀφείλω τοῖς θεοῖς ζῆν εἰς τὸ ἑξῆς. εἰ μὲν ἐφρόντιζον ἐμοῦ καὶ ἐπεμελοῦντο, ἀνάγκην ἂν εἶχον καὶ αὐτὸς ζῆν, ἐφ' ᾧ τούτους τῆς φροντίδος ἀμείβεσθαι τιμαῖς καὶ θυσίαις· ἐπεὶ δὲ ἠμελήκασι, καὶ οὕτως ἀτιμασθῆναι παρεῖσαν, οὐδέν με τὸ ἀναγκάζον ἐστὶ τοῦ ζῆν ἔτι ποιεῖσθαι λόγον. ἢ οὕτως ἐρεῖς· οὐ κάτοισθα καὶ οὐ γινώσκεις ὡς οὐδαμῶς εἰμὶ ὀφειλέτης τοῖς θεοῖς εἰς τὸ ἑξῆς ἀρκεῖν καὶ βοηθεῖν τινὶ, ἤγουν ἐπεὶ οἱ θεοὶ οὕτω με εἴασαν ἀτιμασθῆναι, οὐ χρεωστῶ διὰ τούτους ἔτι βοηθεῖν ἢ σοὶ, ἢ ἑτέρῳ. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ἡ Τέκμησσα

πρὸς θεῶν ἱκνοῦμαι μὴ προδοὺς ἡμᾶς γένῃ

πρὸς τὸ ἀλίπλακτος. οὐ γὰρ εἰσεῖτο εἰκασμόν, εἰ ἐστὶν ἀλίπλακτος, ἀλλ' εἰ ἐστὶν εὐδαίμων. τὸ δὲ ἀλίπλακτος πρὸς τὸ Σαλαμίς σύν- 5
απτε. τό γε μὴν ναίεις ἀντὶ τοῦ οἰκῇ ἐνταῦθα λέγε, ἢ ἀπὸ τοῦ οἰκοῦντος τὸ οἰκούμενον, ὥσπερ ἐστὶ καὶ τὸ ὄργανον ἀντὶ τοῦ ἔργου, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον, ὡς τὸ "λαϊνέοισιν Ἀμφίονος ὀργάνοις," παρ' Εὐριπίδῃ. (Φοινισσ. 113.) ἄλλως δ' ὅτι ἡ τῶν ἐνοικούντων οἴ- κησις αὐτοῦ ἐστὶν οἴκησις. 10

602. μήλων πόᾳ γράφε, καὶ μὴ ποίᾳ μήλων, διὰ τὸ μέτρον.

604. οἱ γράφοντες εὐνόμᾳ τὸ νο μικρὸν, καὶ συνάπτοντες πρὸς τὸ ποίᾳ, οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων. χρὴ οὖν πρὸς τὸ χρόνῳ συν- άπτειν, καὶ μεγεθύνειν τὸ νω, ἵν' εἴη τῷ εὐνώμᾳ καὶ εὐκινήτῳ χρόνῳ. νωμῶ γὰρ τὸ κινῶ. 15

607. τὸ πότ' ἀνύσειν οὐκ ἔστι πότε ἀνύσειν, εἰ διαλελυμένως εἶ- πους, ἀλλὰ ποτὲ ἀνύσειν· διὰ δὲ τὴν συναλοιφὴν μετετέθη ὁ τόνος. οὕτω δὲ ἐρεῖς· ἔχων ἐλπίδα κακὴν ἀνύσαι καὶ διελθεῖν καὶ περάσειν ποτὲ ἐμὲ ἔτι καὶ εἰς τὸ ἑξῆς τὸν ἀπότροπον καὶ μισητὸν πᾶσιν Ἀιδην, τὸν ἀΐδηλον καὶ ἀφανῆ. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· πολὺν χρόνον μίμνων 20
ἐν τῇ Τροίᾳ ἀνήριθμος καὶ ἄτιμος, καὶ μὴ εἰς ἀριθμὸν ὢν, τρυχόμενος καὶ δαμαζόμενος τῷ τοσούτῳ χρόνῳ, ἐλπίδα ἔχων κακὴν ἀποθανεῖν ποτὲ καὶ διελθεῖν τὸν Ἅιδην. οὐ γὰρ ἤλπιζον ὑποστρέφειν εἰς τὴν αὐτῶν χώραν. κακὴν δὲ τὴν ἐλπίδα εἶπε, διὰ τὸ θανάτου ἐλπίδα εἶναι καὶ οὐκ ἀγαθοῦ τινός. 25

613. πρὶν εὖ ποτε γράφε, καὶ νικῶντ' εἰν Ἄρει, καὶ φρενός γ' οἰω- βότας. οὕτω γὰρ ἔχει οἰκείως πρὸς τὰ τῆς στροφῆς κῶλα· εἰ δ' ἄλ- λως γράφεις, οὐκ ὀρθῶς ἔχει. οἰωβότας] μεμονωμένος, πεπλανη- μένος. ἐκ μεταφορᾶς τῶν θρεμμάτων τῶν τῆς ἀγέλης κεχωρισμένων καὶ καθ' ἑαυτὰ νεμομένων. 30

637. ἦκων γενεᾶς ἄριστος] οὕτω γράφε, ἵν' ᾖ ὅμοιον τῷ τῆς στρο- φῆς κώλῳ. οὕτω γὰρ εὑρέθη καὶ ἔν τινι τῶν παλαιῶν πάνυ.

638. πολυπόνων] πολυμόχθων τὰ εἰς πόλεμον. οὐκ ἔτι συντρό- φοις] ἤγουν ἐκ πατρὸς ἔχων τὸ πρὸς πολέμους καὶ μάχας ἀνδρείως ὁρμᾶν, τούτου μὲν τοῦ ἐκ φύσεως προσόντος αὐτῷ ἀπέστη, πρὸς δὲ 35
τὰ παρὰ φύσιν ὥρμησεν ὑπὸ τῆς μανίας.

αὐτῷ τε καὶ πᾶσι τοῖς Ἕλλησιν, ἢ, ὅπερ καὶ αὐτὸς λέγει, διὰ τὸ μηδενὸς χρηστοῦ ἀπολαῦσαι, ἐξότου εἰλήφει παρ' αὐτοῦ τὸ ξίφος.

664. ἢ διὰ μέσου συναπτέον τὸ ἀλλά πρὸς τὸ ἐχθρῶν ἄδωρα δῶρα, ἢ οὕτως· ἀλλ' ἔστιν ἡ παροιμία τῶν βροτῶν ἀληθής. ἀντὶ τοῦ εἰπεῖν δὲ τὸ ἐχθρῶν ἄδωρα δῶρα, χωρὶς τοῦτο ἐπήνεγκε, καὶ ἔστι τῇ μὲν ἐννοίᾳ συνημμένον καὶ τῇ τοῦ λόγου ὁρμῇ, κατὰ δὲ τὴν φράσιν κομματικόν.

667. αἰτιῶνται κακῶς τινὲς ἐνταῦθα τὸν ποιητὴν, ὅτι δέον τὸ σέβειν πρὸς τοὺς θεοὺς εἰπεῖν, τὸ δὲ εἴκειν πρὸς τοὺς Ἀτρείδας, ὁ δὲ ἐναλλὰξ εἴρηκεν, ἀγνοοῦντες ὅτι ἀδιαφόρως εἴρηκεν, ὥσπερ καί τινες τῶν λογοποιῶν, τῆς κυριολεξίας οὐδὲν φροντίσας. ἄλλως τε καὶ τὸ σέβειν οὐ μόνον πρὸς τοὺς θεοὺς, ἀλλὰ καὶ πρὸς τοὺς ἀνθρώπους φαμέν.

671. διὰ τί οὐκ εἶπε τῷ ἔαρι, τῷ μετὰ τὸν χειμῶνα ὄντι, ἀλλὰ τῷ θέρει; καὶ φαμὲν ὅτι τὸ ἔαρ οὐκ ἔστιν ἄλλο ἢ χειμῶνος μέρος καὶ ἀπορροή. ἔστι γὰρ καὶ ἐν ἔαρι νιφετὸς πολὺς πολλάκις. διὰ τοῦτο ἀμφοτέρας τὰς ὑπερβολὰς εἴρηκεν ὡς ἐναντίας. καὶ γὰρ τὸ μετόπωρον μέρος ἐστὶ θέρους ῥαΐζοντος.

674. ἐκοίμισε] παυθὲν δηλονότι κατεπράϋνε. τουτέστι, καὶ ἄνεμος σφοδρὸς κυμαίνων τὴν θάλασσαν, οὐκ ἀεὶ τοῦτο ποιεῖ, ἀλλὰ παυσάμενος γαλήνην ἱστᾷ.

678. σημειωτέον ἐνταῦθα τὸ σχῆμα τοῦ λόγου. τὸ γὰρ ἐγὼ δέ εἰς οὐδὲν ἀποδίδοται, ἀλλὰ τεμὼν τὸν λόγον διὰ τοῦ ἐπίσταμαι γάρ, πρὸς τοῦτο τὴν ἀπόδοσιν ἐποιήσατο. ἀγνοοῦντες δέ τινες οἱ μέν φασι τὸ γάρ ἀργὸν, οἱ δὲ τὸ ὅτι, διὰ μέσου τὸ ἐπίσταμαι γὰρ ἀρτίως λαμβάνοντες. καὶ μὴν καὶ ἑτέρους ψυχροτέρους ἔστιν ἰδεῖν τῷ ὅτι ἀντὶ τοῦ λίαν χρωμένους· οὓς ἐάσαντες ἡμεῖς φρονῶμεν ὡς ἔφαμεν. εὕροις δ' ἂν καὶ παρὰ λογογράφοις πόλλ' ἕτερα τοιαῦτα· καὶ μαρτυρεῖ Λιβάνιος ἐν τῷ ὑπὲρ ὀρχηστῶν λέγων οὕτως "Τὸν μὲν οὖν ἐμὸν ἐς Ἀριστείδην ἔρωτα, καὶ αἱρέσεώς μοι δοθείσης ἀπαγαγών" τὸ δὴ "Τὸν μὲν οὖν ἐμὸν ἐς Ἀριστείδην ἔρωτα" ἀνανταπόδοτον ἐάσας. ἢ οὕτως. τὸ μὲν ἐγὼ δέ πρὸς τὸ ὅτε ἀπόδος, τὸ δὲ ἐπίσταμαι γὰρ ἀρτίως ὅτι διὰ μέσου. ὥσπερ γάρ φησι Συνέσιος "Ἀλλ', εὖ οἶδ' ὅτι, οὐκ ἀπα-

679. ἀποροῦσιν ἐνταῦθά τινες, πῶς ὅτε ἐχθρὸς ἦμην καλῶς εἶπὼν ἐπὶ παρῳχημένου, ἐπειδὴ τεθνήξεσθαι ἔμελλε, μὴ καὶ τὸ ὠφελεῖν ἐβουλόμην εἶπεν, ἀλλὰ βουλήσομαι ἐπὶ μέλλοντος· οὐ γὰρ ἔμελλε ζῆν. καὶ φαμὲν ὅτι βουλόμενος ἀπατῆσαι αὐτούς, ὥστε μὴ ὑποπτεῦσαι αὐτὸν τεθνήξεσθαι, τοῦτο ἐπὶ μέλλοντος εἶπεν, ἐπεὶ καὶ ἄνω ἀπατῶν αὐτούς, Εἰσόμεθα θεοῖς εἴκειν καὶ Ἀτρείδας σέβειν, ἔφη· καὶ κατιὼν, Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ', ὅποι πορευτέον.

683. ἑταιρίας λιμήν] καλῶς τοῦτο εἴρηκεν. ὁ γὰρ ἀληθὴς φίλος λιμένος δίκην τοῖς αὐτὸν ἔχουσι καθίσταται, ἡνίκ' ἂν ἐν συμφοραῖς περιπέσωσι, καθάπερ ἐν θαλάσσῃ λιμὴν τοῖς χρησαμένοις χειμῶνι.

695. ἁλίπλαγκτε] τὸν Πᾶνα οὕτω καλεῖ, διὰ τὸ τὰ ποίμνια, ὧν ἔφορος οὗτος, ἔαρος ὥρᾳ καὶ θέρους αἰγιαλοῖς πλησιάζειν.

699. Νύσσος καὶ Κνωσσὸς πόλεις, ἐν αἷς Διονύσου τιμωμένου ὀρχήσεις ἐγίνοντο. φασὶ δὲ ὡς καὶ ἐν τῇ Νύσσῳ ταύτῃ Ζεὺς διῃτᾶτο, ὁπότε, τῆς Σεμέλης κεραυνῷ βληθείσης, ἐναψάμενος αὐτὸς τὰς σφετέρας γονὰς ἐν τῷ μηρῷ, δέκα μῆνας ἐξ ἀρχῆς ἔφερεν.

702. ἐν ᾧ ἡ Δῆλος κεῖται, Ἰκάριον καλεῖται πέλαγος, διὰ τὸ ἐκεῖ τὸν Ἴκαρον πεσεῖν, ἐρρυηκότων τῶν ἐκ κηροῦ πτερῶν ὑφ' ἡλίου. τὸ πελαγαίων διφθογγογραφούμενον ἔν τινι τῶν παλαιῶν εὕρηται, καὶ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς, πρὸς δὲ τὸν κανόνα τῆς κλίσεως οὐ καλῶς ἔχει. δοκεῖ μοι οὖν ὡς ἐλλιπές ἐστι τὸ κῶλον. τοῦτο δὲ ἔστι γνῶναι ἀπὸ τοῦ κώλου τῆς ἀντιστροφῆς. ἐν ἐκείνῳ γὰρ περισσόν τι ὂν ἐξεβλήθη παρ' ἐμοῦ.

706. Ἄρης] ἤτοι ὁ θεός. οὗτος γὰρ αἴτιος τῆς μανίας. ἢ τὸ Ἄρης ἀντὶ τοῦ ὁ πολεμικὸς Αἴας. τὸ δὲ ὀμμάτων, ἢ τῶν ἡμετέρων, ἢ τῶν ἑαυτοῦ.

711. λαθίπονος] ἤτοι ἐπιλελησμένος ὑπῆρξε τῶν πόνων καὶ τῆς λύπης, ἣν ἀπὸ μανίας εἶχεν. ἐξήνυσεν] ἐξεπλήρωσεν. ἤγουν, ὅπερ οἱ θεοὶ ἀποδέχονται, σέβειν τε αὐτοὺς λέγω καὶ τιμὰς νέμειν τοῖς ἄρχουσι, ταῦτ' Αἴας τελεῖν ὑπέσχετο νῦν, τἀναντία πρόσθεν ὑπὸ μανίας φρενῶν.

18. κεραυνῷ βληθείσης] Legebatur κεραυνοβληθείσης. Correxit Schæferus ad Greg. Cor. p. 997.

μικρὸν οὐ καλῶς γράφουσι. μακρὰ γὰρ ὀφείλει εἶναι ἡ τοιαύτη συλλαβή, ὡς καὶ ἡ τοῦ κώλου τῆς στροφῆς.

733. τὸ ἡμῖν οἱ τραγικοὶ διτονίζουσι, ποτὲ μὲν περισπῶντες, ὅτε καὶ μακρὰν ἔχει τὴν λήγουσαν, ποτὲ δὲ ὀξύνοντες, ὅτε καὶ βραχεῖαν αὐτὴν ἔχει. καὶ δοκεῖ μὲν βραχὺ εἶναι, ὡς μὴ ἀπὸ συναιρέσεως γινόμενον. οὐ γὰρ ἔστιν εἰπεῖν ἡμέϊν ἡμῖν. φύσει δὲ πᾶσα δοτικὴ μὴ ἀπὸ συναιρέσεως ἔχουσα τὸ ι βραχὺ αὐτὸ ἔχει. πρὸς ἀναλογίαν μέντοι τοῦ ἡμῶν καὶ ἡμᾶς μακρὰν ἐχόντων τὴν λήγουσαν μακρὸν καὶ αὐτὸ ἐνίοτε γίνεται καὶ τὸν αὐτὸν αὐτοῖς τόνον δέχεται· ὅπερ καὶ ἐπεκράτησε παρὰ τοῖς μεταγενεστέροις. ὅτι δὲ τὸ ἡμῖν δύναται καὶ βραχεῖαν ἔχειν τὴν λήγουσαν, τεκμήριον τὸ ἄμμιν καὶ ὔμμιν βραχεῖαν αὐτὴν ἔχοντα, οὐ διὰ τὸ ἀναβιβάζειν τὸν τόνον, ἀλλ' ὅτι καὶ τὴν ἀρχὴν ταύτην βραχεῖαν εἶχεν, ὡς καὶ τὸ ἐστί καὶ ἔστι. τὰ γὰρ μακρὰν τὴν λήγουσαν ἔχοντα καὶ ἀναβιβάζοντα τὸν τόνον μακρὰν πάλιν αὐτὴν φυλάττει, οἷον τὸ σχοῦ ἀπόσχου, θοῦ ἀπόθου, καὶ ὅσα τοιαῦτα.

748. καὶ παρὼν ἐτύγχανον] ἤγουν ἃ μέλλω εἰπεῖν οὐ παρ' ἄλλου ἤκουσα, ἀλλ' αὐτὸς παρὼν ἠκροώμην.

756. τῇδε θ' ἡμέρᾳ] λέγουσί τινες ὡς τὸ θ' ἀντὶ τοῦ τε λαμβάνεται, καὶ συνάπτεται πρὸς τὸ γάρ, οὕτω· καὶ γὰρ ἐλᾷ τῇδε τῇ ἡμέρᾳ τοῦτον. σὺ δὲ ἀντὶ τοῦ τοι νόει, κουφιζομένου τοῦ οι, ὥσπερ καὶ τῆς αι διφθόγγου, ὡς ἔχει τὸ, βούλομ' ἐγώ.

757. τὸ ἔφη καὶ τὸ λέγων ἐκ παραλλήλου τινὲς οἴονται· τὸ δ' οὐ τοιοῦτον, ἀλλ' ὥσπερ φαμὲν, τοιαῦτα ἔφη δημηγορῶν, οὕτω καὶ τοῦτο, οὕτως· ἔφη καὶ οἱονεὶ ἀπεφήνατο, λέγων τὸν περὶ τοῦ Αἴαντος λόγον.

761. τὸ ἔπειτα τινὲς οἴονται εἰς ἀπόδοσιν μετοχῆς τιθέμενον ἀργὸν εἶναι· τὸ δὲ οὐκ ἔστι τοιοῦτον, ἀλλὰ τὴν αὐτοῦ σώζει φύσιν. ἠπάτηνται δὲ ἀπὸ τούτου, ὅτι εἰ ἀπῆν τοῦ ῥυθμοῦ, οὐδὲν ἂν τὸν λόγον ἔβλαπτε. πρὸς οὓς φήσομεν ὅτι καὶ ἕτερα μυρία τοιαῦτα ἔστιν εὑρεῖν, ὥσπερ καὶ τὸ, πρὸς κακοῦ ἐστὶ τὸ φρονεῖν. τὸν γὰρ αὐτὸν λόγον ἔχει τὸ πρός, ἀργὸν δοκοῦν παρὰ τοῖς πολλοῖς.

764. αὐτὸν ἐννέπει] οὐ μόνον πρὸς δοτικὴν τὸ ἐννέπω, ἀλλὰ καὶ πρὸς αἰτιατικὴν ἅπαξ, ὥσπερ καὶ τὸ λέγω.

786. ξυρεῖ γὰρ ἐν χρῷ] παροιμία ἐπὶ τῶν εἰς βάθος ἀπτομένων λεγομένη καὶ ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων. λέγεται δὲ καὶ οὕτως· ἐν ξυρῷ ἵσταται τὸ πρᾶγμα.

792. ὅτι θυραῖος] τοῦτό φησι, διότι παρ' αὐτῶν ἤκουσε. τὸ δὲ εἴπερ ἔστιν ἀντὶ τοῦ, εἴπερ ἀληθῶς ἐστὶν ἐκτός· οὐ γὰρ οἶδε σαφῶς. λέγε δὲ καὶ οὕτω· οὐ θαρσῶ δὲ περὶ τοῦ Αἴαντος, εἴπερ ἔστι, τουτέστιν ἐὰν ζῇ, ὅτι θυραῖός ἐστιν. ἢ, ὅπερ καὶ κρεῖττόν μοι δοκεῖ, οὕτω λέγε· οὐκ οἶδα καὶ οὐ γινώσκω τὴν σὴν πρᾶξιν, ἥγουν ἥνπερ λέγεις σὺ πρᾶξιν τοῦ Αἴαντος· οἶδα δὲ καὶ γινώσκω ὅτι οὐ θαρσῶ περὶ τοῦ Αἴαντος, εἴπερ ἐστὶ καὶ ὑπάρχει θυραῖος καὶ ἐκτὸς τῆς σκηνῆς. ἐπεὶ δὲ ἀμφιβόλως τὸ εἴπερ εἴρηκε, βεβαιοῦσα ἡ Τέκμησσα ὅτι ἔξω ἐστὶ τῆς σκηνῆς, φησὶ καὶ μὴν θυραῖος ἐστί.

803. ἀναγκαίας τύχης] ἥγουν τοῦ παρόντος καιροῦ, οὗ ἀναγκαῖόν ἐστι προστῆναι, διὰ τὸ ἐπὶ ξυροῦ ἡμῖν τὰ πράγματα ἵστασθαι.

805. τὸ ἀντηλίους ἀπὸ τοῦ ἀντολίους γέγονε, κατὰ τροπὴν τοῦ ο εἰς η, ὥσπερ καὶ τὸ φυτοκόμος φυτηκόμος. τοῦτο δὲ διὰ τὸ μέτρον οὕτω γέγονεν. οὐ χρὴ τοίνυν ἀντολίους γράφειν· μακρὰ γὰρ ὀφείλει εἶναι ἡ συλλαβὴ αὕτη. ἀλλ' οὐδὲ πάλιν ἀνθηλίους, ὡς ἔν τισι τῶν βιβλίων εὕρηται. οὐ γὰρ ἀπὸ τοῦ ἥλιος γίνεται, ἀλλ', ὡς εἴρηται, κατὰ τροπὴν τοῦ ο εἰς η.

822. οἱ μὲν τὸ εὐνούστατον πρὸς τὸ αὐτὸν, τὸν σφαγέα, φασίν· οἱ δὲ στίζουσιν εἰς τὸ ἐγώ, καὶ τὸ ἑξῆς κομματικὸν ἐκφέρουσιν, οὐθέτερον τὸ εὐνούστατον νοοῦντες πρὸς τὸ θανεῖν.

828. νεορράντῳ] ἤτοι τῷ νεωστὶ ὑφ' αἵματος ῥανθέντι· λέγει δὲ τοῦτο ὅσον πρὸς τὸν καιρὸν, καθ' ὃν ἔμελλε Τεῦκρος αὐτὸν βαστάσειν. τότε γὰρ νεόρραντον ἦν.

840. ξυναρπάσειαν] ἡ ἀκολουθία τοῦ λόγου ξυναρπάσαι ἀπῄτει πρὸς τὸ μαθεῖν, ἀλλ' ἐπειδὴ εὐχῆς ἐστιν ὁ λόγος, εἰς εὐκτικὸν ἤνεγκε. διὰ τοῦτο δὲ καὶ κομματικὸν καὶ ἀσύνδετον ἐποίησε τοῦτο, διὰ τὸ εἶναι εὐχήν. τὰς γὰρ εὐχὰς οὕτω ποιεῖσθαι εἰώθαμεν. ἀποροῦσι δὲ πῶς αὐτοσφαγεῖς εἰπὼν, εἶτα ἐπιφέρει πρὸς τῶν ἐκγόνων. καὶ φαμὲν ὅτι οὐδέν ἐστιν ἐναντίωμα τῷ λόγῳ, εἴ γε ἐκεῖνοι μὲν τοὺς παῖδας ἔσπειραν, οὗτοι δὲ αὐτοὺς ἀναιρήσουσιν.

ἔσχεν ἐπὶ ζητήσει τοῦ Αἴαντος, φησὶν ὅτι πόνον ἐπὶ πόνῳ προστίθημι, καὶ οὐδαμῶς ὁ σπεύδω γίνεται, λέγω δὴ τὸ εὑρεῖν Αἴαντα.

869. τὸ συμμαθεῖν ἀντὶ τοῦ, σὺν ἐκείνῳ γνῶναι, τουτέστιν οὐδεὶς τόπος ἔχει τὸν Αἴαντα, (τοῦτο γάρ ἐστι τὸ ἐπίσταται.) ὥστε ἐν τούτῳ εὑρεῖν με αὐτὸν κείμενον. οἱ δὲ λέγοντες τὸ συμμαθεῖν ἀντὶ τοῦ διδάξαι οὐκ ὀρθῶς λέγουσιν.

877. ἡ σύνταξις, ἀλλ' οὔ μοι δηλοῖ καὶ φαίνεται ὁ ἀνὴρ, ἤγουν ὁ Αἴας, μολὼν καὶ ἐλθὼν τὴν ἀφ' ἡλίου κέλευθον καὶ ὁδὸν, φανεὶς οὐδαμοῦ, τουτέστιν, ἐπειδὴ οὐκ ἐνταῦθα εὕρηται, δείκνυται ὡς οὐδ' ἐν τοῖς μέρεσι τούτοις ὥρμηται. ἢ καὶ οὕτως· ἀλλ' οὐδ' ἐμοὶ δὴ μολὼν ἤτοι ἐλθὼν ὁ ἀνὴρ τὴν ὁδὸν τὴν ἀπὸ τοῦ ἡλίου, ἄγουσαν δηλονότι, φαίνεται οὐδαμοῦ, τουτέστιν ἐν οὐδενὶ τόπῳ φαίνεται.

879. ἡ σύνταξις, τίς ἁλιεὺς, ἢ θεὸς, ἢ διατριβὴν περὶ τοὺς ποταμοὺς ποιούμενος, καὶ ἔμπειρος ὢν αὐτῶν, βλέπων τὸν Αἴαντα εἴ που πλάζοιτ' ἂν, ἀπύοι ἂν καὶ φωνήσοι καὶ εἴποι ἐμοὶ, εἰ ἄρα πλάζεται καὶ οὐκ ἀπόλωλεν. εἴ ποθι πλάζοιτ' ἄν ὀφείλει γράφεσθαι, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς κώλῳ.

888. περισσὸν ἦν κἀνταῦθα εἰς τὸ μακρῶν πόνων τὸ ἀλάταν, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς. σύντασσε δὲ οὕτω· σχέτλιόν ἐστιν ἐμοὶ, ἤγουν χαλεπὸν, μὴ πελάσαι καὶ πλησιάσαι δρόμῳ οὐρίῳ, τουτέστι τέλει εὐοδουμένῳ, τῶν μακρῶν πόνων. τέλει δὲ ὀφείλων εἰπεῖν, δρόμῳ εἶπεν, ἐπεὶ καὶ τὸ τέλος τοῦ δρόμου δρόμος ἐστί.

891. εἰκότως οὐκ ἄλλον τινὰ ἢ τὴν Τέκμησσαν πεποίηκεν εὑρεῖν τὸν Αἴαντα, δεικνὺς ἐντεῦθεν ὡς οὐδεὶς ἕτερος τοσοῦτον φροντίζει ὅσον ἡ γυνὴ τοῦ ἰδίου ἀνδρός.

906. ἡ σύνταξις, τὸ γὰρ ἔγχος τὸ περιπετὲς οἷ καὶ αὐτῷ, τὸ ἐν τῇ χθονὶ πηκτὸν καὶ πεπηγμένον, κατηγορεῖ αὐτοῦ δηλονότι τὴν πρᾶξιν, ἤγουν παρίστησιν, ὡς αὐτὸς τὴν σφαγὴν εἰργάσατο, καὶ αὐτόχειρ αὐτοῦ γέγονεν. ἔστι γὰρ καὶ κατηγορῶ οὐ μόνον τὸ τινὸς καταφέρομαι λόγοις, ἀλλὰ καὶ τὸ ἐπάνω τινὸς ἀγορεύω, ὥσπερ ἔχει καὶ ἡ παρὰ φιλοσόφοις κατηγορία. δηλοῖ δὲ καὶ Φιλόστρατος ἐν τῷ Ἰσο-

ἰδεῖν· οὐ γὰρ ἂν μέλοι αὐτῷ τούτου· ἀλλὰ καὶ οὐδεὶς φίλος τλαίη ἂν καὶ ὑπομένοι αὐτὸν ἀπὸ τῆς οἰκείας σφαγῆς φυσῶντα καὶ ἀνα- 5
πέμποντα ἄνω πρὸς τὰς ῥῖνας τὸ μελανθὲν αἷμα καὶ ἐκ τῆς φοινικῆς πληγῆς. ἀμφοτέρωθεν γὰρ τὸ αἷμα ἐξήρχετο, καὶ ἐκ τῆς πλευρᾶς, πρὸς ἣν ἡ πληγὴ γέγονε, καὶ ἐκ τῶν ῥινῶν διὰ τοιαύτην αἰτίαν. περι-
πεσόντος γὰρ αὐτοῦ τῷ ξίφει ἐν γῇ στερρῶς πεπηγμένῳ, καὶ διὰ τοῦτο πρὸς τὸν τόπον, ἔνθα ἡ λαβὴ τοῦ ξίφους ἐπέπηκτο, ἐκ βάρους 10
πελάσαντος, οὐκ εἶχε διέξοδον ῥᾳδίαν· καὶ διὰ τοῦτο εἰργόμενον καὶ ζητοῦν διέξοδον ἐκ τῶν ῥινῶν ἀνεδίδοτο. φοινίαν δὲ πληγὴν ἴσως λέγει οὐ τὴν πρώτην ἐν τῇ πλευρᾷ τομήν, ἀλλὰ τὴν ἑτέραν τοῦ ξίφους διέξοδον.

935. ἀριστόχειρ] ἤγουν ἀγὼν ἀρίστων καὶ ἀνδρείων δεόμενος, δυ- 15
ναμένων βαστάσαι τὸν Ἀχιλλέα, ἵνα τὰ αὐτοῦ λάβῃ ὅπλα τούτου ἕνεκα.

936. Ἀχιλλέως ὅπλων ἔκειτ᾽ ἀγὼν πέρι] ἴαμβος ὄφειλει εἶναι τέλειος ὁ παρὼν στίχος, ἵν᾽ ᾖ ὅμοιος τῷ τῆς ἀντιστροφῆς. διὸ τὸ Ἀχιλλέως προσετέθη παρ᾽ ἐμοῦ, ἁρμοδίως οἶμαι. 20

941. ἀποβλαφθεῖσαν] στερηθεῖσαν. ὅταν γάρ τις τινὸς στερηθῇ, ἀπ᾽ ἐκείνου, οὗ ἐστέρηται, βέβλαπται αὐτῷ τῷ ἐστερῆσθαι.

961. γελώντων] ἀντὶ τοῦ γελάτωσαν. τοῦτο δέ φαμεν λαμβάνοντες ἔξωθεν εἰς τὴν τοιαύτην γενικὴν τὸ ἔστωσαν· ἐπὶ δὲ τῶν παθη-
τικῶν, οἷον τυπτέσθων καὶ τῶν τοιούτων, οὐχ οὕτω λέγομεν, ἀλλὰ τὸ 25
δυϊκὸν ἀντὶ πληθυντικοῦ φαμὲν λαμβάνεσθαι.

1004. ἰστέον ὅτι τὸ ὦ οὐ μόνον πρὸς κλητικήν, ἀλλὰ καὶ πρὸς γενικὴν φέρεται. ἀμφότερον οὖν ἐστιν ἐνταῦθα. Ἄλλως. ὦ δυσθέα-
τον λέγε ὄμμα, καὶ ὦ ὄμμα τόλμης πικρᾶς. τόλμης γὰρ ἦν τὸ ὄμμα. πρὸς γενικὴν δὲ τὸ ὦ συντάττειν λόγον οὐκ ἔχει· πρὸς εὐ- 30
θεῖαν μέντοι σπανίως, ὡς τὸ ὦ οὗτος, καὶ ὦ δυστυχής.

1022. παῦρα δ᾽ ὠφελήσιμοι] παρὰ τισὶ μὲν τῶν βιβλίων παῦροι, παρὰ τισὶ δὲ παῦρα εὑρίσκεται. ἔστι δὲ τὸ παῦρα κρεῖττον τοῦ παῦροι, διὰ τὸ σώζειν τὸ μέτρον. τέταρτος γὰρ πούς ἐστιν· ὀφείλει δὲ οὗτος ἴαμβος εἶναι. εἰ δέ τις εἴποι ὅτι καὶ τοῦ παῦροι τὸ ροι 35

ται, ἐαν μὴ ἡ ἐπαγομένη λέξις ἀπὸ φωνήεντος ἄρχηται. τότε γὰρ αὐτὰ κοινὴν συλλαβὴν ἡγοῦνται. ἔστι δὲ τὸ παῦρα ἀντὶ τοῦ ὀλίγα καὶ οὐδαμῶς, ὥσπερ ἐστὶ καὶ τὸ (90.)

τί βαιὸν οὕτως ἐντρέπῃ τῆς συμμάχου;

τὸ γὰρ βαιὸν ἀντὶ τοῦ ὀλίγον καὶ οὐδαμῶς ἐνταυθοῖ νοητέον. οὐ μόνον δὲ τὰ τέλη τῶν πληθυντικῶν εὐθειῶν, ἀλλὰ καὶ τὰ τῶν ὁριστικῶν ῥημάτων καὶ ἀπαρεμφάτων καὶ προστακτικῶν, τὰ δίφθογγον ἔχοντα ἐν τῷ τέλει, ἀντὶ μακρῶν δέχονται, συμφώνου ἐπιφερομένου· φωνήεντος δὲ, καὶ ταῦτα κοινὴν συλλαβὴν ἡγοῦνται.

1029. ὁ Ἕκτωρ ἐν τῷ ζωστῆρι, ἐν ᾧ ἐδωρήθη καὶ ἐφιλοφρονήθη παρὰ τοῦδε τοῦ Αἴαντος, ἐγνάπτετο καὶ συρόμενος κατεκόπτετο ἐκ τῶν ἱππικῶν ἀντύγων καὶ τῆς τοῦ ἅρματος περιφερείας, ἕς τε καὶ ἕως οὗ ἀπέψυξε τὸν βίον. ἀπέψυξε δὲ εἶπεν ἀντὶ τοῦ ἀπεβάλετο τὸν βίον καὶ τὴν ζωὴν, πρισθεὶς καὶ κατακοπεὶς, παρ' ὅσον οἱ ἐκπνέοντες ψυχραίνονται παντὶ τῷ σώματι, τοῦ τὴν θέρμην ἐμποιοῦντος αἵματος εἰς τὴν καρδίαν εἰσδραμόντος φυλακῆς ἕνεκα καὶ πάντα τὰ μέρη καταλελοιπότος ψυχρά.

1040. τὸ ὅπως ἀντὶ τοῦ πῶς, καὶ ἀντὶ τοῦ ἵνα, καὶ ἀντὶ τοῦ καθά. ἐνταῦθα δὲ ἀντὶ τοῦ πῶς.

1043. ἐξίκοιτ' ἀνὴρ] οὐ μόνον διεξέρχομαι, ἀλλὰ καὶ ἐξέρχομαι χωρὶς τῆς διά φαμεν, ὡς ἐνταῦθα, καὶ Εὐριπίδης (Μηδ. 281.)

θνητοὶ γὰρ ἐξίασι πάντα δὴ κάλων.

1051. τὸ ἥντινα ἀντὶ τοῦ τίνα νοητέον. ὥσπερ γὰρ φαμὲν ὅ τι ἀντὶ τοῦ τι, καὶ πᾶς ὁστισοῦν ἀντὶ τοῦ πᾶς τις, οὕτω καὶ τοῦτο. ἰστέον δὲ ὅτι πάντα τὰ τοιαῦτα ποτὲ μὲν ἐν ἀρχῇ τὴν δύναμιν ἔχουσι, ποτὲ δὲ ἐν τῷ τέλει· οἷον τὸ ὅντινα, ποτὲ μὲν τὸ ὅν τὴν δύναμιν ἔχει, ὡς τὸ, οὐκ οἶδα ὅντινα εἶπεις· ποτὲ δὲ τὸ τινα, ὡς τὸ, ἄνθρωπον ὅντινα εὑρών, περὶ τοῦ δεῖνος λέγομεν, ἀντὶ τοῦ, ἄνθρωπόν τινα. παραπλησίως δὲ ἔχει καὶ τὸ ὅ τι, καὶ τὸ ἥντινα, καὶ τὸ ὅστις, καὶ ὅσα τοιαῦτα.

1058. ἦν εἴληχεν] δέον εἰπεῖν πρὸς τὸ μόρῳ, ὃν εἴληχεν, ἐπειδὴ ὁ τοιοῦτος μόρος δυστυχία τις ἦν· οὐ γὰρ φυσικῶς, ἀλλὰ βιαίως διὰ ξίφους γέγονεν, ὅθεν καὶ ἔχθιστον καλεῖ· πρὸς τοῦτο καὶ τὴν σύν-

1062. τὸ αὐτὸν καὶ τὸ σῶμα καὶ ὅλον καὶ μέρος. τὸ γὰρ αὐτὸν καὶ σῶμα καὶ ψυχὴν δηλοῖ, τὸ δὲ σῶμα μέρος αὐτοῦ, ὃ καὶ μόνον ταφήσεσθαι ἔμελλεν.

1071. ἐκ γενικῆς ἀρξάμενος αἰτιατικὴν ἐπήνεγκε πρὸς τὸ ἀπαρέμφατον. οὕτως γὰρ ἔδει εἰπεῖν· ἀνδρὸς κακοῦ ἐστι μηδὲν ἀκούειν δικαιοῦν τῶν ἀρχόντων. ἐπεὶ οὖν οὕτω μὴ ἀκούων τῶν ἐφεστώτων, ὡς πρὸς ἐκείνους ἰδιώτης ἦν, διὰ τοῦτο εἶπε τὸ ἄνδρα δημότην, πρὸς τὸ ἀπαρέμφατον ἀπὸ γενικῆς πρὸς αἰτιατικὴν τρέψας τὸν λόγον.

1079. καλῶς εἶπεν ἀμφότερον, τὸ δέος καὶ τὴν αἰσχύνην. δέδιε γάρ τις τύραννον, οὐ μὴν αἰδεῖται, ὡς, ἢν καιροῦ τύχῃ, ἑτοίμως ἂν τοῦτον καθέλοι. εἰ δέ τις σὺν φόβῳ καὶ αἰδῶ πρὸς τὸν οἰκεῖον ἄρχοντα φυλάττει, οὗτός τε ἀεὶ πρὸς τὸ ἄρχεσθαι ἑστήξει, νεωτερίσας μηδέποτε, ὅ τε ἄρχων τῆς αὐτοῦ σωτηρίας διὰ παντὸς φροντιεῖ.

1085. ὅτι ἀμφοτέρω τὼ ἄν οὐ μόνον σύνδεσμοί εἰσιν, ἀλλὰ δύο μέρη τοῦ λόγου ἅ ἄρθρον καὶ ἄν σύνδεσμος, ὅθεν καὶ κατὰ κρᾶσιν ἂν γέγονεν, ὡς τῷ σοφωτάτῳ ἐπενοήθη Πλανούδῃ. ὁ γὰρ ἄν σύνδεσμος βραχύς ἐστι παρὰ τοῖς μετρικοῖς, ἐνταῦθα δὲ μακρόν ἐστι τὸ ἄν, ὥστε δύο μέρη τοῦ λόγου ἐστὶ κραθέντα εἰς ἕν. σύντασσε δὲ οὕτω· καὶ μὴ δοκῶμεν καὶ νομίζωμεν δρῶντες ἐκεῖνα ἃ ἂν ἡδώμεθα, (τοῦ ἅ οὐ πρὸς τὸ ἡδώμεθα ὄντος, ἀλλὰ πρὸς τὴν ὄπισθεν ἔξωθεν νοουμένην αἰτιατικὴν, τὸ ἐκεῖνα.) οὐκ ἀντιτίσειν καὶ οὐκ ἀντιδοῦναι αὖθις καὶ πάλιν ἐκεῖνα, ἃ ἂν λυπώμεθα· τοῦ αὐτοῦ κἀνταῦθα συμβαίνοντος πρὸς τὸ ἅ, ὅπερ καὶ πρώην ἔφαμεν πρὸς τὸ ἕτερον.

1091. ἤγουν μὴ διὰ κομψῶν καὶ πιθανῶν λόγων ἐπιχειρήσῃς δεῖξαι ὡς οὐκ ἔστι ταφῆς ἄξιος Αἴας. οὐ γάρ σοι πρέπει θανόντων ὑβριστὴν φανῆναι.

1107. ὥσπερ φασὶν, ἔπληξά σε πληγὴν, οὕτω καὶ, κολάζω σὲ κόλασιν· ἐπεὶ ἐνταῦθα ἡ κόλασις διὰ λόγων ἦν, διὰ τοῦτο τὰ σέμν' ἔπη κόλαζ' ἐκείνους φησίν.

1120. διεβέβλητο ἡ τοξεία παρὰ τοῖς παλαιοῖς, ὡς μικροπρεπὴς τέχνη καὶ φαύλη, καὶ ἀξιόλογον οὐδὲν ἐργάσασθαι δυναμένη.

1133. εἰκότως εἶπε τὸ προὔστη, ἐπειδὴ οἱ πολέμιοι ἔμπροσθεν

τοιοῦτον. ἀλλ' εἰ μὲν ἄλλος τις τῶν ἰδιωτῶν πρὸς ἴσον τοῦτ' ἔλεγεν, ἀνοίας γέμοντα λόγον ἐδόκει ἂν προφέρειν· ἃ γὰρ ἐποίει, ἔπασχε νῦν δὲ βασιλεὺς ἦν ὁ πρὸς ἐλάττονος τοῦτο πάσχων, διὸ καὶ βάρος παρεῖχεν.

1141. μὴ λάβῃς ἔξωθεν εἰς τὸ τοῦτον διά, ἀλλ' ἔστιν ὅμοιον τῷ (103.)

ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;

ἐκεῖ γὰρ τούτου ἐμνημονεύσαμεν.

1147. τὸ λάβρον στόμα καὶ τὴν πολλὴν βοὴν καθ' ὅλον καὶ μέρος λέγε. μέρος γὰρ τοῦ στόματος ἡ βοή. ἰστέον δὲ ὅτι ὅταν ἐκ ξηρᾶς ἀναθυμιάσεως νέφος συστῇ, ἄνεμον γεννᾷ.

1156. ἄνολβον] ἤγουν ἀνόητον. ὄλβος γὰρ καὶ εὐδαιμονία ἀνθρώπου ἡ φρόνησις, ὥσπερ τοὐναντίον δυστυχία ἡ ἀφροσύνη.

1164. τὸ σπεῦσον καὶ τὸ ταχύνας οὐκ ἐκ παραλλήλου ῥητέον. ἀλλ' οὕτω λέγε· σπεῦσον τάφον ἰδεῖν τινὰ τῷδε τῷ Αἴαντι, ταχύνας τοῦτο ὡς δύνασαι, τουτέστι τὴν περὶ τούτου σπουδὴν ὡς ἔνι σπουδάσας. ὥστε τὸ ταχύνας σπουδή τις ἐστὶ τοῦ σπεῦσον. τὸ δὲ τινά μὴ πρὸς τὸ κάπετον νοήσῃς, ἀλλὰ πρὸς τὸ ἄνθρωπον.

1173. προστρόπαιος] ἤτοι πλησιάζων. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν ναυτῶν τῶν πρὸς τῇ τρόπι καθημένων.

1175. εἰκότως θησαυρόν φησίν. ὥσπερ γὰρ τοῦτον ἔχει τις ἐπ' ὠφελείᾳ σφετέρᾳ, οὕτω καὶ διὰ ταύτης τῆς κόμης προξενίζειν αὐτοῖς εὐμένειαν παρ' Αἴαντος ἐλπίζων θησαυρὸν καλεῖ. ἱκτήριον δὲ, ἐξιλεωτικόν.

1186. πολυπλάγκτων ἐτέων] ἤτοι τῶν πολλῶν χρόνων, οὓς ἐν Τροίᾳ πλανώμεθα μηδὲν πράττοντες ὧν χάριν ἀφίγμεθα.

1191. εἰς ὄνειδος γὰρ τοῦτο πίπτει τοῖς Ἕλλησι τοσοῦτον χρόνον μηδὲν κατορθοῦσι. μὴ λάβῃς δὲ εἰς τὸ ὄνειδος ἔξωθεν εἰς, ἀλλ' εἰπὼν ὅτι ἐν τῇ Τροίᾳ πολὺν χρόνον πλανώμεθα ἐπιφέρει δύστανον ὄνειδος Ἑλλάνων, λέγων τοσοῦτον χρόνον καθῆσθαι μάτην ἐνταῦθα δύστανον ὄνειδος Ἑλλάνων. ἐρεῖ δὲ καὶ προϊὼν τὸ τοιοῦτον σχῆμα. λέγων γὰρ μετὰ τὴν στέρησιν ἃ πάσχει, εἶτ' ἐπάγει μνήματα Τροίας.

Ἰωνικῆς διαλέκτου. οὗτοι γὰρ χωρὶς αὐξήσεως τοὺς παρῳχημένους χρόνους ἐκφέρουσι. αἰθέρα δῦναι] εἰς ἀφανισμὸν καὶ οὐδὲν ἐλθεῖν. αἰθέρα δὲ ἢ τὸ πῦρ νόει, διὰ τὸ ἀφανιστικὸν εἶναι, ἢ τὸν ἀέρα, διὰ τὸ μὴ σύστασιν ἔχειν.

1202. τὸ ὄτοβον ἐνταῦθα δι' ἑνὸς τ ὀφείλει γράφεσθαι, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς. φύσει γὰρ ὄττοβος διὰ δύο τ γράφεται, ὥσπερ πάταγος, τὸ αὐτὸ σημαινόμενον, δι' ἑνός.

1207. τὸ ἀμέριμνος ἢ ἀντὶ τοῦ ἀπόγνωσιν ἔχων καὶ μὴ μεριμνῶν καὶ ἐλπίζων περὶ τῆς ἐντεῦθεν ἀπαλλαγῆς, ἀδήλου τοῦ μέλλοντος ὄντος, ὅπη τὰ τῆς νίκης χωρήσει, ἄλλως τε καὶ τοῦ τοσούτου χρόνου εἰς ἀπορίαν ἐμβάλλοντος. ἢ ἀμέριμνος καὶ μὴ ἔχων μέριμναν καὶ φροντίδα ὧν ἔφη, στεφάνων, κυλίκων καὶ ἐρώτων.

1208. τὸ πυκιναῖς δρόσοις τεγγόμενος ἀντὶ τοῦ ὑετοῖς συνεχέσι βρεχόμενος. οὐ γὰρ ὁ πολὺς τοῦ στρατοπέδου λαὸς ἔχει σκηνὰς, φυλακὴν ὄμβρων καὶ τῶν ἄλλων ἐξ ἀέρος δυσχερῶν, ἀλλ' οἱ ἄρχοντες μόνοι. ἔστι δὲ καθ' ὅλον καὶ μέρος· τὸ μὲν τεγγόμενος ὅλον, τὸ δὲ κόμας μέρος. δέον δὲ λυγρῶς εἰπεῖν, πρὸς τὸ κόμας ἐπήνεγκεν.

1211. οὕτω χρὴ γράφειν πρὶν μὲν οὖν, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς. τὸ γὰρ καὶ πρὶν μέν οὐκ ὀρθοὺς ἔχει τοὺς χρόνους.

1223. ἐσπούδασα ἐλθεῖν ἐνταῦθα παρὰ τὸν Αἴαντα καὶ ἀφῆκα τὴν τοῦ τάφου διορυγήν. πρὸς τοῦτο γάρ ἐστι τὸ καὶ μήν, ἔμφασιν ἔχον ὥσπερ ἂν εἴ τις αὐτὸν ἤρετο, τί οὕτω πάρει ταχέως;

1239. εἴκω τὸ πρέπω, εἶξω, εἶχα, ὁ μέσος παρακείμενος οἶκα, καὶ προσθήκῃ τοῦ ε, ἔοικα, ἐοίκαμεν, καὶ κατὰ συγκοπὴν ἔοικμεν, καὶ τροπῇ τοῦ κ εἰς τὸ μέσον γ, ἔοιγμεν.

1250. σημείωσαι ὅτι τὸ εἴργω ἀμφιβολίαν ἔχει τοῦ πνεύματος. δύναται γὰρ καὶ ψιλοῦσθαι καὶ δασύνεσθαι.

1281. ὃν οὐδαμοῦ φῂς] φασὶν ἐνταῦθα ὡς συκοφαντεῖ Τεῦκρος Ἀγαμέμνονα. οὐ γὰρ ἐν τοῖς πρόσθεν αὐτοῦ λόγοις πρὸς τοῦτον τοιοῦτόν τι εὕρηται· ἀλλ' ἔφη (1237.) "Ποῦ βάντος, ἢ ποῦ στάντος, "οὗπερ οὐκ ἐγώ;" φαμὲν οὖν ὅτι, ὥσπερ κατὰ τὰς ἔριδας συμβαίνει προσφέρειν ἔσθ' ὅτε τὸν ἀντίδικον ἀπολογούμενον τῷ προηγουμένῳ τῆς δίκης τοιαῦτα, ἃ οὐδέποτ' αὐτὸς ἐφθέγξατο, οὕτω κἀνταῦθα.

1285. *οὐ δραπέτην τὸν κλῆρον*] *ἤγουν οὐκ ἐντὸς τοῦ κράνους ἔνθεν κἀκεῖσε στρεφόμενον, καὶ μὴ ἰόντα πρὸς ἔξοδον. ἢ δραπέτην ἀντὶ τοῦ ἐντὸς μένοντα καὶ τὴν ἔξοδον φεύγοντα. τὸ δὲ καθείς ἀντὶ τοῦ καταβαλών.*

1292. *Τάνταλος ὁ τοῦ Πέλοπος πατὴρ ἐκ Φρυγίας ἦν. πολέμου δ' ἐπιπεσόντος αὐτῷ μετὰ χρημάτων πέμπει Πέλοπα πρὸς Ἑλλάδα, κινδυνεύων τῆς ἀρχῆς ἐκπεσεῖν.*

1294. *μὴ λάβῃς εἰς τὸ τέκνων ἔξωθεν τὸ ἀπό, ὥς τινες τῶν ἀμαθῶν, ἀλλ' οὕτω λέγε· προθέντα τῷ ἀδελφῷ δεῖπνον τῶν οἰκείων τέκνων. τὸ γὰρ δεῖπνον οὐκ ἄλλου τινὸς ἦν δεῖπνον, ἰχθύος λέγω, ἢ ὄρνιθος, ἀλλὰ τῶν οἰκείων τέκνων. ὥσπερ γάρ φαμεν βρῶσιν ἰχθύος, καὶ πόσιν οἴνου, οὕτω καὶ δεῖπνον τέκνων, ἢ ἄλλων ὧν ἂν εἴποις.*

1309. *τινὲς ὑποστίζοντες εἰς τὸ τρεῖς τὸ ἡμᾶς ἀντὶ τοῦ ἐμὲ τὸν Τεῦκρον, καὶ τὴν Τέκμησσαν καὶ τὸν Εὐρυσάκην φασίν· ὅπερ οὐκ ἔχει λόγον. τίς γὰρ χρεία ἐνταῦθα Τεκμήσσης καὶ Εὐρυσάκους; οὓς αὐτὸς ἐάσας πρὸς τὸ ἡμᾶς ὑποστίζων οὕτω λέγε· βαλεῖτε καὶ ἡμᾶς, ἀντὶ τοῦ ἐμὲ καὶ σαυτὸν, συγκειμένους ὁμοῦ τῷ Αἴαντι τρεῖς· ἑκὼν γὰρ οὐχ ὑφήσω, ἀλλ' εἰ καὶ αὐτὸς θανοῦμαι, σὲ πρῶτον ἀναιρήσειν βουλήσομαι. ὅτι δέ ἐστι τοῦτο μαρτυρεῖ καὶ αὐτὸς λέγων,*

ἐπεὶ καλόν μοι τοῦδ' ὑπερπονουμένῳ,

καὶ τὰ ἑξῆς. ἰστέον δὲ ὅτι οὐ κακῶς εἶπε τὸ τῆς σῆς ὑπὲρ γυναικός, ὡς οἴονταί τινες, ἀλλ' ὥσπερ φαμὲν πρὸς τὰς ἔριδας περί τινος ἄλλου πρός τινα τοὺς λόγους ποιούμενοι, προσάπτοντες καὶ αὐτῷ τὰ ἐκείνου, οὕτω καὶ τοῦτο. ἄλλως τε οὐκ ἀπέχρησεν αὐτῷ μόνον εἰπεῖν τῆς σῆς ὑπὲρ γυναικός, ἀλλὰ καὶ ἡ τοῦ σοῦ θ' ὁμαίμονος λέγω.

1322. *συγγνώμην ἔχω*] *οὐ καλῶς λέγεις, Ὀδυσσεῦ, ἐνταῦθα. οὐ γὰρ ὁ λέγων τὰς ὕβρεις καὶ ὁ ἀκούων ἐν ὁμοτίμοις, ἀλλ' ὁ μὲν βασιλεὺς, ὁ δ' ἰδιώτης. εὕροις δὲ τὰ ἄλλα πάντα ἄξια τῆς Ὀδυσσέως μούσης, πλὴν εἰ μή πως εἴποις ὡς οὐκ ἀπὸ τοῦ λελογισμένου, οὐδὲ παντὶ τῷ θυμῷ, ἀλλὰ μηχανῇ τινὶ τοῦτ' ἔλεξε τῶν διαλλαγῶν ἕνεκα, καὶ ἅμα τῷ βασιλεῖ τὰ μέγιστα πεποιθώς.*

1324. *ἤκουσεν αἰσχρά*] *ἤγουν ὅτι πρὸς Μενέλαον ἐποίει τοὺς λό-*

1327. ἀπορίαν ἔχει τινὰ ἡ τοιαύτη γενικῆ, τὸ ἐμοῦ. ἔχει δὲ οὕτω, πρὸς βίαν ἐμοῦ, ἀντὶ τοῦ εἰς δυναστείαν ἐμοῦ. ἐπεὶ γὰρ ἡ δυναστεία οὐκ ἄλλου τινὸς ἦν, ἀλλ' Ἀγαμέμνονος· πρὸς γὰρ αὐτὸν ἐκ Τεύκρου γενήσεσθαι ἔμελλε· διὰ τοῦτο πρὸς βίαν ἐμοῦ λέγει.

1329. ξυνηρεμεῖν] εὕρηται καὶ ξυνηρετμεῖν, ὅπερ ἀντὶ τοῦ συμφωνεῖν εἴποις ἄν. εἴρηται δὲ ἡ λέξις ἐκ μεταφορᾶς τῶν κωπηλατούντων.

1335. τὴν δίκην πατεῖν] πατεῖται γὰρ ἡ δίκη, διὰ τὸ μὴ τῆς σῆς ὀργῆς τὴν ἐκείνου ἀρετὴν προτιθέναι, ἀλλ' ἄκαμπτον εἶναι, ἵνα τὸ τῆς ἐξουσίας μέγεθος βεβαιώσῃς.

1344. ἄνδρα δ' οὐ δίκαιον] τοῦτο πρῶτον ὡς καθόλου γνώμην ἐξήνεγκεν· εἶτα μερικῶς πρὸς τὸν Ἀγαμέμνονα. δέον γὰρ εἰπεῖν, οὐδ' ἐὰν μισῶν κυρῇ, ὁ δὲ κυρῆς εἶπεν, εἰκότως τοῦτο ποιήσας, ἵνα μισοῦντα τοῦτον ἵλεων καὶ εὐμενῆ ἐντεῦθεν ποιήσῃ τῷ Αἴαντι.

1346. μὴ λάβῃς εἰς τὸ ταῦτα ἔξωθεν τὸ κατά, ἀλλ' ὥσπερ μάχομαί σοι ταῦτά φαμεν, οὕτω καὶ τοῦτο.

1350. εὐσεβεῖν οὐ ῥᾴδιον] ἤτοι διόλου εὐσεβῆ καὶ ὅσια πράττειν. κωλύεται γὰρ ὑπὸ τῆς ἀρχῆς, διὰ τὸ ταύτης συμφέρον. εἰ γὰρ καὶ Αἴας οὐδὲν ἔμελλε δράσειν ἔτ' αὐτόν· τέθνηκε γάρ· διὰ τοῦτό γε μὴν δεῖ τοῦτον τετιμωρῆσθαι, ἵνα μή τις ἰδὼν αὐτὸν ἀτιμώρητον μείναντα ἐγχειρήσῃ τοῖς ἴσοις.

1357. δέον πλέον εἰπεῖν, πολύ εἶπεν. εὕρηται γὰρ πολλαχοῦ τὰ ἁπλᾶ ἀντὶ συγκριτικῶν τιθέμενα, ὥσπερ αὖ τοὐναντίον τὰ συγκριτικὰ ἀντὶ ἁπλῶν.

1362. ἡμᾶς σὺ δειλοὺς] ἐὰν γὰρ τεθάφθαι συγχωρήσωμεν Αἴαντα, πᾶς τις ὃς οὐκ οἶδεν ὅτι σὴν χάριν τοῦτο ποιοῦμεν οἰηθείη ἂν διὰ τὴν Τεύκρου θρασύτητα ἡμᾶς βιασθέντας ἐνδοῦναι.

1390. μνήμων] ἤγουν μνημονεύουσα τῶν ἑκάστοις πεπραγμένων κακῶν καὶ μηδέποτ' εἰς λήθην ἰοῦσα, ἀλλὰ τιμωρουμένη. διὰ τοῦτο δὲ τὴν δίκην τελεσφόρον καλεῖ, διὰ τὸ μὴ αὐτίκα τοῖς ἁμαρτάνουσιν ἀπαντᾶν, ὅπως ἂν μεταγνοῖεν, ἀλλ' ὕστερον κατ' αὐτῶν φέρεσθαι μετὰ μείζονος τοῦ κολάζειν παρασκευῆς.

1407. τὸν ὑπασπίδιον] ἤγουν τὸν ὑποκάτω τῆς ἀσπίδος. πάντων γὰρ ὅπλων ἡ ἀσπὶς ἐπίκειται. τοῦτο δὲ λέγει, ἵνα αὐτὸν συνάψῃ τῷ Αἴαντι, ὥσπερ πρόσθεν ἐνετείλατο.

1410. εἰ μὲν τὸ πλευρᾶς περισπάσεις, καθ' ὅλον καὶ μέρος ἐρεῖς. τὸ γὰρ πατρός ὅλον, τὸ δὲ πλευρᾶς μέρος. εἰ δὲ ὀξυνεῖς, πρὸς τὸ ἐπικούφιζε συντάξεις. σκόπει δὲ, ὅταν περισπάσῃς, μὴ οὕτω συντάσσειν, θιγὼν τῆσδε τῆς πλευρᾶς, ἀλλὰ θιγὼν τοῦ πατρὸς τῆσδε τῆς πλευρᾶς. οὕτω γὰρ καὶ τὸ καθ' ὅλον καὶ μέρος σώζεται.

1412. μέλαν μένος λέγει τὴν τοῦ αἵματος ἀναδοσιν καὶ πρὸς τὰ ἄνω ὁρμὴν, ἐπειδὴ καὶ μέλαν τὸ αἷμα.

1413. ἡ σύνταξις, ἀλλ' ἄγε πᾶς ἀνὴρ, ὅστις φησὶ παρεῖναι καὶ ὑπάρχειν φίλος τοῦ Αἴαντος· ὅτε ἦν ὁ Αἴας, τότε φίλον καὶ αὐτὸν τούτου παρεῖναι λέγω· σούσθω καὶ ὁρμάσθω, βάτω καὶ πορευέσθω, πονῶν καὶ συναγωνιζόμενος τῷδε τῷ Αἴαντι, τῷ κατὰ πάντα ἀγαθῷ, φρόνησιν λέγω καὶ ἀνδρίαν καὶ τἄλλα, καὶ ἐν οὐδενὶ πράγματι λῴονι καὶ κρείττονι τῶν θνητῶν, τουτέστι πᾶσι μὲν τοῖς καλοῖς, ὅσων ἄνθρωπον ἡ φύσις ἠξίωσεν, ἐνευθηνουμένῳ, θνητῷ δὲ ὄντι. οὕτω τὸ οὐδενί οὐδέτερον λέγε, τὸ δὲ λῴονι ἀρσενικὸν πρὸς τῷ Αἴαντι, οὐχ, ὥς τινές φασι, τὸ οὐδενί ἀντὶ τοῦ νεκρῷ, καὶ ἕτερ' ἄττα σκαιότητος γέμοντα.

1418. ἦ πολλὰ] ὄντως πολλά ἐστι τοῖς βροτοῖς γνῶναι ἰδοῦσι καὶ θεασαμένοις· οὐδεὶς δὲ, πρὶν ἰδεῖν, ἐστὶ μάντις τῶν μελλόντων τί ποιήσει. ἤγουν, ὅπερ τις εἶδεν ἐπίσταται· ὁ δὲ μὴ ἰδὼν οὐκ ἂν ἔχοι περὶ τοῦ μέλλοντος ἰσχυρίσασθαι τί ποιήσει. τοῦτο δὲ λέγει ὁ χορὸς περὶ ἑαυτοῦ, ὡς πρῶτον οὐκ ἐλπίζοντος ἂν τεθάφθαι τὸν Αἴαντα, ὕστερον δὲ ἰδόντος τοῦτο γενόμενον.

343. ἦλθόν με μέτα] μετῆλθόν με καὶ μετεπέμψαντο νηΐ, ἤτοι ἐζήτησαν, ὡς τὸ, μέτειμι τὸν ἄνδρα.

411. Αἴας ὁ μείζων] ἤγουν ὁ Τελαμώνιος.

419. τὸ ἐπίστω κατὰ πάθος ἐστίν. ἀπὸ γὰρ τοῦ ἐπίστασο γίνεται ἐπίστω κατὰ ἀφαίρεσιν τοῦ σ, ὡς καὶ ἀπὸ τοῦ ἐτίθετο τὸ ἐτίθου, καὶ τοῦ ἔθεσο τὸ ἔθου.

509. καὶ ἐνταῦθα τὸ τύχοι αἰτιατικῇ συντάσσεται.

514. μέγα τιθέμενος] γράφεται, μετατιθέμενος.

519. εὐχερὴς] ὃν ἡμεῖς εὔκολον, τοῦτον εὐχερῆ λέγουσιν, ὥσπερ καὶ τὸν δύσκολον δυσχερῆ. ὅρα οὖν, φησὶ, μὴ ταυτὸν εὐχερὴς φαινόμενος ἐπὶ τῷ ἀπαγαγεῖν τὸν Φιλοκτήτην ὕστερον δυσχερὴς γένῃ, ὅταν τῇ συνουσίᾳ τῆς νόσου πλησθῇς ἐν τῇ νηΐ.

1009. ἀνάξιος ἦν, φησὶ, περιπατεῖν μετὰ σοῦ δολεροῦ καὶ σκολιοῦ, ἄξιος δὲ μετ' ἐμοῦ εἶναι τοῦ οὐκ ὄντος δολεροῦ.

3. Ὧν] αὕτη ἡ γενικὴ οὐ καθὰ οἴονταί τινές ἐστι, λέγοντες, ὧν εἰς θέαν ἐλθεῖν (τοῦτο γὰρ λαμβάνουσιν ἔξωθεν) ἦσθα πρόθυμος, ἀλλὰ πρὸς τὸ πρόθυμος, καθάπερ φαμὲν, οἰκεῖός εἰμι τοῦ δεῖνος, οὕτω καὶ πρόθυμος. ἰστέον δὲ ὅτι διὰ τοῦτο παλαιὸν τὸ Ἄργος λέγει, διὰ τὸ τὸν πρῶτον αὐτοῦ οἰκιστὴν Ἄργον γηγενῆ εἶναι· ἢ παλαιὸν λέγει, ὡς πρὸς τὸν Ὀρέστην, ἀντὶ τοῦ, ὃ πάλαι οἶσθα· ὅπερ οὐ τοσοῦτον ἔχεται λόγου.

5. τῆς οἰστροπλήγος] ἢ τῆς τῷ οἴστρῳ καὶ ἔρωτι τοῦ Διὸς πληγείσης· ἢ οἶστρον λέγει, ὃν αὐτῇ ἡ Ἥρα ἐπέβαλεν, ὅτε ταύτην εἰς βοῦν Ζεὺς μετέβαλε, βουλόμενος ἐκείνην λαθεῖν.

6. λυκοκτόνος ὁ Ἀπόλλων καλεῖται, ὡς ποτὲ λύκον κτείνας. τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Ἀπόλλων ἀλληγορεῖται εἰς ἥλιον, οὗ τῇ παρουσίᾳ τὸ λυκόφως ἀφανίζεται, λύκου χροιὰν ἔχον· διὸ καὶ τοὔνομα ἔχει. τόπος οὖν ἐν Ἄργει ἦν λυκοκτόνου Ἀπόλλωνος ἱερὸν ἔχων καὶ προσαγορευόμενος ἐντεῦθεν Λύκειος ἀγορά.

17. ἢ τὸ σέλας αἰτιατικὴν νοητέον, τὸ δὲ φθέγματα εὐθεῖαν, οὕτως· ὡς ἤδη τὰ πρωϊνὰ φθέγματα τῶν ὀρνίθων σαφῆ κινεῖ καὶ φέρει ἡμῖν τὸ λαμπρὸν φέγγος τοῦ ἡλίου. τουτέστιν, αἱ ὀρθριναὶ τῶν ἀλεκτόρων ᾠδαὶ ἢ μοῦσαι ἡμῖν ἤδη μαντεύονται. ἢ τὸ μὲν σέλας ἔστω εὐθεῖα, τὸ δὲ φθέγματα αἰτιατικὴ, οὕτως· ὡς ἤδη τὸ λαμπρὸν σέλας τοῦ ἡλίου κινεῖ καὶ φέρει ἡμῖν σαφῆ τὰ ἑῷα καὶ πρωϊνὰ φθέγματα τῶν ὀρνίθων. τουτέστιν, ἤδη προϊοῦσα ἡ ἡμέρα τὰς ὀρθρινὰς ἡμῖν φωνὰς τῶν ὀρνίθων ἀνίστησι.

19. ἄστρων ἐκλέλοιπεν] διὰ τὸ ἐν νυκτὶ τὰ ἄστρα φαίνεσθαι, διὰ τοῦτο ταύτην ἐκλελοιπέναι τούτων φησίν· ἧς ἀπιούσης οὐδὲ ἄστρα δείκνυται.

24. φαίνεις ἐσθλὸς γεγώς] ἀντὶ τοῦ εἰπεῖν, γεγονέναι εἰς ἡμᾶς ἐσθλός, πρὸς μετοχὴν ἔτρεψεν, ὃ καὶ κρεῖττον.

42. οὐ γάρ σε] οὐ γὰρ ἀναγνωρίσουσιν, οὐδὲ ὑπονοήσουσί σε οὕτω κεχρωματισμένον, ἤτοι πεπολιωμένον ὑπὸ τοῦ γήρως, καὶ ὑπὸ τοῦ χρόνου τοῦ μακροῦ ἐνηλλαγμένον κατὰ τὴν τοῦ σώματος διάθεσιν.

Στροφίῳ ἐτρέφετο, ὁ μὲν Πυλάδης καὶ ὁ Ὀρέστης μέλλουσιν εἰπεῖν ὅτι τὸ ἄγγος πρὸς Κλυταιμνήστραν ἄξουσιν ὡς παρὰ Στροφίου πεμφθέντες· τῷ δὲ παιδαγωγῷ ὑποτίθενται εἰπεῖν ὡς παρὰ Φανοτέως ἥκει, προμεμηνυκότος, ὡς φίλου τούτου, Ὀρέστου θάνατον.

49. τέσσαρες ἀγῶνες μεγάλοι ἐν Ἑλλάδι ἐγίνοντο· ὁ τῶν Ὀλυμπίων, ὁ τῶν Νεμέων, ἀμφότεροι εἰς τὸν Δία· ὁ τῶν Ἰσθμίων εἰς Ποσειδῶνα· ὁ τῶν Πυθίων εἰς τὸν Ἀπόλλωνα.

52. καρατόμοις χλιδαῖς] ἤτοι ἐν κουρησίμοις τρυφαῖς. ἔθος γὰρ ἦν αὐτοῖς τέμνειν τὰς κόμας καὶ ἐπιτιθέναι τῷ τάφῳ, ἵνα διὰ τούτου τοῦ πένθους ἵλεως αὐτοῖς ὁ νεκρὸς εἴη. εἰκότως δὲ εἶπε τὸ χλιδαῖς· τρυφὴ γὰρ κεφαλῆς ἡ κόμη.

55. θάμνοις] θαμνώδη φυτά εἰσι τὰ πρόσγεια καὶ μὴ εἰς ὕψος αἰρόμενα.

84. διότι αἱ θυσίαι αἱ πρὸς ἐκεῖνον ἐπὶ καλῷ ἑαυτῶν γενήσεσθαι ἔμελλον, διὰ τοῦτο λουτρὰ ταύτας καλεῖ, ὡς καθάρσια τοῦ μιάσματος, ὃ ἔμελλον κτήσασθαι, εἰ Κλυταιμνήστραν καὶ Αἴγισθον ἀνέλοιεν. μὴ γὰρ ὅτι οὐ δίκαιοι ἦσαν οὗτοι τεθνάναι, ἀλλ' ὅτι πᾶς φόνος μίασμά ἐστιν.

96. οὐκ ἐξείνισεν] οὐκ ἐφιλοφρονήσατο. φιλοφρόνησις δὲ τοῦ φοινίου Ἄρεως οὐδέν ἐστιν ἕτερον ἢ φόβος.

99. κάρα] τὸ πρότερον βραχὺ καὶ τὸ δεύτερον μακρόν, κρᾶτα δὲ τὸ πρότερον μακρόν. πρῶτον δὲ εἰπὼν ὅν, εἶτα κάρα ἐπήνεγκε καθ' ὅλον καὶ μέρος.

107. ὥς τις ἀηδὼν] ἡ τὸ ἴδιον τέκνον, τὸν Ἴτυν, δι' ἄμυναν τὴν πρὸς τὸν ἄνδρα Τηρέα, μετὰ Φιλομήλας τῆς ἀδελφῆς ὑπ' ἐκείνου φθαρείσης, ἀποκτείνασα. τοῦτο δὲ λέγει, ὡς οὔτε ἐν ἡμέρᾳ οὔτε ἐν νυκτὶ παυσαίμην ἂν τῶν θρήνων.

110. διὰ τοῦτο τὸν Πλούτωνα καὶ τὴν Περσεφόνην καλεῖ καὶ τὸν ὑποχθόνιον Ἑρμῆν εἰς ἐκδίκησιν τοῦ πατρὸς, διὰ τὸ ἐν Ἅιδου κεῖσθαι αὐτόν. ἀρὰν δὲ λέγει, ἣν καθ' ἑκάστην κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου πρὸς τοὺς θεοὺς ἐποίησεν, ἣν, ὡς δικαίως πεμπομένην, πότνιαν ὀνομάζει. τάς γε μὴν Ἐρινύας διὰ τοῦτο ἐπιβοᾶται, ὡς τοὺς φονεῖς καὶ κακούργους τιμωρουμένας.

λύπης. ποταπόν; ἀντίρροπον καὶ ἴσον. τουτέστιν, οὐκ ἐξισοῦται τῇ ἐμῇ δυνάμει ἡ λύπη, ἵνα καὶ φέρω αὐτὴν, ἀλλὰ μείζων ἐστὶ καὶ ὑπὲρ τὴν ἐμὴν δύναμιν.

122. τίν' ἀεὶ τάκεις] δέον οὕτω λέγειν, τίν' ἀκόρεστον οἰμωγὴν ἔχεις, τήκεις εἶπεν, εἰκότως. τὸ γὰρ θρηνεῖν ἀεὶ καὶ λυπεῖσθαι τῆξιν κατὰ μικρὸν καὶ δαπάνην τοῦ σώματος ἐργάζεται. ἐπεὶ καὶ τὸ τῆς λύπης ὄνομα οὐχ ἕτερόν ἐστιν ἀλλ' ἢ τοῦ πίου καὶ τοῦ λιπαροῦ λύσις. μὴ λάβῃς δὲ ἔξωθεν τὸ διά εἰς τὸ Ἀγαμέμνονα, ὥσπερ ἅπαντες, σχεδὸν εἰπεῖν, ὑπ' ἀγνοίας γράφουσιν, ἀλλ' οὕτω λέγε· τίνα ἀκόρεστον οἰμωγὴν τήκεις; εἶτα ἑρμηνεύων τὴν οἰμωγὴν ἥτις ἐστὶ, φησὶ, τὸν Ἀγαμέμνονα τὸν πάλαι κρατηθέντα ἐν ἀπάταις, καὶ τῆς δολερᾶς καὶ ἀθεωτάτης σῆς μητρὸς πρόδοτον καὶ προδεδομένον κακῇ καὶ φονικῇ χειρί. ὅμοιον δὲ καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβαις λέγει (290.)

> γείτονες δὲ καρδίας
> μέριμναι ζωπυροῦσι τάρβος
> τὸν ἀμφιτειχῆ λεών.

καὶ δὴ καὶ ἐνταῦθα διά εἰς τὸ τὸν ἀμφιτειχῆ τιθέασιν. εὑρήσεις δὲ καὶ ἐν τοῖς ἄλλοις πᾶσι τῶν ποιητῶν τοιαῦτα ἐξετάζων.

134. καλῶς εἶπε τὸ ἀμειβόμεναι. φίλη γὰρ καὶ αὐτὴ ἦν τούτων· τῶν φίλων δὲ πρὸς ἀλλήλους ἐστὶν ἡ ἀμοιβή.

139. μὴ γράφε οὔτε λιταῖς, ἀλλὰ οὐ λιταῖς. οὕτω γὰρ ἔχει τὸ κῶλον ὀρθῶς πρὸς τὸ τῆς στροφῆς. οὐδὲν δὲ καινὸν, εἰ καὶ τὸ τε λείπει. εὕρηται γὰρ πολλὰ τοιαῦτα.

142. ἀνάλυσις] ἤτοι ἀναπόδισις καὶ εἰς τὸ ἀρχαῖον ἐπάνοδος. καλὰ γὰρ ἦν ἐξ ἀρχῆς, εἶτα κακὰ γέγονεν. εἰ δὲ τὰ κακὰ ἀναλύουσι, πρὸς τὰ ἀρχαῖα, ἤτοι τὰ καλὰ, ἀναλύουσι.

149. Διὸς ἄγγελος] ἤγουν ἡ ἀηδὼν, διὰ τὸ τὸν ἐπ' αὐτῇ γενόμενον ἔλεον τοῦ Διὸς τοῖς πᾶσιν ὑποδεικνύειν ἢ μαρτυρεῖν αὐτὸν φιλάνθρωπον. ἢ ὅτι δι' αὐτῆς ὁ Ζεὺς τὸ ἔαρ ἑρμηνεύει. ἢ διὰ τὸ ἐν ἔαρι κατάρχεσθαι τῆς ᾠδῆς, ὅτε τὰ Διάσια ἐγένετο, ἥτις ἐστὶν ἑορτὴ τοῦ Διός. τὸ δὲ ἄραρε καὶ ἡρμόσθη πρὸς δοτικὴν συντασσόμενον οὐκ ἔχει χώραν ἐνταῦθα πρὸς τὸ ἐμέ, ἀλλὰ δεῖ λαμβάνειν ἔξωθεν τὴν εἰς πρό-

φασὶ δὲ καί τινες τὸ ἄραρε ἀντὶ τοῦ ἀρέσκει, οὐκ οἶδ' ὅπη ποθ' εὑρόντες ταύτην τὴν σημασίαν· οὓς ἐατέον.

150. Ἀγαθίου Σχολαστικοῦ ἐπίγραμμα δι' ἰάμβων εἰς Νιόβην,

ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νέκυν·
ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔχει τάφον,
ἀλλ' αὐτὸς αὐτῶν νεκρός ἐστι καὶ τάφος.

152. αἰαῖ] τοῦτο οὐκ ἔστι πρὸς τὴν Νιόβην, ἀλλὰ διὰ μέσου ἡ Ἠλέκτρα τίθησιν· εἰ δὲ γράψεις αἰεί, διὰ τὴν Νιόβην εἴποις.

157. τὸ οἷα τινὲς ἀντὶ τοῦ καθά λέγουσι, λαμβάνοντες ἔξωθεν τὸ, διὰ τί οὐ ζώεις καὶ σὺ, καθὰ ζῇ ἡ Χρυσόθεμις καὶ Ἰφιάνασσα; οὗ τί γένοιτ' ἂν ἀμαθέστερον; ἔχει δὲ οὕτως. εἰπὼν γὰρ ὁ χορὸς ἄνω, πρὸς ὅπερ ἄχος εἶ καὶ ὑπάρχεις περισσὴ καὶ περισσοτέρως προσκειμένη τῶν ἔνδον· τουτέστι, πλέον τῶν ἐντὸς τοῦ οἴκου αὐτὴ ἀθυμεῖς· τοῦτο εἰπὼν, ἐπειδὴ ἀόριστον ἦν τὸ τῶν ἔνδον, (πολλοὶ γὰρ ἐντὸς, οἷς οὐκ ἔμελε λύπης) ἑρμηνεύων τοῦτο διὰ τὸ οἷς ὁμόθεν εἶ καὶ γονᾷ ξύναιμος, ἤγουν οἷς ἀδελφὴ τυγχάνεις, ἐπάγει τὴν τῶν ἀδελφῶν ἀπαρίθμησιν. δέον δὲ εἰπεῖν, ὧν ἀδελφή ἐστιν ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ Ὀρέστης, ὁ δὲ πρὸς τὸ Χρυσόθεμις ἐπήγαγε λέγων, οἷα ζώει ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ ὁ ἀχέων καὶ λυπούμενος ἐν κρυπτῇ ἤβῃ, ἤγουν ὁ λάθρα ἀναστρεφόμενος παρὰ τῷ Στροφίῳ, καὶ διὰ τὸν πατέρα λυπούμενος ὁ Ὀρέστης. ἰστέον δὲ ὅτι Εὐριπίδης καὶ οἱ ἄλλοι ποιηταὶ Ἰφιγένειαν καὶ Ἰφιάνασσαν τὴν αὐτήν φασι, καὶ Σοφοκλῆς οὑτοσί. ἀποροῦσι δὲ πῶς Ἰφιανάσσης τῆς Ἰφιγενείας ἐν Ὑπερβορέοις οὔσης νῦν μνημονεύει καὶ φαμὲν ὅτι ὥσπερ τὸν Ὀρέστην ἀπόντα λέγει, οὕτω καὶ ταύτην. ἀπαρίθμησιν γὰρ μόνην ποιεῖται, εἰ καὶ τῶν ἔνδον παρακεκινδυνευμένως εἴρηκεν. οὐδεὶς γὰρ ἔνδον ἀλλ' ἢ ἡ Χρυσόθεμις καὶ ἡ Ἠλέκτρα. μαρτύριον δὲ τοῦ οἷα ἄλλα τε μυρία καὶ τὸ παρ' Αἰσχύλῳ ἐν Πέρσαις. (19.) ἀπαριθμούμενος γὰρ ἐκεῖ τοὺς Ξέρξου στρατηγούς φησιν

οἱ δ' ἐπὶ ναῶν πεζοί τε βάδην
πολέμου στῖφος παρέχοντες·
οἷος Ἀμίστρης, ἠδ' Ἀρταφρένης,
καὶ Μεγαβάζης— καὶ τὰ ἑξῆς.

αὐτὴ δὲ ἔπασχεν. ἄλλως τε δέον ἀπατωμένη ἐμοί εἰπεῖν, πρὸς τὸ τί εἴρηκεν. ἡ γὰρ ψευδὴς καὶ ματαία ἀγγελία ἀπατωμένη ὥσπερ ἐστὶ πάσχουσα τὴν ἀπάτην ἀπὸ τοῦ ταῦτα μηνύοντος ἐν αὐτῷ τῷ ψευδῶς μηνύεσθαι.

179. διὰ τὸ ῥᾳδίως φέρειν τὸν χρόνον, νῦν μὲν ταῦτα, νῦν δ' ἐκεῖνα, εὐμαρῆ θεὸν ἐκάλεσε. λέγει δὲ τοῦτο, ἵν' αὐτὴν παραμυθήσηται, ὡς ἔλθῃ ποτὲ Ὀρέστης, καὶ παρὰ τῶν σῶν ἐχθρῶν λήψεται δίκην.

186. ἀνέλπιστος] δέον ἀνέλπιστον εἰπεῖν πρὸς τὸ ἐμέ, πρὸς τὸ βίοτος ἐπήνεγκεν.

194. ἐν κοίταις πατρῴαις] ἤγουν εἰς ἃς κατεκλίθη μετὰ τὸ λελοῦσθαι Ἀγαμέμνων, καὶ παρὰ Κλυταιμνήστρας ἀπόλωλεν, ἐνδυθεὶς χιτωνίσκον κεφαλῆς καὶ χειρῶν οὐκ ἔχοντα ἔξοδον, εἰ καὶ μὴ Σοφοκλῆς οὕτω λέγει.

195. τὸ σοί ἐνταῦθα οὐκ ἔστιν ἀργὸν, ἀλλ' ἐπειδὴ ἡ τοῦ πατρὸς αὐτῆς πληγὴ πρότερον ἑτέρων ὑπ' αὐτῆς ἐλογίσθη, διὰ τοῦτο τὸ σοί λέγει.

197. συλλογιστικῶς ἐνταῦθα τὸν ἔρωτά φησι τὸν φόνον ἐργάσασθαι. ἔρως μὲν γὰρ δόλον ἀπέτεκεν, ὁ δὲ τὸν φόνον ἐμηχανήσατο. ἆρ' οὖν οὐκ ἄλλος ἀντ' ἔρωτός ἐστιν ὁ τὸν φόνον ἐργασάμενος; προτέρου δὲ κειμένου τοῦ μέσου, ὕστερον τέθειται τὸ συμπέρασμα. ἰστέον δὲ ὅτι ἔρωτα τινὲς ἐνταῦθα τὸν τῆς Κλυταιμνήστρας πρὸς Αἴγισθον ἐξέλαβον, καὶ δόλον, δι' οὗ αὐτὴ ἐμηχανήσατο τὸν τοῦ Ἀγαμέμνονος θάνατον. πρὶν γὰρ τοῦτον ἐκ Τροίας ἐλθεῖν, τὸ τοῦ φόνου δρᾶμα συνεσκευάσθη.

201. τὸ πλέον περισσόν. ἀρκεῖ γὰρ τὸ ἐχθίστη πρὸς γενικὴν συντετάχθαι. καὶ τὸ μὲν ἐχθίστη πρὸς τὸ πασῶν ἐχέτω τὴν δύναμιν, τὸ δὲ πλέον πρὸς τὸ ἐχθίστη. ἢ ἀμφότερα τὴν αὐτὴν ἐχέτω δύναμιν πρὸς τὸ πασῶν· δεῖγμα γὰρ τοῦ ἔχθους ὑπερβολῆς, ὥσπερ ὅτε δύο ἢ τρεῖς ἀρνήσεις τίθεμεν εἰς ἄρνησιν μείζονα· πολλάκις δὲ καὶ λέξεις.

206. τὸ ἄχθη καὶ τὸ θανάτους ταυτόν ἐστιν. εἰποῦσα γὰρ ὦ ἔκπαγλ' ἄχθη, ἐπήγαγε τὸ ἐμὸς εἶδε πατὴρ θανάτους ἀεικεῖς, εἰ καὶ τὸ ἄχθη κλητική ἐστι, τὸ δὲ θανάτους αἰτιατική. τὸ μὲν γὰρ πρὸς τὸ

μὴ λάβῃς δὲ τὸ διδύμαιν ἀντὶ δοτικῆς, ἵνα καὶ τὴν ἐν ἔξωθεν λάβῃς, ἀλλ' ἀντὶ γενικῆς, οὕτω· θανάτους διδύμων ἐχθρῶν, ἤγουν οὓς αἱ διπλαῖ χεῖρες εἰργάσαντο Κλυταιμνήστρας καὶ Αἰγίσθου.

213. μὴ πόρσω φωνεῖν] ἤγουν ἐκτὸς τοῦ δέοντος. δεῖ γὰρ σιγᾶν, καὶ μὴ κατὰ τῶν δυνατωτέρων θρασυστομεῖν.

215. οἰκείας] ἤτοι αὐτὴ ἑαυτὴν εἰς κινδύνους ἐμβάλλεις οὐ σωφρονοῦσα.

219. τὰ δὲ] ἤγουν ταῦτα ἃ καθ' ἑκάστην πράττεις θρηνοῦσα καὶ καταρωμένη, οὐκ ἄριστα καὶ ἄξια εἰς μάχην καὶ ἄμυναν τοῖς δυνατοῖς ὥστε πλάθειν καὶ ἐγγὺς ἰέναι, καὶ τὸ παράπαν βλάπτειν αὐτοὺς δύνασθαι. ἀλλ' οἱ μὲν τούτων ἄνω καθεστήκασι, σοὶ δὲ μᾶλλον ταῦτα πολλὴν ἄγει τὴν βλάβην, μισεῖσθαι λέγω παρ' ἐκείνων καὶ ἐν Καρὸς μοίρᾳ δοκεῖν.

221. οὐ χρὴ γράφειν ἐν δεινοῖς ἠναγκάσθην ἐν δεινοῖς. περισσὸν γάρ ἐστι πρὸς τὸ τοῦ πρώτου συστήματος κῶλον, ἀλλ' ἐν δεινοῖς ἠναγκάσθην δή. δίμετρον γὰρ ὀφείλει εἶναι καὶ τοῦτο ὥσπερ κἀκεῖνο.

223. ἰστέον ὅτι τὸ ἀλλά μετὰ τοῦ γάρ συντιθέμενον ποτὲ μὲν ἀργὸν ἔχει τὸ γάρ, ποτὲ δὲ ἀμφότερά εἰσιν ἐνεργά, ὡς καὶ ἐνταῦθα, τὸ μὲν ἀλλά πρὸς τὸ οὐ σχήσω συντασσόμενον, τὸ δὲ γάρ διὰ μέσου τιθέμενον, λαμβανομένου ἔξωθεν τοῦ εἰμί. γίνεται δὲ τοῦτο, ὅταν μεταξὺ τοῦ ἀλλά καὶ τοῦ γάρ συλλαβὴ ἢ λέξις εὑρεθῇ. εἰ δὲ οὕτω τῷ ἀλλά τὸ γάρ πλησιάζει, ὡς μὴ μεσολαβεῖν μηδ' ὁτιοῦν, ἀργόν ἐστι παντελῶς τὸ γάρ.

229. τὸ ἄνετε οὐ φυσικῶς ἔχει τὸ α μακρὸν, ἀλλ' ἐξ ἀνάγκης καὶ ποιητικῇ ἀδείᾳ γίνεται. οὗτοι γὰρ τριῶν ἑφεξῆς κειμένων βραχέων μακρὸν ἐξ ἀνάγκης τὸ α ποιοῦσι διὰ τὰ μέτρα. ὡς οὖν τὸ ἀθάνατος εὕρηται ἀεὶ τὸ α ἔχον μακρὸν καὶ τὸ ἀκάματος καὶ ἀπάλαμος, οὕτω καὶ τὸ ἄνετε ἐνταῦθα. οὕτω γὰρ καὶ σύμφωνα πλεονάζουσιν, ἵνα μακρὸν τὸ προηγούμενον φωνῆεν ποιήσωσιν, ὡς καὶ εἰς τὸ (129.) γέννεθλα γέγονε· καὶ εἴ που δύο σύμφωνα εἴη, τὸ ἓν ἀφαιροῦσιν, ἵνα βραχὺ γένηται τὸ φωνῆεν. καὶ εὑρήσεις τοῦτο πολλαχοῦ.

δὲ εὐκήλως εἰπεῖν, εὐκήλος εἶπε πρὸς τὸ ἰσχνόυσα.

244. εἰ γάρ] αὕτη ἡ κατασκευή ἐστι πρὸς τὸ γονέων ἐκτίμους ἴσχουσα γόων πτέρυγας, εἰ καὶ ἀσάφειάν πως ἔχει. ὁ γὰρ παρ' αὐτῆς πρὸς τοὺς γονέας γινόμενος θρῆνος τιμὴν μὲν ἐκείνοις παρέχει, κατάρα δέ ἐστι τῶν αὐτοὺς φονευσάντων.

249. ἔρροι] φθαρείη ἡ παρὰ τῶν ἀνθρώπων πρὸς θεοὺς εὐσέβεια καὶ αἰδώς. νομιοῦσι γὰρ οὐκ εἶναι θεούς, μὴ κολαζομένης τῆς κακίας.

251. τὸ σὸν] ἤγουν ἵνα μὴ κατὰ σοῦ τοὺς ἐχθροὺς κινήσῃς τῷ συνεχεῖ θρήνῳ, καὶ ταῖς πρὸς αὐτοὺς λοιδορίαις. καὶ τοὐμὸν] ἵνα μὴ ἄφιλος δόξω ἐν τοιούτῳ καιρῷ, μὴ πρὸς παραμυθίαν σοῦ χωρήσασα.

256. τὸ ἀλλά πρὸς τὸ σύγγνωτε σύναπτε· τὸ δὲ ἡ βία γάρ διὰ μέσου ἐστί· κατασκευὴ γάρ ἐστι τίνος χάριν αὐτῇ συγγνώσονται.

257. οὐ χρὴ γράφειν τὸ ἥτις. τοιοῦτον γάρ ἐστιν οἷον τὸ ὅ τι εὑρίσκομεν, ποτὲ μὲν τοῦ ὅ τὴν δύναμιν ἔχοντος, ποτὲ δὲ τοῦ τις· καὶ οἷον τὸ ὅντινα καὶ ἥντινα, καὶ τὰ τοιαῦτα, περὶ ὧν καὶ προείρηται εἰς τὸ (Αἴ. 1051.)

οὔκουν ἂν εἴποις ἥντιν' αἰτίαν προθείς;

κἀνταῦθα οὖν τὸ τις μόνον ἔχει τὴν δύναμιν.

266. ποίας ἡμέρας] τοῦτο ἢ ἀντὶ γενικῆς λάμβανε, ἢ ἀντὶ αἰτιατικῆς. καὶ εἰ μὲν αἰτιατική ἐστιν, οὐδεμίαν ἀσάφειαν ἔχει· εἰ δὲ γενικὴ, οὕτω λέγωμεν· ποίας ἡμέρας νομίζεις με ἄγειν, ἀντὶ τοῦ, ποίου χρόνου τοῦτο λογίζομαι;

268. οὐ μόνον ἐσθὴς ἐσθῆτος εὕρηται, τὸ ἔνδυμα, ἀλλὰ καὶ ἔσθημα ἐσθήματος, ὡς κἀνταῦθα, καὶ ἔσθησις ἐσθήσεως. τὰ ὕστερα ποιητῶν, τὸ δὲ ἐσθής καὶ λογογράφων.

308. εὐσεβεῖν] ἤγουν τοῖς θεοῖς εὐχαριστεῖν, ἀλλὰ μᾶλλον πρὸς αὐτοὺς δυσχεραίνειν, ὅτι μὴ δίκας εἰς τάχος τοὺς τῶν παρόντων αἰτίους ἀπῄτησαν.

310. φέρ' εἰπὲ] ἐδεδίει ὁ χορὸς Ἠλέκτρᾳ συνὼν μὴ παρ' Αἰγίσθου γνωσθεὶς κακόν τι πάθῃ.

317. μὴ λάβῃς εἰς τὸ κασιγνήτου ἔξωθεν τὸ ἕνεκα, ἀλλὰ χωρὶς τοῦτο σύντασσε, εἰ καί τινα ἀσάφειαν ἔχει. οὕτω γὰρ ὀφείλων εἰ-

πρῶτον ἐποίεις πρὸς τὸ εἰδέναι θέλω.

336. πημαίνειν] ἤγουν βλάπτειν αὐτούς. καὶ γὰρ αὐτὴ δοκεῖς πᾶσιν ἀλόγως ἀγανακτοῦσα, μὴ δυναμένη βλάψαι αὐτοὺς, πρὸς οὓς ἀγανακτεῖς.

337. ἀλλὰ καὶ σέ] ἤγουν οὐ μόνον ἐγὼ τοιαῦτα ποιεῖν βούλομαι, ἀλλὰ καί σε βούλομαι ποιεῖν τοιαῦτα.

344. μὴ λάβῃς εἰς τὸ κείνης ἔξωθεν τὸ ἀπό, ἀλλ' ὥσπερ φαμὲν, ἐρώμενός ἐστιν ὁ δεῖνα τοῦ δεῖνος, οἷον Ἀλκιβιάδης Σωκράτους, οὕτω καὶ τοῦτο, διδακτὰ κείνης, ἀντὶ τοῦ ἐκείνης διδάγματα καὶ μαθήσεις.

345. ἑλοῦ γε θἄτερ'] ἤγουν πρόκρινε θάτερον τῶν δύο, ἢ φρονεῖν κακῶς, λέγω δὴ Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ συνεῖναι, καὶ ἀμνημονεύειν τοῦ πατρὸς, ἢ φρονοῦσαν καὶ φρόνιμον οὖσαν καὶ τὰ πατρὸς θεραπεύουσαν, μὴ ἔχειν μνήμην τῶν φίλων, ἤγουν μὴ συνεῖναι Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ, οὓς περὶ πλείστου ποιεῖς. τοῦτο δὲ εἶπεν Ἠλέκτρα πρὸς αὐτὴν εἰποῦσαν ὡς ἀλγεῖ τε τοῖς παροῦσι καὶ τὰ Αἰγίσθου καὶ Κλυταιμνήστρας θεραπεύει ὑπ' ἀνάγκης. τὸ δὲ ἔπειτα οὐ πρὸς τὸ κοὐδὲν ἐκ σαυτῆς λέγεις ἔχει τὴν δύναμιν, ἀλλὰ πρὸς τὰ ἄνω ῥηθέντα, τὸ δεινόν γέ σ' οὖσαν καὶ τὰ ἑξῆς. εἰ γὰρ ἦν πρὸς τὸ κοὐδὲν ἐκ σαυτῆς, οὐκ ἂν ἦν ἔπειτα, ἀλλ' ἐπεί τοι, ὅθεν καὶ ἀπὸ τούτου ἀπατώμενοί τινες μετατιθέασι τὸν τόνον, ἐπεί θ' ἑλοῦ τοιοῦντες, ὅπερ οὐκ ἔχει λόγον, ἐπεὶ καὶ ἐν τοῖς παλαιοῖς τῶν βιβλίων ἔπειθ' ἑλοῦ εὕρηται.

349. τιμωρουμένης] εὕρηται οὐ μόνον ἐνεργητικῶς τιμωρῶ τὸ κολάζω, ἀλλὰ καὶ τὸ βοηθῶ· καὶ οὐ μόνον τιμωροῦμαι παθητικῶς τὸ βοηθῶ, ἀλλὰ καὶ τὸ κολάζω, ὡς καὶ πᾶς τις ἐξετάζων εὑρήσει.

359. τὰ σά πρὸς τὸ ἐφ' οἷς συντακτέον, τὸ δὲ δῶρα πρὸς τὸ οἴσειν, οὕτως· ἐγὼ μὲν οὖν οὐκ ἄν ποτε ὑπεικάθοιμι καὶ ὑποταγείην τούτοις, τῷ Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ, οὐδ' εἰ τὰ σὰ, ἐφ' οἷσι νῦν χλιδᾷς, μέλλει τις οἴσειν καὶ κομίσειν μοι δῶρα. ἢ τὰ σά πρὸς τὸ δῶρα σύναπτε, ἵν' ᾖ, τὰ σὰ δῶρα, ἤγουν ἅπερ σοι δωροῦνται.

384. ἐν καλῷ φρονεῖν] ἤγουν πρὸ τῆς πείρας κάλλιστόν ἐστι νοῦν λαμβάνειν, ὅπως ταύτην ἐκφύγῃς. οἱ δὲ τὸ ἐγκαλῶ ἀντὶ τοῦ λέγω φάσκοντες οὐκ οἶδα εἰ τοπαράπαν μετέχουσι νοῦ.

σφῶν ταύτην τὴν τέχνην μετίασιν, οὕτω καὶ ἡ Χρυσόθεμις πρὸς Ἀγαμέμνονα τὴν θυσίαν ἔφερεν, κέρδος τῇ μητρὶ καὶ βοήθειαν ἐντεῦθεν πραγματευομένη. οἱ δὲ λέγοντες τὸ ἐμπορεύῃ ἀντὶ τοῦ πορεύῃ, ἐκλαμβάνοντες τὸ ἐν ἀργὸν, ἀμαθεῖς. καταχρηστικῶς δὲ εἶπε τὸ ἔμπυρα. ἔμπυρα γὰρ κυρίως τὰ διὰ πυρὸς γινόμενα.

424. ἠνίχ᾽ ἡλίῳ] ἔθος ἦν τοῖς παλαιοῖς, ὁπότε καθ᾽ ὕπνους ὄναρ δεινὸν θεάσαιντο, ἅμα πρωὶ πρὸς τὸν ἥλιον λέγειν, ἵν᾽, ἐπειδὴ ἐναντίος οὗτός ἐστι τῇ νυκτὶ, ἀποτροπὴν ἐργάσηται τούτου.

442. τὸ αὐτῇ ἢ πρὸς τὸ σοί συντακτέον, ἵν᾽ ᾖ ἐκ παραλλήλου, αὐτῇ σοι, ἢ πρὸς τὸ γέρα, οὕτω, τὰ γέρα αὐτῇ, ἤγουν αὐτῆς· ἢ πρὸς τὸ προσφιλῶς, ἵν᾽ ᾖ, προσφιλῶς αὐτῇ, ἤγουν ἀποδεκτῶς αὐτῇ, καὶ ὡς αὐτὴ βούλεται.

445. ἐμασχαλίσθη] ἔθος ἦν τοῖς παλαιοῖς, ἡνίκα τινὰ διεχρήσαντο, ἀκρωτηριάζειν αὐτὸν, καὶ ὑπὸ τῆς μασχάλης ταῦτα τιθέναι. τοῦτο δὲ ἐποίουν, ἵνα ἀνίσχυρον αὐτὸν ἐργάζωνται, διὰ τῆς τῶν ἀκρωτηρίων τομῆς, πρὸς τὴν αὐτῶν ἄμυναν, ἣν οἱ νεκροὶ τοὺς ζῶντας ἀμύνονται, Ἐριννῦς αὐτοῖς ἐπιπέμποντες. οὐ μόνον δὲ ταῦτα ἐποίουν, ἀλλὰ καὶ τὸ ξίφος, δι᾽ οὗ ἡ σφαγὴ ἐγένετο, ἀπέματτον πρὸς τὴν τοῦ σφαγέντος κεφαλήν.

464. ἔστιν ὅτε τὴν πρός μετ᾽ ὀνόματος κειμένην καὶ αἰτιατικῇ συνταξομένην ἀντὶ ἐπιρρήματος λαμβάνουσιν, ὡς τὸ (369.) "μηδὲν "πρὸς ὀργήν" ἀντὶ τοῦ ὀργίλως, καὶ, πρὸς ἀξίαν, καὶ ἐνταῦθα πρὸς εὐσέβειαν ἀντὶ τοῦ εὐσεβῶς.

472. κατανοήσας ὁ χορὸς ἀπὸ τοῦ ὀνείρου ὡς ταχέως οἱ φονεῖς ὑπὸ τῆς δίκης τιμωρηθήσονται, προμαντευόμενος δῆθέν φησι πρὸς τὴν Ἠλέκτραν· ὦ τέκνον, ὕπεστί μοι θράσος, ἤγουν θαρρῶ, εἰ μὴ ἔφυν καὶ ὑπάρχω ἐγὼ μάντις παράφρων καὶ λειπομένη καὶ ἐστερημένη γνώμης σοφῆς, ἤτοι διανοίας φρονίμου, ἤγουν εἰ μὴ ἀνοήτως μαντεύομαι καὶ ἐστέρημαι γνώσεως φρονίμου, εἶσι καὶ ἐλεύσεται ἡ δίκη ἡ πρόμαντις καὶ ἡ διὰ σημείων τινῶν προμαντευομένη καὶ δεικνύουσα τὸ μέλλον, φερομένη ἐν ταῖν χεροῖν κράτη δίκαια, ἤτοι κατὰ τῶν φονέων τοῦ σοῦ πατρὸς δικαίαν ἐξουσίαν καὶ δύναμιν φερομένη, τουτέστι δικαίως αὐτοὺς μετὰ δυνάμεως τιμωρήσουσα, μέτεισι καὶ

στραν, ἤτις εἶδε τὰ ὀνείρατα. τοῦτο δὲ ὁμοίον ἐστὶ τῷ παρ' Ἀριστοφάνει (Πλ. 382.)

ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον.

καὶ τῷ (Βατρ. 606. 554.)

ἥκει τῳ κακόν. δώσει τις δίκην.

479. οἱ γράφοντες ὑπεστί μοι θάρσος ἀμαθεῖς τῶν μέτρων. διὰ τοῦτο θράσος χρὴ γράφειν, ὡς καὶ ἔν τινι τῶν παλαιῶν εὕρηται, ἵν' οἰκεῖον ᾖ τὸ κῶλον τῷ τῆς ἀντιστροφῆς. εἰ δ' ἄλλο μὲν σημαίνει θράσος, ἄλλο δὲ τὸ θάρσος, μὴ θαυμάσῃς. πολλὰ γὰρ τοιαῦτα καινοτομοῦσιν οἱ ποιηταί, μετατιθέντες τὰ σύμφωνα καὶ μεταπλάττοντες τὰς λέξεις, διὰ τὴν τοῦ μέτρου ἀνάγκην. καὶ δηλοῖ τὸ κάρτος καὶ τὸ κραδία, καὶ τὰ τοιαῦτα.

489. ἃ δεινοῖς κρυπτομένα λόχοις] ἤγουν δεινῶς ἐνεδρεύουσα τοῖς κακοῖς καὶ μὴ φαινομένη, ἀλλ' ἐξ ἀφανοῦς αὐτοὺς βάλλουσα.

492. ὁ τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας γάμος βαρὺς κατέστη τῷ Ἀγαμέμνονι. δι' αὐτὸν γὰρ πεφόνευται. δέον δὲ εἰπεῖν, ἐπέβησαν γὰρ τῷ Ἀγαμέμνονι μιαιφόνοι κακώλεθροι καὶ ἄνυμφοι γάμοι, ὁ δὲ ἄλεκτρα καὶ ἄνυμφα ἀμιλλήματα μιαιφόνων γάμων εἶπε. προσέθηκε δὲ τὸ ἀμιλλήματα, ἐπειδὴ ἀγώνισμα περισπούδαστον ἐποιήσαντο, διὰ τὸν αὐτῶν ἄθεσμον γάμον Ἀγαμέμνονα κτεῖναι, ἵνα μὴ γνωσθέντες ὑπ' αὐτοῦ φονευθεῖεν.

498. ἤτοι μαντεῖαι] ἤγουν εἰ μὴ ταχέως δώσουσι δίκην, ὥσπερ ὁ ὄνειρος ὑποτίθεται, οὐ χρὴ τὸ ἀπὸ τοῦδε ὀνείρασι προσέχειν, καὶ ἐκ χρησμῶν τὸ μέλλον ἔσεσθαι προορᾶν.

505. πουλύπονος χρὴ γράφειν ἐνταῦθα καὶ ἐν τῷ ιβ' κώλῳ, ἵν' ᾖ παιωνικὰ τὰ κῶλα, ὡς καὶ τὰ λοιπά.

514. ἐπεὶ καὶ οἴκους καὶ οἴκου, εὕρηται πρὸς μὲν τὸ οἴκους οὕτω λέγε· ἐκ τοῦδε τοῦ καιροῦ οὕτις πω καὶ οὐδεμία αἰκία πολύπονος ἔλειπε τοὺς οἴκους· πρὸς δὲ τὸ οἴκου οὕτως· οὕτις καὶ οὐδεμία αἰκία πολύπονος ἔλειπεν ἐκ τοῦδε τοῦ οἴκνου.

533. ὥσπερ ἡ τεκοῦσ' ἐγὼ] ἔκαμον δηλονότι. αἱ γὰρ ἐν τῷ τίκτειν ὠδῖνες πᾶσαν ὀδύνης ὑπερβολὴν ὑπεραίρουσι.

542. τιν' ἵμερον] τοῦτ' οὐκ ἔστι τίνα ἵμερον, εἰ διαλελυμένως εἴποις, ἀλλὰ τινὰ ἵμερον· διὰ δὲ τὸ κούφισμα μετετέθη ὁ τόνος.

νοια τὴν τοιαύτην γενικὴν νόει.

662. αὐτὸς εἴκασας] ἤγουν ἀπὸ σαυτοῦ καὶ ἀπὸ οἰκείου στοχασμοῦ ἔγνως. πρὸς ὅπερ ἐκεῖνος· ἆρ' οὖν ἀπεικάζω καὶ τήνδε τὴν γυναῖκα ἐκείνου, ἤγουν ἀπὸ στοχασμοῦ καταλαμβάνω;

668. οὐ μόνον οὐ λαβὼν εἰς τὸ σοῦ ἔξωθεν τὴν ἀπό, ὥς τινες, ἀλλὰ καὶ πρὸς τὸ χρήζω συντάσσων εὖ ἂν ποιήσαις.

676. νῦν τε καὶ πάλαι λέγω] γράφεται καὶ νῦν τε καὶ τότ' ἐνέπω.

682. πρόσχημα] εἶδος, καλλώπισμα. λέγει δὲ τοὺς Δελφούς. ὅτι δὲ τοῦτο δηλοῖ τὸ πρόσχημα μαρτυρεῖ καὶ Ἀριστείδης λέγων "τὸ τῆς Ἑλλάδος πρόσχημα καθαρῶς ἀνήρηται." Δελφικῶν ἄθλων] τῶν εἰς τοὺς Δελφοὺς ἐν τῇ τῶν Πυθίων πανηγύρει τοῖς νενικηκόσι διδομένων βραβείων. τὰ δὲ Πύθια ἦν ἑορτὴ τοῦ Ἀπόλλωνος.

684. οὗ πρώτη κρίσις] εἰσήγετο γὰρ ὁ δρόμος πρῶτος τῶν ἄλλων ἄθλων, πυγμῆς, πάλης, δίσκου, διάλματος. τοῦτο δὲ ἐγένετο διὰ τὸ πάντας τοὺς ἀγῶνας ποιείας δεῖσθαι. ἔστι δὲ ὁ δρόμος οὐκ ἄλλο τι ἢ μόνον ποιεία καὶ τάχος ποδῶν. ὡς οὖν τὸ τῇ φύσει προσὸν μόνος ἰδιοποιησάμενος προετάττετο.

689. ἔργα καὶ κράτη] γράφεται καὶ ἔργ' οὐδὲ κράτη.

691. ἰστέον ὅτι ἀντὶ τοῦ ἀγώνων, διαύλων εἶπε. δέονται γὰρ πάντες οἱ ἀγῶνες, ὡς ἄνωθεν ἔφημεν, ποιείας πρὸς τὸ τελεσθῆναι. ἐσαφήνισε δὲ διὰ τοῦ εἰπεῖν ἃ νομίζεται πένταθλα. δέον δὲ εἰπεῖν, οἳ νομίζονται, πρὸς τὸ πένταθλα ἐπήνεγκε. καὶ ἔστιν ὅμοιον τῷ (Aĭ. 1058.)

ἡμεῖς μὲν ἂν τήνδ', ἣν ὅδ' εἵληχεν, τύχην,
θανόντες ἂν προὐκείμεθ' ἐχθίστῳ μόρῳ.

εἰσὶ δὲ αἱ τοιαῦται γενικαί, τὸ ὅσων δρόμων, πρὸς τὸ τούτων ἐνεγκὼν, εἰ καί τινες ἀγνοοῦντες τὴν σύνταξιν τὸ ὅσον δρόμων μικρογραφοῦσι.

698. μὴ λάβῃς εἰς τὸ ἡμέρας ἔξωθεν τὴν ἐπί, ἀλλ' οὕτω λέγε· ἐκεῖνος γὰρ ὅτε ἄλλης ἡμέρας, πρὸς τὸ ὅτε τὴν τοιαύτην γενικὴν συντάσσων. ὥσπερ γάρ φαμεν, ὅτε τῆς ἡμέρας ἔκλειψις ἡλίου γέγονεν, οὕτω καὶ τοῦτο. τὸ δὲ ἱππικῶν ἀντὶ τοῦ ἡνιόχων, οὐχ, ὥς τινές φασιν, ἀντὶ τοῦ ἵππων, τὸ κτητικὸν ἀντὶ τοῦ ἁπλοῦ, ληροῦντες. ἐπεὶ δὲ ἱπ-

707. τῶν θεοδμήτων] τοῦτο σεμνύνων τοὺς Ἀθηναίους ὡς Ἀθηναῖος ὁ Σοφοκλῆς λέγει. τῷ ὄντι γὰρ θεόδμητος ἦν ἡ Τροία, ἐκ Ποσειδῶνος καὶ Ἀπόλλωνος κατὰ τὸν μῦθον κτισθεῖσα.

710. κλήροις ἔπηλαν] ἀντὶ τοῦ, μετὰ κλήρων ἔστησαν. ἔστι δὲ τὸ κλήροις ὥσπερ ἀργόν. τὸ γὰρ ἔπηλαν καὶ χωρὶς τούτου σώζει τὴν φύσιν. τὸν αὐτὸν δὲ λόγον φαμὲν καὶ εἰς τὸ, περιῄει κύκλῳ. ὃ γὰρ συναμφότερον δύναται, τοῦτο μόνον τὸ περιῄει.

717. χνόας] ἤτοι τὸ ἅρμα τοῦ ἑτέρου. ἀπὸ μέρους τὸ πᾶν. χνόαι γὰρ τὰ ἀκραξόνια. ἔστι δὲ τὸ χνόας καὶ τὸ φρυάγματα ἱππικά ταυτόν.

730. Κρισσαῖον] ἤτοι Φωκικόν. ἔστι γὰρ πόλις Φωκίδος, ἐν ᾗ Φωκίδι καὶ τὸ ἐν Δελφοῖς μαντεῖόν ἐστιν. ἔστι δὲ τὸ ναυαγίων ἱππικῶν ὅμοιον τῷ (Ἰλ. Δ, 3.) " νέκταρ ἐφνοχόει."

758. σῶμα δειλαίας σποδοῦ] δέον οὕτως εἰπεῖν, δειλαίαν σποδὸν μεγίστου σώματος, ἀντιστρόφως εἴρηκεν, ὥσπερ καὶ ἄλλα μυρία τοιαῦτα εὑρίσκεται.

774. τεκμήρια] ἤτοι σημεῖα. λέγω δὴ τὸ διηγήσασθαι τὴν ἐκείνῳ συμβᾶσαν τύχην, καὶ εἰπεῖν ὡς μετ' ὀλίγον οἱ τὴν σποδὸν αὐτοῦ φέροντες ἄνδρες ἀφίξονται.

786. νῦν δ' ἔκηλά που] τοῦτο τὸ νῦν ἐπανάληψίς ἐστι τοῦ προτέρου νῦν.

792. Νέμεσις θεὰ μεμφομένη τοὺς τοῖς θανοῦσιν ἐφυβρίζοντας καὶ τούτους τιμωρουμένη. σύντασσε δὲ τὸ θανόντος πρὸς τὸ Νέμεσις, καὶ μὴ πρὸς τὸ ἄκουε, ὥσπερ τινὲς ποιοῦσιν. ἄλλοι δὲ καὶ λαμβάνουσιν ἔξωθεν τὸ οὕνεκα.

795. εἰ μὲν γράψεις οὔκουν, κατ' ἐρώτησιν μὲν οὔ, καθ' ὁμαλισμὸν δὲ εἰρωνικῶς. εἰ δὲ καὶ παύσατον γράψεις, (εὕρηται γὰρ καὶ τοῦτο) προστακτικῶς ἐρεῖς, οὕτως· οὐκοῦν παύσατε τάδε, σύ τε καὶ Ὀρέστης, εἰ δύνασθε.

796. οὕτως ἦν τὸ σαφές· οὐ μόνον οὐ παύσομέν σε, ἀλλὰ πεπαύμεθα ἡμεῖς. νῦν δὲ προθεὶς τὸ πεπαύμεθα, εἶτ' ἐνεγκὼν τὸ οὐχ ὅπως σε παύσομεν, ἀσάφειάν τινα ἐποίησε. σὺ δὲ ὡς ἔφαμεν λέγε συντάσσων.

830. μηδὲν μέγ᾽ ἀΰσῃς] ἤτοι βοήσῃς, εἴπῃς. ἤγουν μὴ πρὸς θρήνους ὁρμήσῃς, ἵνα μὴ πρὸς ὀργὴν Κλυταιμνήστραν κινήσῃς.

834. ἐλπίδ᾽ ὑποίσεις] ὑπενέγκῃς, ὑποβαλεῖς, ὡς ἐξ ἐκείνων βοήθειά τίς μοι γενήσεται.

835. ἐπεμβάσῃ] ἤγουν ἐπιπέσῃς νενικημένῃ καὶ μείζονα ἐργάσῃ τὴν συμφοράν.

838. ἔρκεσιν] ἤγουν τοῖς περιδεραίοις, ἅπερ Ἄδραστος ἔδωκεν Ἐριφύλῃ, τῇ σφετέρᾳ μὲν ἀδελφῇ, ἐκείνου δὲ τοῦ Ἀμφιάρεω γυναικί, ἵνα πείσῃ αὐτὸν ἀπελθεῖν εἰς τὰς Θήβας μετὰ Πολυνείκους. ἅτε γὰρ μάντις ὢν ᾔδει ἀπολουμένην τὴν στρατιάν, καὶ διὰ τοῦτο οὐκ ἤθελε στρατεῦσαι. εἰκότως δὲ τὰ περιδέραια ἔρκη ἐκάλεσε, διὰ τὸ αἴτια αὐτῷ ἀπωλείας γενέσθαι. φασὶ δὲ ὅτι ἐν τῷ τόπῳ τῶν Θηβῶν, ἔνθα κατεχώσθη Ἀμφιάρεως, μαντεῖον ἦν αὐτοῦ τὸ λοιπόν. ἰστέον δὲ ὅτι οὐ χρὴ γράφειν γυναικῶν ἀπάταις. οὐ γὰρ ἁρμόζει οὕτω τῷ μέτρῳ. περισσὸν γάρ ἐστι τὸ γυναικῶν· διὸ καὶ ἐξεβλήθη παρ᾽ ἐμοῦ. ἀλλὰ κρυφθέντ᾽ ἀπάταισι γράφε· τὸ δὲ γυναικὸς ἔξωθεν λάμβανε. οὕτω γὰρ κατὰ τὴν σύνταξιν καὶ τὸ μέτρον ἔχει καλῶς.

843. ἐπὶ θηλυκοῦ ληπτέον τὸ ὁλοά, ἵν᾽ ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς. ἤτοι ὁλοὰ καὶ ὀλεθρία ὑπῆρχεν ἡ Ἐριφύλη. ἐδάμη γὰρ ὑπὸ τοῦ υἱοῦ αὐτῆς Ἀλκμαίωνος· εἰ δ᾽ ἄλλως εἴποις, οὐκ ἔχει ὀρθῶς.

850. καὶ ἐγὼ ἵστωρ καὶ ἐπιστήμων, καὶ ὑπερίστωρ εἰμὶ τοῦδε, ὅτι δηλονότι δειλαία κυρῶ καὶ ὑπάρχω, ἤτοι ἀθλία, τῶν Ἀχαιῶν τῶν ἀθλίων ἕνεκα τῶν πολλῶν δεινῶν, τῶν πανσύρτων καὶ πάντα συρόντων καὶ ἀπολλύντων, καὶ στυγνῶν, ἤτοι τῶν στυγνάζειν ποιούντων, ἐν τῷ παμμήνῳ καὶ διηνεκεῖ χρόνῳ. ἤγουν ἐπίσταμαι ὅτι ἀθλιωτέρα εἰμὶ τῶν Ἀχαιῶν, τῶν διὰ τοῦτο ἀθλίων ὅτι πολλῶν δεινῶν πανσύρτων καὶ στυγνῶν πεῖραν ἔλαβον ἐν τῷ παμμήνῳ καὶ διηνεκεῖ χρόνῳ, ἂν δηλονότι ἐν Τροίᾳ πεποιήκασιν. εἰ δὲ πανσύρτων καὶ ἀρχαίων γράψεις, (ἐν τισὶ γὰρ τῶν πάνυ παλαιῶν οὕτως εὕρηται βιβλίων) ὀρθότερον ἔχει πρὸς τὸ μέτρον· εἴ γε μὴν πανσύρτῳ γράψεις, (ἐν πολλοῖς γὰρ καὶ οὕτως εὕρηται) πρὸς τὸ παμμήνῳ συνάψεις, ἤτοι τῷ διηνεκεῖ χρόνῳ τῷ κατὰ πάντα συρομένῳ, ἤτοι τῷ πολυκινήτῳ. ἐπεὶ δ᾽ ὑποσκάζει τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς, τὸ δεινῶν στυγνῶν τ᾽

οὕτω συνάπτειν· καὶ ἐγὼ ἵστωρ καὶ ὑπερίστωρ εἰμὶ τοῦδε, ὅτι δειλαία εἰμὶ δηλονότι, ἐν τῷ πανσύρτῳ καὶ παμμήνῳ καὶ διηνεκεῖ χρόνῳ, ἕνεκα τῶν δεινῶν τῶν ἀρχαίων τῶν πολλῶν καὶ στυγνῶν. ἀρχαῖα δέ φησι τὰ δεινά, ἐπεὶ καὶ πρότερον εἴρηκεν ὡς ἐκ τῆς πρόσθεν Πέλοπος ἱππείας καὶ τοῦ φόνου Μυρτίλου οὐκ ἔλιπε τοὺς οἴκους αὐτῶν πολύπονος αἰκία.

855. τὸ ἴν' οὐ πρὸς τὸ πάρεισιν συναπτέον, εἰ καὶ τὸ τί φῄς διὰ μέσου τίθεται. συντάσσεται δὲ οὕτω· μή με νῦν μηκέτι παραγάγῃς ἵνα καὶ ὅπου οὐ πάρεισιν ἐλπίδες ἐλπίδων τῶν εὐπατριδῶν κοινοτόκων, ἤγουν τοῦ εὐγενοῦς Ὀρέστου τοῦ ἐμοῦ ἀδελφοῦ, ἀρωγοὶ ἐμοί· ἤγουν μὴ εἰς ἐλπίδας ἐμβάλῃς Ὀρέστου ὡς ἥξει ἐμοὶ βοηθός. ἰστέον δὲ ὅτι τὸ "τί φῄς; πάρεισιν ἐλπίδων" ἓν κῶλόν ἐστι. τὰ γὰρ δύο πρόσωπα ἓν ἀποτελεῖ κῶλον, ὡς καὶ ἐν τῇ ἀντιστροφῇ δείκνυται· διὸ τὸ αὐδᾷς δὲ ποῖον, περισσὸν ὄν, ἐξεβλήθη παρ' ἐμοῦ. ταυτὸν γάρ ἐστι τῷ τί φῄς;

861. διὰ τοῦ εἰπεῖν ἀμίλλαις ἐδήλωσε τὸ ἵπποις· τούτων γὰρ ἡ ἅμιλλα. τὸ δὲ χαλαργοῖς, ἢ τοῖς τὰς χηλὰς καὶ τοὺς πόδας, ἀπὸ μέρους τὸ πᾶν, ἀργὰς ἔχουσι κατ' ἀντίφρασιν, ὥσπερ ἐστὶ καὶ τὸ στόμαργος καὶ τὸ πύγαργος· ἢ χαλαργοῖς καὶ λευκόποσιν.

876. εἰ μὲν ἴασιν γράψεις, πρὸς τὸ ἰδεῖν συντάξεις· εἰ δὲ ἴασις, πρὸς τὸ ἔνεστι.

878. ἐναργῶς] ἤγουν φανερῶς. τοῦτο δὲ ἢ πρὸς τὸ πάρεστι σύναπτε, ἢ πρὸς τὸ ἴσθι.

908. μὴ λάβῃς ἔξωθεν εἰς τὸ τοῦ τὴν ἀπό, ἀλλὰ πρὸς τὸ ἀγλάϊσμα νόει τὴν γενικήν· μηδὲ τὸ πλήν ἀντὶ τοῦ χωρίς εἴπῃς, ἀλλ' ἀντὶ τοῦ εἰ μή. ἔστι δὲ ἡ γενικὴ τὸ κείνου πρὸς τὸ τοῦ.

913. εἰ καὶ πολλάκις τὸ φιλεῖ ἀντὶ τοῦ εἴωθε λέγεται, ἀλλὰ κατὰ τὴν κοινὴν συνήθειαν. τὸ γὰρ φιλῶ οὐκ ἔχει τοιοῦτόν τι σημαινόμενον, ἀλλ' ἀντὶ τοῦ ἀγαπῶ. ἐπεὶ δὲ ὃ φιλεῖ τις, ἐθάς ἐστιν ἐκείνου, διὰ τοῦτο ἠπάτηνται οἱ πολλοὶ καὶ ἀπὸ τοῦ φυσικοῦ σημαινομένου ἐξαγαγόντες οὕτω φασίν.

917. παραστατεῖ] ἤτοι παραγίνεται. ἀλλ' ἴδοις ἂν τὸν ἄνθρωπον, νῦν μὲν εὐτυχοῦντα, νῦν δὲ δυστυχοῦντα, τῶν ἀνθρωπίνων τροχοῦ δίκην ἄνω καὶ κάτω περιϊόντων.

ἀφικνῆται Ὀρέστου.

946. συνοίσω] διοίσω, συμπονήσω, ὃ καὶ συνδιαφέρω λέγεται, καὶ δηλοῖ τὸ μετὰ τινὸς ὑπομένειν τι.

952. θάλλοντά τ' εἰσήκουον] μὴ εἴπῃς καὶ αὐτὸς τὸ τε ἀργὸν, ὥς τινές φασιν, ἀλλ' οὕτω σύντασσε· ἕως μὲν εἰσήκουον τὸν κασίγνητον ἐν τῷ βίῳ καὶ ζῳῇ, καὶ θάλλοντα, ἤτοι ζῶντα πάλιν. ἔστι δὲ τὸ βίῳ καὶ τὸ θάλλοντα ἐκ παραλλήλου. εἴρηται δὲ τὸ θάλλοντα ἐκ μεταφορᾶς τῶν φυτῶν. ζωὴ γὰρ φυτοῦ τὸ θάλλειν, ὥσπερ αὖ τοὐναντίον ἡ μάρανσις.

957. οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι] οἱ ἀγνοοῦντες τὸ τοῦ Εὐριπίδου, τὸ (Ἑκάβ. 570.)

κρύπτειν θ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών,

καὶ ἐναλλαγὰς καὶ προθέσεις ἔξωθεν καινοτομοῦντες, ἵνα συντάξωσιν, ἐντεῦθεν διδαχθήτωσαν μὴ τοιαῦτα ποιεῖν, ἀλλ' ὀρθῶς συντάσσειν, ὡς ἔχει τοῦτο.

966. πημονὴν αὐτῷ] τοῦτο κομματικὸν ὂν πρὸς τὸ ὄπισθεν συνάπτεται τῷ βλαστεῖν τῇ ἐννοίᾳ. τὸ γὰρ ἀναβλαστῆσαι τὸ γένος αὐτῶν οὐχ ἕτερόν ἐστιν ἢ πημονὴ τῷ Αἰγίσθῳ. μὴ λάβῃς δὲ εἰς τὸ πημονὴν ἔξωθεν τὸ λέγω, ἀλλ' οὕτω σύντασσε· ἐᾶσαι ἀναφῦναι τὸ ἐμόν τε καὶ σὸν γένος πημονὴν αὐτῷ σαφῆ, τῆς τοιαύτης αἰτιατικῆς πρὸς τὸ βλαστεῖν ἐχούσης τὴν φύσιν καὶ φερομένης. ἔστι δὲ ὅμοιον, ὡς πρόσθεν ἔφημεν, τῷ (Αἴ. 1210.) "μνήματα Τροίας."

969. οἴσῃ] ἤγουν λάβῃς. σύναπτε δὲ πρὸς τὸ κάτω. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εὐσεβὴς δόξεις τοῖς ἐν Ἅιδου θεοῖς, ἐκ πατρὸς θανόντος καὶ κασιγνήτου, τουτέστι δι' ὧν ὑπὲρ τεθνηκότος πατρὸς καὶ ἀδελφοῦ σπουδάσεις.

977. τῶδε τὼ κασιγνήτω] εἰώθασιν οἱ Ἀττικοὶ τὰ τοῦ θηλυκοῦ γένους δυϊκὰ ἀρσενικῶς ἐκφέρειν· ὅθεν καὶ παρὰ λογοποιοῖς τὼ χεῖρε μόνον ἐπεκράτησεν. εὕρηται δὲ παρ' Ἰσοκράτει καὶ ἄλλοις τὼ πόλεε καὶ τοῖν πολέοιν. εὕρηται δὲ οὐ μόνον ἐν τοῖς δυϊκοῖς αὕτη ἡ καινοτομία, ἀλλὰ καὶ ἐν τῇ γενικῇ τῶν ἑνικῶν, ὥσπερ τὸ παρ' Εὐριπίδῃ (Ἑκάβ. 370.)

οὔτ' ἐλπίδος γὰρ οὔτε του δόξης ὁρῶ
θάρσος.

984. τὸ μὲν νῷ πρὸς τὸ ἐξερεῖ. ὥσπερ φαμὲν, καλῶς λέγω σε, οὕτω καὶ, ἐξερῶ σε τοιαῦτα. τὸ δὲ ζώσαιν θανούσαιν πρὸς τὸ ἐκλιπεῖν. τινὲς δὲ πλανῶνται ἐκ τοῦ, ζώσαιν θανούσαιν, καὶ γράφουσι νῷν, ἤτοι νῶϊν καὶ ἡμῖν.

990. ἐν τοῖς τοιούτοις] ἤγουν τοῖς παρακεκινδυνευμένοις τῶν ἔργων, ὁποῖα τὰ παρόντα. δεῖ γὰρ μεγίστης βουλῆς, ἵνα μὴ τῷ χρόνῳ τοῖς ἐχθροῖς αἴσθησις γένηται.

992. ἐπειδὴ φορτικὸν ἦν τὴν Χρυσόθεμιν μέμφεσθαι τῇ Ἠλέκτρᾳ ὡς ἀφρόνως βουλευομένῃ· ἔδει γὰρ αἰδῶ καὶ ὑποστολὴν πρὸς αὐτὴν ἔχειν ὡς προγενεστέραν οὖσαν· διὰ τοῦτό φησιν· ὦ γυναῖκες, καὶ πρὶν φωνεῖν καὶ λέγειν ἐμὲ αὐτῇ ὅτι κακῶς καὶ ἀσυνέτως βουλεύεται, εἰ ἐτύγχανεν αὕτη φρενῶν οὐ κακῶν, ἀλλὰ καλῶν, ἐσώζετο ἂν τὴν εὐλάβειαν καὶ τὴν ὀφειλομένην ἐξ ἐμοῦ αὐτῇ αἰδῶ καὶ ὑποστολήν, καὶ ἦν ἂν αἰδέσιμος οὕτως, ὥσπερ οὐχὶ σώζεται νῦν ταύτην, ἀφρόνως τοιαῦτα βουλευομένη. τουτέστιν, οὐκ ἔδει ἐμὲ αὐτῇ νουθετεῖν τὰ προσήκοντα, ἀλλ᾽ αὐτὴν οἴκοθεν εἰδέναι.

1005. λύει γὰρ] οὐδὲν ὧν λέγεις ἀπαλλάττει καὶ ἐλευθεροῖ ἡμᾶς τοῦ πρότερον πολλαῖς καὶ ποικίλαις περιπεσούσας κολάσεσι καὶ ἀδοξίᾳ μεγίστῃ, εἶτα θανεῖν.

1019. αὐτοχειρὶ] ἤγουν αὐτοχείρως ποιήσω, καὶ μόνη, μὴ παραλαβοῦσα μηδένα σύμμαχον. ἀγνοοῦντες δέ τινες οὕτω φάσκειν ἀργὸν τὸ τε λέγουσιν.

1026. κατὰ συνεκδοχὴν τὸ κακῶς πρὸς τὸ ἐγχειροῦντα ἀπὸ τοῦ πράσσειν νόει.

1028. χὤταν] τὸ καί τοῦτο πρὸς ἕτερον καί, τὸ χὠ λοιπὸς χρόνος, ἔχει τὴν δύναμιν, εἰ καὶ διὰ μέσου Ἠλέκτρα εἴρηκεν τὸ,

ἀλλ᾽ οὔποτ᾽ ἐξ ἐμοῦ γε μὴ πάθῃς τόδε.

1031. ὠφέλησις οὐκ ἔνι] ἤγουν, οὐκ ἐκ σοῦ τις ὠφεληθήσεται· οὐ γὰρ δύνασαι ὠφελεῖν τινά. οὐ γάρ ἐστί σοι ὠφέλειά τις, ἣν ὠφελήσεις ἄλλον. πρὸς ὅπερ ἡ Χρυσόθεμις, ἐμοὶ, φησὶν, ἔνεστιν ὠφέλεια, ἀντὶ τοῦ γνῶσις ὠφελείας· σοὶ δὲ μάθησις οὐκ ἔστιν.

1036. προμηθείας δὲ σοῦ] τὸ γὰρ ἀποτρέπειν σε ταύτης τῆς γνώμης προνοουμένη σοῦ ποιῶ, ἵνα μὴ, Κλυταιμνήστρας μαθούσης, κακόν τι πάθῃς.

γνωμικον. διοτι μεν γαρ ουκ εστι κατα παντος ανθρωπου, εκπιπτει του ονοματος· διοτι δε κατα πασων εστι γυναικων, τουνομα δεχεται.

1044. το ταυτα διπλως νοητεον. ἣ ταῦτα, ἃ ἐγὼ λέγω, οὕτω· ἢν την εμην συμβουλην δεξῃ και αποστῇς ταυτης της γνωμης, ἔξω κινδύνου ἑστήξῃ, και εμε, την ταῦτά σοι συμβουλεύουσαν, ἐπαινέσεις της προμηθείας. ἣ ταῦτα, ἃ αὐτὴ βούλει, οὕτω· ἀλλ' εἰ το σον θέλημα ποιήσεις, ἐπαινέσεις ἐμέ· τουτέστιν, οὔτε δυνήσῃ ἐργάσασθαί τι και περιπεσοῦσα κινδυνεύσεις, και τότε μετ' εὐφημίας ἐμοῦ μνημονεύσεις, ὡς ὑποτιθεμένης σοὶ τὰ λυσιτελῆ. εἰ μεν οὖν εἴποις το δεύτερον, πρὸς το ποιήσω στίξεις· και μην ποιήσω, οὐδαμῶς ἐκπλαγεῖσα και αἰδεσθεῖσά σε και φροντίσασα. εἰ δὲ το πρῶτον, πρὸς το οὐδέν. και μην οὐδαμῶς ποιήσω ἃ λέγεις, ἐκπλαγεῖσα και αἰδεσθεῖσά σε.

1046. και τοῦτ' ἀληθὲς] διπλῶς, ἢ ὅτι ποιήσεις ἃ ἐγὼ λέγω, ἢ ὅτι ποιήσεις ἃ αὐτὴ βούλει. ἀλλ' οὐδὲ εἰς συμβουλὴν μετὰ ταῦτα καλέσεις με πάλιν· ἢ οὐ μεταβουλεύσῃ πάλιν.

1052. το οὐ και μή ἐκ παραλλήλου. τὸ δὲ μεθέψομαι ἀντὶ τοῦ μεταδιώξω και πρὸς συμβουλὴν παραλήψομαι.

1054. κενὰ] μάταια και ἀδύνατα γενέσθαι. εἰ γάρ τις πρὸς συμβουλήν σε παραλήψεται, οὐδὲν ἀνύει.

1059. οἰωνοὺς] ἤτοι τοὺς πελαργούς. φασὶ τοὺς πελαργοὺς, ἐπειδὰν οἱ τεκόντες αὐτοὺς γηράσωσιν, ὑπέχειν τὰ νῶτα αὐτοῖς και ἀναλαμβάνειν ἐπὶ τῶν ὤμων αὐτοὺς και ἵπτασθαι, και τρέφειν και γηροκομεῖν αὐτοὺς, μέχρις ἂν θάνωσιν, ἀποδιδόντας ἀμοιβὰς τῆς ἀνατροφῆς και τῆς γεννήσεως αὐτοῖς· ὅθεν λέγεται και ἀντιπελάργωσις, ἡ ἀντέκτισις τῆς ἀνατροφῆς.

1062. τελοῦμεν] ποιοῦμεν και αὐτοὶ εἰς τοὺς ἰδίους πατέρας. τοῦτο δὲ λέγει διὰ τὴν Χρυσόθεμιν, ὡς οὐ φροντίζουσαν τοῦ πατρός.

1063. οὐ τὰν Διὸς] οὐ χρὴ τὸ μά ἐντὸς τοῦ κώλου γράφειν. περισσὸν γάρ ἐστι· διὸ και ἐξεβλήθη παρ' ἐμοῦ· νοεῖν δὲ χρὴ τοῦτο ἔξωθεν Ἀττικῶς. οὗτοι γὰρ οὐ μόνον τὸ μά λαμβάνουσιν ἔξωθεν, ὡς τὸ, οὐ τάν, ἀλλὰ και τὸ μά τιθέντες τὸ τοῦ θεοῦ παραλείπουσιν ὄνομα.

1065. οὐκ ἀπόνητοι] ἤγουν ἀτιμώρητοι ἔσονται Κλυταιμνήστρα και Αἴγισθος. ἐσιώπησε δὲ τοῦτο, φοβουμένη διὰ τὸ δεσπότας εἶναι.

κατηγορίᾳ Αἰγίσθου καὶ Κλυταιμνήστρας ὁ παρὰ τῆς φήμης πρὸς Ἀγαμέμνονα λόγος γενήσεσθαι ἔμελλεν.

1071. τὰ δὲ πρὸς τέκνων] δέον οὕτως εἰπεῖν, τὰ παρὰ τῶν τέκνων οὐχ ὁμονοεῖ, ὁ δὲ πρὸς τὴν διάστασιν καὶ μάχην αὐτῶν τὸν λόγον ἔτεινε λέγων, τὰ δὲ παρὰ τῶν τέκνων, Ἠλέκτρας καὶ Χρυσοθέμιδος, διπλῆ φύλοπις καὶ μάχη, οὐκ ἐξισοῦται φιλοτησίῳ καὶ φιλικῇ διαίτῃ καὶ διαγωγῇ, τουτέστιν, ἀλλήλων διϊστάμεναι τὴν γνώμην οὐκ εἰς ὁμόνοιαν πίπτουσι. διπλῆν δὲ λέγει τὴν μάχην, διὰ τὸ καὶ τὰς ἐχούσας δύο εἶναι.

1075. τὸν ἀεὶ πατρὸς] θρῆνον δηλαδὴ ἢ φόνον. τὸ δὲ ἀεί πρὸς τὸ στενάχουσα συναπτέον.

1078. τοῦ θανεῖν] ἀντὶ τοῦ προμήθειαν καὶ φροντίδα οὐκ ἔχουσα, ἤγουν οὐ φροντίζουσα εἰ τεθνήξεται. οἱ δὲ τοῦ μὴ θανεῖν γράφοντες ἀμαθεῖς.

1079. μὴ λάβῃς εἰς τὸ τό ἔξωθεν τὸ εἰς, ἀλλ' ὥσπερ φαμὲν, δυνατός εἰμι τόδε, οὕτω καὶ, ἕτοιμός εἰμι τόδε.

1081. τίς ἂν εὐπατρις] οἱ γράφοντες, τίς ἂν οὖν, οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων· διὸ περισσὸν κείμενον ἐξεβλήθη παρ' ἐμοῦ τὸ οὖν. ἔχει δὲ καὶ πρὸς τὴν σύνταξιν μᾶλλον ὀρθῶς οὑτωσὶ κείμενον.

1085. ὡς καὶ σὺ] ὥστε χρὴ γράφειν, ἀντὶ τοῦ ὥσπερ, ἵν' ἔχῃ τὰ κῶλα ὀρθῶς, ἀλλὰ καὶ πάγκλαυτον. οὕτω γὰρ οἱ Ἀττικοὶ τὰ τοιαῦτα γράφουσιν, ἐκβάλλοντες τὸ σ, ὥσπερ καὶ τὸ εὐκτίμενον παρ' Ὁμήρῳ.

1096. τῶνδε φερομέναν] ἤτοι φερομένην δὲ ἐν τῇ εὐσεβείᾳ τοῦ Διὸς ἄριστα καὶ κρείττονα, λέγω δὴ τὸ κήδεσθαι τοῦ πατρὸς, ἄριστα τῶνδε καὶ τούτων, ἃ μέγιστα νόμιμα ἔβλαστε παρ' ἀνθρώποις. πάντων γὰρ τῶν νομίμων καὶ δικαίων τοῦθ' ἓν κρεῖττον καὶ μέγιστον παρὰ πάντων ἀνακηρύττεται, φροντίδα ποιεῖσθαι πατρὸς, ὃ θεὸς ἀποδέχεται καὶ εὐσεβὲς λογίζεται.

1101. τινὲς ἀμαθεῖς Αἴγισθος γράφουσι πρὸς τὸ ᾤκηκεν, οὐκ εἰδότες ὅτι τοιοῦτόν ἐστιν, ὥσπερ τὸ "Σὺ δ' ἀντακούσῃ τοῦτον ὡς τεθάψεται." (Αἴ. 1141.) καὶ τὸ "Ψύλλαν, ὁπόσους ἄλλοιτο τοὺς αὐτῆς πόδας." καὶ "Οἳ τὸν οὐρανὸν λέγοντες ἀναπείθουσιν, ὡς ἔστιν πνιγεύς." (Ἀριστοφ. Νεφ. 145. 95.) καὶ "Τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου." (Αἴ. 103.)

ἐρωτηματικὸν ἀντὶ τοῦ ἆρα εὕρηται, διὰ τοῦτο καὶ τὸ οὐ οὐ μόνον ἀρνητικόν ἐστιν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἆρα. καὶ τοῦτο μὲν πάντες· σὺ δὲ τὸ οὐ ἀρνητικὸν λέγων, ἐπειδὴ κατ' ἐρώτησιν προάγεις, τὸ αὐτὸ ποιήσεις, ὥσπερ ἂν εἰ ἆρα ἦν. τοῦτο γὰρ κἀντεῦθεν συνάγεται, ὅπερ ἐκ τοῦ ἆρα.

1110. ὅσσα, ὀμφὴ καὶ κληδὼν ἄγγελοι θεῶν, καὶ ἐπὶ τοῦ αὐτοῦ λέγονται, φήμη δὲ ἐπὶ τῆς θείας κληδόνος καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως.

1125. ἀλλ' ἢ] ἤτοι ἢ ἀπὸ τῶν φίλων οἶσά τις αἰτεῖται ταῦτα, ἢ κατὰ γενεὰν πρὸς γένους.

1127. ὡς ἀπ' ἐλπίδων] ὄντως ἀπ' ἐλπίδων εἰσεδεξάμην σε, δηλονότι οὐκ ἐκείνων, ὥνπερ ἐξέπεμπον, ἀλλὰ κακῶν. ἐκεῖναι μὲν γὰρ καλαὶ ἦσαν καὶ σωτηρίαν ἐμοὶ ἔχουσαι· αὗται δὲ, λέγω δὴ ἃς ὁ ἄγγελος ὑπέβαλεν, ὡς μετ' ὀλίγον ἂν σὲ νεκρὸν δεξαίμην, καθάπαξ ἀπώλεσάν με. δέον δὲ εἰπεῖν, αἴσπερ ἐξέπεμπον, πρὸς τὸ ἐλπίδων ἔτρεψεν.

1132. πρὶν ἐς ξένην] πρὸ τοῦ ἐκπέμψαι σὲ εἰς ξένην γῆν, ἤτοι ἀλλοτρίαν, καὶ σῶσαι, ἤτοι φυλάξαι καὶ ῥύσασθαί σε ἀπὸ τοῦ φόνου, ὤφελον θανεῖν. τινὲς δὲ ἀπὸ τοῦ ὅπως θανὼν ἔκεισο ἀπατώμενοι ὤφελες γράφουσι καὶ κλέψασαν, τὸ ἐκλιπεῖν βίον πρὸς τὸν Ὀρέστην νοοῦντες. τὸ δ' οὐ τοιοῦτον, ἀλλὰ λέγει ἡ Ἠλέκτρα, εἴθ' ὤφελον πρόσθεν θανεῖν ἢ εἰς ἀλλοτρίαν ἐκπέμψαι σὲ γῆν. εἰ γὰρ ἐγὼ πρότερον ἐτεθνήκειν, οὐδεὶς ἄν σε τῶν Κλυταιμνήστρας ἐξεῖλε χειρῶν, ὥστε ἀπωλώλεις ἂν ἐξ ἐκείνης τότε, ὥσπερ ὁ πατὴρ, καὶ συνετάφης αὐτῷ.

1142. προσήκεις] ἐνταῦθα ἀντὶ τοῦ προσέρχῃ· ἐπεὶ καὶ τὸ προσήκει ἀντὶ τοῦ πρέπει τοῦτο λέγει, ὡς πρὸς τῷ πράγματι τῷδε ἥκει καὶ ἔρχεται, τουτέστι συμβαίνει καὶ ὁμοῦ γίνεται, ὥστε τὸ συμβαῖνόν τινι πρέπει καὶ ἁρμόζει ἐκείνῳ, καὶ διὰ τοῦτο συμβαίνει.

1144. ἀνωφελήτου] ματαίας. ἐπ' οὐδεμιᾷ γὰρ ὠφελείᾳ ταύτην ἐποίησα, ἤγουν οὐδεμιᾶς ὠφελείας ἀπήλαυσα παρ' αὐτῆς.

1154. τὸ ἧς πρὸς τὸ τιμωρὸς συναπτέον, καὶ μὴ τὴν περὶ λάβῃς ἔξωθεν, ὥς τινες τῶν ἀμαθῶν.

1162. κελεύθου] τινὲς οὐ δυνάμενοι συντάξαι τὴν γενικὴν δεινοτάτας

πας καὶ δούρμους ἐμοὶ διὰ τὸν σὸν προξενήσασα θανατόν. νοεῖ δὲ τὸ πεμφθεὶς διπλοῦν, ἢ ἀπὸ τῆς Φωκίδος πρὸς τὴν οἰκίαν πεμφθεὶς νεκρὸς, ἢ ἀπὸ τῆς οἰκίας πρὸς τὴν Φωκίδα ὑπὸ Ἠλέκτρας πεμφθείς.

1185. τινές φασι τὸ ὡς ἀντὶ τοῦ ὅτι, ἵν' ᾖ πρὸς τὸν ἄνω τῆς Ἠλέκτρας λόγον· ἄλλοι δέ φασι κομματικὸν, τὸ ὡς ἀντὶ τοῦ ὄντως νοοῦντες, ὃ καὶ κρεῖττον.

1209. τὸ σέθεν πρὸς τὸ ὦ τάλαινα, ἔξωθεν λαμβανομένου τοῦ ἕνεκα. τὸ δὲ τῆς σῆς εἰ στερήσομαι ταφῆς, ὥσπερ ἑρμηνεία ἐστὶ τοῦ τάλαιν' ἐγὼ σέθεν.

1217. πλὴν λόγῳ] ὅτι τέθνηκεν ὁ Ὀρέστης οὐ μόνον ἔργῳ, ἀλλὰ καὶ λόγῳ· ἔργῳ μὲν, ὅτι τὸ ἄγγος τὴν αὐτοῦ φέρει κόνιν, λόγῳ δ', ὅτι ἐν Δελφοῖς ἀγωνιζόμενος τέθνηκε. σύντασσε δ' οὕτως· ἀλλ' οὐ τὸ Ὀρέστου σῶμά ἐστι τόδε, ὡς σὺ φῂς, πλὴν εἰ μὴ καὶ ἠσκημένον ἐν λόγῳ, οὐ μόνον ἔργῳ δηλονότι.

1223. σφραγῖδα πατρὸς] τὸν ἐξ ἐλέφαντος ὦμον, ὃν οἱ ἐκ Πέλοπος καταγόμενοι εἶχον. ἕτεροι δέ φασι τὸ σφραγῖδα ἀντὶ τοῦ δακτύλιον.

1230. συμφορὰ οὐ μόνον ἐπὶ δυστυχίας, ἀλλὰ καὶ ἐπὶ συνελεύσεως ἁπλῶς λαμβάνεται, ὡς κἀνταῦθα. ἰστέον δὲ ὅτι, ὅτε τις τῶν αὐτοῦ τινὰ πολὺν χρόνον ἀποδημοῦντα μόλις θεάσαιτο, δακρύοις καὶ χαρᾷ κάτοχος γίνεται· τοῖς μὲν διὰ τὴν πρόσθεν ἀπουσίαν, χαρᾷ δὲ διὰ τὴν παροῦσαν ἀπόλαυσιν.

1233. γοναὶ σωμάτων] τὸ πληθυντικὸν ἐνταῦθα ἀντὶ ἑνικοῦ κεῖται. ὑφ' ἡδονῆς γὰρ ἡ Ἠλέκτρα διαχυθεῖσα τὸν ἕνα Ὀρέστην ἀντὶ πολλῶν ἐνόμισεν.

1240. τὸ τόδε πρὸς τὸ περισσὸν ὂν ἄχθος σύναπτε· ἢ πρὸς τὸ τρέσαι ὑποστίξας λέγε οὕτως, οὔποτ' ἀξιώσω τρέσαι τόδε, τὸ περισσὸν ἄχθος γυναικῶν, τὸ ὂν ἀεὶ ἔνδον, ὃ οὐκ ἄν τις ἐκτὸς ἴδοι. εἰώθαμεν δὲ τοὺς ἀργοὺς καὶ μὴ ἐπί τι χρησίμους ἄχθος καλεῖν γῆς.

1255. οὐ γράφειν τάδε δίκαια χρὴ, ἀλλὰ δίκᾳ· οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ. εὕρηται δὲ καὶ ἔν τινι τῶν παλαιῶν βιβλίων οὕτω. καὶ ὀφείλεις συντάττειν οὕτως· οὐχ ὅταν ἡ παρουσία ἐπιτρέπῃ, τότε χρὴ τούτων μεμνῆσθαι, ὡς σὺ φῂς, ἀλλ' ὁ παρὼν χρόνος πᾶς ἁρμόζοι ἂν ἐμοὶ ἐννέπειν καὶ λέγειν τάδε ἐν δίκῃ. τουτέστι, δίκαιόν ἐστιν οὐ μόνον μεμνῆσθαι τῶνδε, ὅταν ἐπιστῇ καιρὸς τούτων, ἀλλὰ καὶ λέγειν

γαροῦν σώζου διὰ μέσου. ἢ στίξεις μὲν πρὸς τὸ σύμφημι κἀγώ· τὸ λοιπὸν δ' οὕτως εἴποις, τοιγαροῦν σώζου τόδε τὸ ἐλεύθερον στόμα, καὶ μὴ ταῖς βοαῖς ἀπολίπῃς, εἴ τις ἔνδοθεν αἴσθοιτο.

1260. δέον οὕτως εἰπεῖν, τίς δῆτ' οὖν μεταβάλλοι τοὺς ἐμοὺς λόγους εἰς σιγὴν ἀξίως; ἐπειδὴ ἡ μεταβολὴ τῶν λόγων σιγὴ ἦν, σιγὴν εἶπεν, πρὸς ὃ καὶ τὸ ἀξίαν ἐπήνεγκε. χρὴ δὲ γράφειν ταῦτα τὰ κῶλα οὕτως

τίς δῆτ' οὖν ἀξίαν,
καὶ σοῦ φανέντος νῦν.

οὕτω γὰρ οἰκείως ἔχει πρὸς τὰ τῆς στροφῆς. οἱ δ' ἄλλως γράφοντες οὐ καλῶς γράφουσι. τὸ δὲ δῆτ' οὖν ἐκ παραλλήλου.

1265. ἡ παροῦσα ἀντιστροφὴ ἐλλιπὴς ἦν πρὸς τὴν αὐτῆς στροφήν· διὸ τὸ πρῶτον ἐκείνης κῶλον ὀτοττοτοῖ προσετέθη παρ' ἐμοῦ κἀνταῦθα. εὕρηται γὰρ πολλὰ τοιαῦτα.

1267. περισσὸν ἦν ἐνταῦθα τὸ ἐπῶρσεν, διὰ τοῦτο ἐξεβλήθη παρ' ἐμοῦ, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς. χρὴ δὲ λαμβάνειν ἄνωθεν τὸ ὦτρυνε μολεῖν, εἰς τὰ ἡμέτερα μέλαθρα δηλονότι.

1271. διότι μὲν μόλις τῶν πάλαι δακρύων ἀπήλλαξαι καὶ εἰς χαρὰν ὥρμησας δι' ἐμέ, οὐ θέλω παῦσαί σε τούτου· διότι δὲ ὑπόνοιαν δίδως προδώσειν ἡμᾶς τοῖς ἔνδον, μὴ δυναμένη σαυτὴν ὑπὸ τῆς τοιαύτης χαρᾶς κατέχειν, φοβοῦμαί σε.

1274. δέον ἐλθεῖν εἰπεῖν, φανῆναι εἶπε. τοῦτο γὰρ ἦν τὸ τὴν ἡδονὴν ποιῆσαν, τέλος ὂν τῆς πορείας.

1277. τῶν σῶν προσώπων] τοῦτο ἢ πρὸς τὸ ἀποστερήσῃς συναπτέον, ἢ πρὸς τὸ ἡδονήν, οὕτω· μὴ ἀποστερήσῃς ἐμὲ μεθέσθαι ἡδονὴν τῶν σῶν προσώπων. τουτέστι, μὴ ἀφαιρήσῃς ἐμὲ τὴν διὰ τῆς σῆς παρουσίας ἡδονήν.

1278. ἢ κάρτα] ἤγουν οὐ μόνον ἐγὼ τοῦτο οὐ ποιήσω, ἀλλὰ καὶ ἄλλῳ βουληθέντι ποιεῖν ὀργισθήσομαι.

1284. οὐδὲ σὺν βοᾷ] ἤγουν σὺν ὀδυρμοῖς καὶ δάκρυσιν ἀκούουσα τὴν περὶ τοῦ θανάτου φημην, τουτέστι βουλομένη κλαίειν πρὸς τοὺς τοῦ ἀγγέλου λόγους, οὐκ ἠδυνάμην ὑπὸ Κλυταιμνήστρας κατεχομένη.

1295. τῇ νῦν ὁδῷ] τοῦτο ἢ πρὸς τὸ γελῶντας συνάψεις οὕτω· γελῶντας τῇ νῦν ὁδῷ, ἤτοι ἐπεγγελῶντας τῷ συμβάντι δῆθεν ἐμοὶ θα-

λον, καὶ τοὔμον τῇδε, ὧδε καὶ οὕτως ἔσται. καὶ πάλιν· ὧδε καὶ οὕτως ἔσται καὶ τὸ ἐμὸν τῇδε προσφιλὲς, ὥσπερ ὑπάρχει σοὶ φίλον. ἐμὸν οὖν τῇδε ἀντὶ τοῦ ἐμοὶ αὐτῇ. ἀντὶ γὰρ τοῦ εἰπεῖν ἐμοί ἐμέ εἶπε πρὸς τὸ φίλον. ἕτεροι δὲ παρανοοῦντες τῇδε ἀντὶ τοῦ οὕτως φασὶν, ὥσπερ καὶ τὸ ὧδε, ἄμφω ἐκ παραλλήλου λέγοντες.

1312. οὔποτ' ἐκλήξω] τοῦτο διπλῶς νοεῖται. ἢ οὔποτε παύσομαι τοῦ χαίρειν, κἂν εἰς δάκρυα ἔλθω· ἢ, ὃ καὶ κρεῖττον, ἐπειδὴ σὺ κελεύεις φαίνειν με σημεῖα χαρᾶς τῇ μητρὶ, οὐ παύσομαι τοῦ χαίρειν δακρύουσα, ὡς διὰ σὲ δῆθεν ὀφθήσομαι αὐτὴ καθ' ἑαυτὴν χαίρουσα.

1322. καλῶς τὸ ἐπῄνεσα, καὶ οὐκ ἐπαινῶ. ἡνίκα γὰρ ἐβουλήθη τοῦτο, τότ' ἐπῄνεσεν, εἶτ' ἐξεῖπεν. ἢ τὸ ἐπῄνεσα διὰ τοῦτο εἶπε παρῳχημένως, ἐπειδὴ καὶ πρώην αὐτῇ εἶπε (1238.) "σιγᾶν ἄμεινον."

1344. ὡς δὲ νῦν ἔχει] ἤγουν καθὰ νῦν διάκειται, τὰ ἐκείνων πάντα καλῶς ἔχει, καὶ τὰ μὴ καλῶς· ἤτοι καὶ ἃ σκευωροῦνται κατ' αὐτῶν, ἔτι καλῶς ἔχει αὐτοῖς, μήπω πέρας εἰληφότα. καὶ ἄλλως. καὶ κατὰ τἄλλα εὐτυχοῦσι, καὶ ὅτι μήπω δίκην δεδώκασιν. εἰ γὰρ καὶ μέλλουσι δώσειν, (τοῦτο γάρ ἐστι τὸ τὰ μὴ καλῶς) ἀλλ' ὅτι μὴ ταχέως τοῦτο γίνεται, εὐτυχοῦσι. τοῦτο δέ φησιν ὁ γέρων παροξύνων αὐτοὺς πρὸς τὸ ἔργον.

1358. ποδῶν ὑπηρέτημα] διὰ γὰρ τούτων τὰ πρὸς σωτηρίαν ἡμῖν ὑπηρέτησας, πάλαι μὲν ἐκ μέσου θανάτου λαβὼν Ὀρέστην καὶ ἀγαγὼν ἑτέρωσε, νῦν δὲ μετ' αὐτοῦ ἀφιγμένος εἰς τιμωρίαν τῶν ἐχθρῶν.

1363. ἐπὶ τοῦ ἤχθηρα κἀφίλησα λέγεται τὸ μάλιστ' ἀνθρώπων, ἤτοι μάλιστ' ἀνθρώπων ἤχθηρά σε, καὶ μάλιστ' ἀνθρώπων ἐφίλησά σ' ἐν μιᾷ ἡμέρᾳ.

1365. πολλαὶ κυκλοῦνται] εἰκότως εἶπε τὸ κυκλοῦνται, ἐπεὶ καὶ αἱ ἡμέραι καὶ αἱ νύκτες τῇ εἰς τὸ αὐτὸ περιστροφῇ τοῦ ἡλίου καθίστανται.

1370. ἀποροῦσι πῶς εἶπε τὸ τούτοις. οὐ γάρ τις ἀνδρῶν ἦν ἔνδον, ὡς καὶ αὐτὸς λέγει, ἀλλὰ γυναῖκες. καὶ φαμὲν ὅτι ἁπλῶς τοῦτ' εἶπεν, ἢ ὅτι, ἂν μὴ τὸ ἔργον ἐτάχυνον, ἐλθεῖν ἔμελλεν Αἴγισθος, καὶ οὐ μόνον τοῖς περὶ ἐκεῖνον ἐμαχέσαντο ἄν, ἀλλὰ καὶ βοῆς πρὸς τὸ πλῆθος γενομένης οὐκ ὀλίγοι κἀκεῖθεν ἀπήντησαν.

1378. εἰκότως εἶπε τὸ προὔστην. οἱ γὰρ θύοντες καὶ ἱκετεύοντες

γον, ἢ διότι μετὰ δόλου εἰσήρχετο· λέγεται δὲ καὶ ὁ Ἑρμῆς δόλιος· ἢ διὰ τὰς ἀρὰς τοῦ Μυρτίλου, ἃς ἠράσατο εἰς τὸ τοῦ Πέλοπος γένος. ἦν δ' ὁ Μυρτίλος παῖς Ἑρμοῦ. λέγεται δὲ οὕτως· ὁ υἱὸς τῆς Μαίας Ἑρμῆς ἄγει σφε καὶ αὐτὸν δόλον, τουτέστι δολίως πρὸς τὸ ἔργον κινεῖ, κρύψας αὐτὸν ἐν σκότῳ πρὸς τὸ τέρμα, ἤγουν μέχρις ἂν ἐργάσηται ὃ σπεύδει, οὐδεὶς αὐτὸν ἐπιγνώσεται. τὸ δὲ κοὐκ ἔτ' ἀμμένει πρὸς τὸ ἄγει τὴν δύναμιν ἔχει, οὕτως· ἄγει καὶ οὐκ ἔτι ἀναμένει καὶ ἀναβάλλεται. οἱ δὲ γράφοντες ἐπάγει διὰ τὸ μὴ δύνασθαι τοῦτο νοεῖν γράφουσι.

1403. Αἴγισθος αὐτὸς μὴ λάθῃ μολὼν ἔσω] οὕτως ὀφείλει ὁ παρὼν στίχος γράφεσθαι, ἵν' ᾖ ἴαμβος τρίμετρος ἀκατάληκτος. ἐλλιπὴς γὰρ ἦν· διὸ καὶ τὸ αὐτός προσετέθη παρ' ἐμοῦ, καὶ οἶμαι ὡς καλῶς προσετέθη, ὡς καὶ ἐν ἄλλοις πολλοῖς ἕτερα.

1407. ἀνήκουστα] ἤτοι ἃ οὐ δύναταί τις ἀκούειν. πᾶσι γὰρ αἱ τῶν φονευομένων βοαὶ, κἂν ἐχθροὶ ὦσι, δέος καὶ ὑποστολὴν ἀκουόμεναι φέρουσι.

1417. ἀραὶ] ἤτοι ἃς Ἀγαμέμνων ἐκπνέων ἠράσατο, ὥστε τούτων ἐνεργουσῶν δοκεῖ ζῆν ὁ ταύτας ποιήσας.

1423. θυηλῆς Ἄρεος] ἤγουν θυσίας, ἤτοι αἵματος, ὃ θυσίᾳ δέχεται Ἄρης. φιλαίματος γὰρ καλεῖται.

1434. εἰκότως πρὸς μὲν τὸ τὰ πρίν τὸ εὖ θέμενοι εἶπε· πρὸς δὲ τὸ τάδε ὡς πάλιν ἀπεσιώπησεν. ἐκεῖ μὲν γὰρ ᾔδει τὸ συμβὰν, ἐνταῦθα δὲ ἄδηλον ἦν τὸ μέλλον, εἶτ' Αἴγισθος, εἶθ' οὗτοι ὑπερισχύσουσι καὶ καταβαλοῦσιν ἐκεῖνον.

1438. ἤπιον χρὴ γράφειν ἐνταῦθα, ἀντὶ τοῦ ἠπίως καὶ πράως, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς.

1445. σὲ κρίνω] ἤγουν διακρίνω εἰδέναι, νοουμένου τούτου ἀπὸ τοῦ ὄπισθεν, τοῦ τίς οἶδεν.

1451. προξένου κατήνυσαν] ἤτοι ἐπέτυχον. ὁ γὰρ ἀνύων τι ἐπιτυγχάνει τούτου αὐτῷ τῷ ἀνύσαι. ἔστιν οὖν ἡ τοιαύτη γενικὴ πρὸς τὸ τοῦ ἀνύσαι σημαινόμενον. ἢ κατ' ἐκείνης ἤνυσαν ὃ ἐβούλοντο, ἵνα τῷ μὲν Αἰγίσθῳ νοῆται ὅτι ἐπάνω ἐκείνης, ἤγουν εἰς αὐτὴν, τὴν τοῦ Ὀρέστου ἀγγελίαν ἐπλήρωσαν· τὸ δ' ἀληθὲς, ὅτι κατ' ἐκείνης τὸν φόνον εἰργάσαντο.

εἶπας, οὕτω· ὄντως εἶπας χαίρειν ἐμὲ πολλά. τουτέστιν, ἐξ ὧν εἶπας, πολλῆς ἐπεπλήσμην χαρᾶς. τὸ δὲ οὐκ εἰωθότως πρὸς τὸ εἶπας, ἀντὶ τοῦ, οὐκ ἦν σοι ἔθος λόγους ἐμοὶ προφέρειν. ἢ τὸ πολλά πρὸς τὸ εἶπας, ἵν' ᾖ τὸ χαίρειν διὰ μέσου.

1457. χαρτὰ τυγχάνει] τὸ μὲν φαινόμενον τὰ κατὰ τὸν Ὀρέστην, τὸ δ' ἀληθὲς τὰ κατὰ τὴν Κλυταιμνήστραν.

1459. Μυκηναίοισιν Ἀργείοις θ'] Μυκῆναι, πόλις Ἄργους. λέγει οὖν οὐ μόνον τοὺς ἐν ταύταις συγκαλεῖν, ἀλλὰ καὶ τοὺς ἐκ παντὸς Ἄργους.

1477. οὐ γὰρ αἰσθάνῃ] αὕτη ἡ κατασκευή ἐστι πρὸς τὸν λόγον τὸν ὄπισθεν, τίνα φοβῇ, τίν' ἀγνοεῖς, ὡς τινές φασιν. ἐγὼ δὲ πρὸς τὸν Αἰγίσθου λόγον αὐτὴν εἶναι λέγω, καὶ ἀληθῆ λέγω. τὸ δὲ πάλαι πρὸς τὸ ἀνταυδᾷς συναπτέον.

1481. μάντις ὢν] τινές φασι διὰ τὸ εἶναι τὸν Αἴγισθον μάντιν, διὰ τοῦτο τὸν Ὀρέστην τοῦτο πρὸς αὐτὸν λέγειν ἕτεροι δὲ τοῦτο μὲν οὐ λέγουσιν, εἰπεῖν δὲ τοῦτο διὰ τὸ πάλαι τὸν Αἴγισθον τὸν καθ' αὑτοῦ ὑποπτεύειν θάνατον. ἐγὼ δὲ καὶ τοῖς πρώτοις τίθεμαι, συμμαρτυροῦν ἔχων τὸ πάλαι, ὃ πρὸς τὸ ὢν συνάπτεται.

1485. τί γὰρ βροτῶν ἂν] ὁ μέλλων γὰρ τῶν βροτῶν θνήσκειν, ὥσπερ οὗτος, τὸ κέρδος φέρει τοῦ χρόνου μεμιγμένον σὺν τοῖς κακοῖς. τουτέστιν, ὅστις μέλλει τεθνήξεσθαι, εἰ νῦν δέοι θνήσκειν, ὁ δὲ παραπετάσει τὸν χρόνον, καὶ μετ' ὀλίγον τοῦτο πείσεται, οὐδὲν παρὰ τοῦ χρόνου ἐκέρδανεν· ἀλλ' ὃ κέρδος δοκεῖ ἔχειν, ἡ μέλλουσ' αὐτὸν καταλήψεσθαι τύχη ἀμβλύνει καὶ ἀμαυροῖ, ἐλπίδα κακὴν ὑποτείνουσα. μὴ λάβῃς δὲ εἰς τὸ χρόνου ἔξωθεν τὸ ἕνεκα, ἀλλὰ χωρὶς τούτου λέγε· τὸ γὰρ κέρδος τοῦ χρόνου ἦν, διὰ τὸ τοῦτον αἴτιον αὐτοῦ εἶναι.

1491. χωροῖς ἄν] εἰώθασιν οἱ Ἀττικοὶ ἔσθ' ὅτε τὰ προστακτικὰ εὐκτικῶς ἐκφέρειν.

1498. καὶ μέλλοντα] τοῦτο λέγει ὥσπερ προμαντευόμενος, ἵν' ἀπολυθῇ, ἐκφοβῶν αὐτοὺς διὰ τούτου.

1510. τῇ νῦν ὁρμῇ] ἤγουν ἣν ὑπὲρ τοῦ πατρὸς ὥρμησας νῦν κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου. τελειωθὲν δέ, ἀντὶ τοῦ ἀποκατάστὰν εἰς τὴν ἐκ προγόνων σοὶ προσήκουσαν εὐδαιμονίαν.

LECTIONES

EDITIONIS TURNEBIANÆ

IN

SCHOLIIS DEMETRII TRICLINII.

ADRIANI Turnebi scholiorum editio incipit ab excerptis quibusdam ex Hephæstione (Ἐκ τοῦ ἐγχειριδίου Ἡφαιστίωνος ἐπιτομὴ τῶν ἐννέα μέτρων), iisdem quæ Aldus Manutius Aristophani præfixit. His nonnulla addita sunt "Δημητρίου τοῦ Τρικλινίου," in quibus pervulgatum veterum metricorum præceptum tractatur ὅτι πάντα τὰ μέτρα πλὴν τοῦ δακτυλικοῦ κατὰ διποδίαν μετρεῖται. Hæc quoque Aldus apposuit: cujus editionis et codicum quorundam auctoritate ego Prolegomenis de comœdia adjunxi, quæ scholiis in Aristophanem sunt præfixa vol. I. p. 42.

Annotationes Triclinii in editione Turnebi sunt tripertitæ, περὶ μέτρων οἷς ἐχρήσατο Σοφοκλῆς, περὶ σχημάτων, σχόλια quibus verba sententiæque poetæ explicantur. Scholiorum metricorum specimen infra posui ad Ajacis v. 1–339., quæ prima est secundum vulgarem ordinem, quem sequitur Triclinius, fabula, quam excipiunt Electra, Œdipus Rex, Antigone, Œdipus Coloneus, Tracliniæ, Philoctetes.

Aj. 1. Ἡ εἴσθεσις τοῦ δράματος ἐκ συστηματικῶν ἐστι περιόδων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ργ'· ὧν τελευταῖος Θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς. ἐξῆς ἡ κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν.

134. τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται συστηματικὰ ἐξ ὁμοίων. σύστημα δέ ἐστιν, ὡς Ἡφαιστίων φησὶ, μέτρων συνα-

καταμετρεῖται, ἄνευ ἀριθμοῦ τινος ὡρισμένου. τὸ παρὸν δὲ μέτρον ἀναπαιστικόν ἐστι, Λακωνικὸν καλούμενον, διὰ τὸ τὸν Λάκωνα Ἀλκμᾶνα πολλῷ τούτῳ χρήσασθαι. εἰσὶ δὲ τὰ μὲν δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων δίμετρα καταληκτικά, ἤτοι ἐφθημιμερῆ, ὃ μέτρον καλεῖται παροιμιακόν, διὰ τὸ πολλὰς παροιμίας τούτῳ τῷ μέτρῳ γεγράφθαι. τὸ μέντοι δωδέκατον κῶλον μονόμετρόν ἐστιν ἀκατάληκτον, ὃ καὶ ἀναπαιστικὴ ὀνομάζεται βάσις. τὰ δὲ πάντα κῶλα τοῦ συστήματος εἰσὶ λή, ὧν τελευταῖον, Σιγῇ πτήξειαν ἄφωνοι. ἡ παράγραφος ἐν ταῖς ἀποθέσεσι.

172. τὰ τοιαῦτα εἴδη τῶν χορῶν ἐστιν ἐπῳδικά. ἐπῳδικὰ δὲ καλεῖται, ὡς Ἡφαιστίων φησὶν, ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται δηλονότι. ἐπ' ἔλαττον μέντοι τοῦ τῶν τριῶν ἀριθμοῦ, ἤτοι στροφῆς καὶ ἀντιστροφῆς καὶ ἐπῳδοῦ, οὐκ ἂν γένοιτο τὸ τοιοῦτον· ἐπὶ πλεῖον δὲ οὐδὲν αὐτὸ κωλύει ἐκτείνεσθαι. γίνεται δὲ ὥσπερ τριὰς ἐπῳδικὴ, οὕτω καὶ τετρὰς καὶ πεντὰς καὶ ἐπὶ πλέον, ὡς τὰ πλεῖστα Πινδάρου καὶ Σιμωνίδου πεποίηται. τῆς παρούσης δὲ στροφῆς τὰ κῶλά εἰσιν ια', καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α' δακτυλικὸν τετράμετρον· κατὰ μονοποδίαν γὰρ μετρεῖται τὰ δακτυλικά. τὸ β' δακτυλικὸν πενθημιμερές· τὸ γ' τροχαϊκὸν ἐφθημιμερές· τὸ δ' ἀσυνάρτητον ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου καὶ ἀναπαιστικοῦ πενθημιμεροῦς· τὸ ε' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον· τὸ ς' ὅμοιον τῷ β'· τὸ ζ' ἀσυνάρτητον ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν, ὃ καλεῖται ἰαμβέλεγος· τὸ η' ὅμοιον, ἤτοι ἰαμβέλεγος· τὸ θ' ἰαμβικὸν μονόμετρον ἀκατάληκτον· τὸ ι' προσοδιακὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ καὶ χοριάμβου καὶ τροχαϊκῆς κατακλεῖδος· καλεῖται δὲ οὕτως, ὅτι ἐν ταῖς ἑορταῖς, ἐν αἷς πρόσοδοι ἐγένοντο, τοιούτοις μέτροις ἐχρῶντο· τὸ ια' ἰαμβικὸν πενθημιμερὲς, τοῦ δευτέρου ποδὸς ἀναπαίστου. εἶτα παράγραφος.

183. ἀντιστροφὴ κώλων ια'.

194. τοῦτο καλεῖται ἐπῳδὸς, διὰ τὸ ἐπᾴδεσθαι τῇ στροφῇ καὶ ἀντιστροφῇ, ἤγουν μετὰ τὴν στροφὴν ᾄδεσθαι. ἰστέον δὲ ὅτι τὴν μὲν στροφὴν κινούμενοι οἱ χορευταὶ πρὸς τὰ δεξιὰ ᾖδον, τὴν δὲ ἀντιστροφὴν πρὸς τὰ ἀριστερά· τὴν δὲ ἐπῳδὸν ἱστάμενοι ᾖδον. ἐδήλου δὲ,

μένων τῶν χορευτῶν ᾀδομένη. ἔστι δὲ τῆς παρούσης ἐπῳδοῦ τὰ κῶλα ζ'· τὸ α' ἀσυνάρτητον ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου· καλεῖται δὲ τοῦτο διπενθημιμερές· ἀλλ' ἐνταῦθα ἐλλείπει τὸ ἰαμβικὸν μιᾷ συλλαβῇ· τὸ β' ὅμοιον· τὸ γ' τροχαϊκὸν δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερὲς, τοῦ γ' ποδὸς δακτύλου· τὸ δ', τὸ ε' καὶ τὸ ς' ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· τὸ ζ' ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον καταληκτικόν, τοῦ β' ποδὸς παίωνος δευτέρου, τοῦ δὲ τρίτου ἰωνικοῦ καταληκτικοῦ. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

201. τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι καλοῦνται ἀνομοιόστροφα· ἀνομοιόστροφα δ' ἐστὶ, καθὰ Ἡφαιστίων φησὶν, ὅσα πάντως διαιρεῖται, ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν, ἢ κατὰ ἐφύμνιον, ἢ κατὰ ἐπῳδὸν, ἢ κατ' ἄλλο ἀναφώνημα. διαιρεῖται δὲ ἤτοι εἰς δύο, ἢ εἰς πλείω. ἐὰν μὲν οὖν εἰς δύο διαιρεθῇ, καλεῖται ἑτερόστροφον· ἐὰν δὲ εἰς πλείω, ἀλλοιόστροφον. εἰσὶ δὲ τὰ παρόντα ἑτερόστροφα καὶ συστηματικά. τοῦ πρώτου τοῦδε συστήματος τὰ κῶλα ζ'. τὸ α', τὸ β' καὶ τὸ γ' ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· τὸ δ' δακτυλικὸν τετράμετρον, ἤτοι δίμοιρον ἔπους· τὰ γὰρ δ' τῶν ἓξ δίμοιρον· τὸ ε' ἀσυνάρτητον ἐκ δακτυλικῆς καὶ ἀναπαιστικῆς βάσεως· τὸ ς' ἀναπαιστικὸν μονόμετρον· τὸ ζ' ἀναπαιστικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος.

214. ἕτερον σύστημα κατὰ περικοπὴν κώλων ζ', ὧν τὰ γ' ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· τὸ δ' ἀσυνάρτητον ἐκ δακτυλικῆς καὶ ἀναπαιστικῆς βάσεως· τὸ ε' ὅμοιον τοῖς πρώτοις· τὸ ς' ὅμοιον τῷ δ'· τὸ ζ' ἀναπαιστικὸν ἐφθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος. τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν. κατὰ σχέσιν δέ ἐστιν, ὡς Ἡφαιστίων φησὶν, οἷς ἀνταποδίδοται καὶ ἀνακυκλεῖται ἕτερα παρόμοια. εἰσὶ δὲ τὰ κῶλα τῆς παρούσης στροφῆς ιβ', καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α' ἀσυνάρτητον ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς βάσεως, ὃ καλεῖται περίοδος. δύο γὰρ ἴαμβοι καὶ δύο τροχαῖοι περίοδος καλεῖται, ὅτι οὐκ ἔστι μέτρου τι εἶδος, ἀλλ' ἁπλῶς περίοδος καλεῖται τὸ ὑπεράνω τῶν τεσσάρων συλλαβῶν σύστημα. τὸ β'

χαίου· τὸ ἡ ἰαμβικὸν πενθημιμερές· τὸ θ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς, ὃ καλεῖται Φερεκράτειον ἀπὸ Φερεκράτους τοῦ ἐφευρόντος αὐτό· τὸ ί ὅμοιον τῷ ἡ· τὸ ια ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Γλυκώνειον ἀπὸ Γλύκωνος τοῦ ἐφευρόντος αὐτό· τὸ ιβ τροχαϊκὸν ἑφθημιμερὲς, τὸν γ ἔχον πόδα δάκτυλον. εἶτα παράγραφος καὶ διπλαῖ, διὰ τὸ εἶναι τῶν ἀνταποδιδομένων.

233. σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, κώλων ἀναπαιστικῶν ιβ, ὧν τὸ ἡ μονόμετρον· τὸ ιβ ἑφθημιμερές· τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. ἐπὶ τῷ τέλει παράγραφος.

245. τοῦτο ἀντιστροφή ἐστι τῆς ἄνω ῥηθείσης στροφῆς, ἧς ἡ ἀρχὴ, Οἵαν ἐδήλωσας. ἔστι δὲ κώλων ιβ, ὁμοίων κατὰ πάντα ἐκείνῃ. ἐπὶ δὲ τῷ τέλει οὐ τὰ αὐτὰ κεῖται σημεῖα, ἀλλὰ μόναι δύο διπλαῖ. ἐν μὲν γὰρ ταῖς στροφαῖς τῶν ἀλλοιοστρόφων τούτων συστημάτων, τῶν κατὰ περικοπὴν ἐχόντων συστήματα ἀνομοιομερῆ, ἐπὶ τοῦ τελευταίου κώλου κατὰ μὲν τὴν ἀρχὴν διπλῆ τίθεται ἔξω νενευκυῖα, ἐπὶ δὲ τῷ τέλει παράγραφος καὶ ἔσω νενευκυῖα διπλῆ, δηλοῦσαι ὅτι τῶν ἀνταποδιδομένων εἰσὶν αἱ τοιαῦται στροφαί· ἐν δὲ ταῖς ἀντιστροφαῖς ἐπὶ τῷ τέλει τοῦ τελευταίου κώλου μόνη παράγραφος. ἐπὶ μέντοι τῆς τελευταίας ἀντιστροφῆς, ἐπὶ τοῦ τελευταίου κώλου, δύο μόναι τίθενται διπλαῖ, κατά τε τὴν ἀρχὴν τοῦ κώλου καὶ κατὰ τὸ τέλος, ἀμφότεραι δὲ ἔξω νενευκυῖαι, δηλοῦσαι ὅτι τέλος ἔσχε τὰ ἀνταποδιδόμενα. τί δέ ἐστι παράγραφος καὶ τί διπλῆ καὶ τί κορωνὶς θεωρείσθω ἐν τούτοις[a],

— < > ⊃

[a] In signis his diacriticis, quæ in codicibus Triclinianis Turnebique editione appicta videre licet, Triclinius sequitur doctrinam Hephæstionis, qui de his σημείοις copiose dixit Enchiridii sui c. 15. p. 133. ed. Gaisf. Asteriscum ⁂ recte hic omisit Triclinius, memor, ut videtur, observationis ab Hephæstione factæ p. 134. τούτοις τοῖς σημείοις τοῖς προειρημένοις, πλὴν τοῦ ἀστερίσκου, καὶ ἑτέροις τισὶ, περὶ ὧν λέξομεν, ἐν τοῖς δράμασι χρώμεθα, cujus immemor fuit quum ad parodum Antigonæ annotaret, ἐπὶ τῷ τέλει (v. 162.) ἀστερίσκος δηλῶν ὡς τὸ ᾆσμα τετέλεσται, superiora verba secutus Hephæstionis, qui p. 133. de lyricis poetis agens, ἐπὶ μέντοι, inquit, τῷ τέλει (carminum κατὰ

263. *στίχοι εἰσὶν ἐντεῦθεν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πβ', ὧν τελευταῖος, Τὰ τοῦδε πράγη καὐτὸς ὡς ἔχων κυρεῖ. περὶ τὸ τέλος δὲ τούτων κατὰ εἰσβολὴν κόμματα τρία, ἃ καὶ δοκεῖ μοι ἀντισπαστικὰ εἶναι μονόμετρα ἀκατάληκτα, ὧν τὸ μὲν α' καὶ τὸ β', Ἰώ μοί μοι· τὸ δὲ γ', Ἰὼ παῖ παῖ· ἐν δὲ τῷ τέλει πάντων συνήθως ἡ κορωνὶς τίθεται.*

348. *ἰώ μοι φίλοι*] *τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται· εἰσὶ δὲ καὶ κατὰ σχέσιν. ἔστι γοῦν ἡ παροῦσα στροφὴ κώλων ἀντισπαστικῶν ς', ὧν τὰ ε' δίμετρα ἀκατάληκτα Γλυκώνεια, τὸ δὲ ς' δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς, ὃ καλεῖται Φερεκράτειον. σύγκειται δὲ ἐξ ἀντισπάστων, διϊάμβων καὶ διτροχαίων καὶ ἐπιτρίτων καὶ χοριάμβων· ἔχει δὲ ἀντιστροφὴν τὸ, Ἰώ μοι γένος ναΐας. ἐπὶ τῷ τέλει συνήθως παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.*

Hæc etsi maximam partem in metris vulgaribus versantur, tamen non libera sunt gravibus erroribus, cujusmodi est quod versus 196—200. in libris male descriptos,

ἅταν οὐρανίαν φλέγων,
ἐχθρῶν δ' ὕβρις ὦδ' ἀτάρβητα
ὁρμᾶται ἐν εὐανέμοις βάσσαις,
πάντων καγχαζόντων γλώσσαις
βαρυάλγητ'· ἐμοὶ δ' ἄχος ἔστακε.

ita metitur ut primus sit trochaicus dimeter catalecticus cum spondeo in prima, dactylo in secunda sede, tres proximi anapæstici sint dimetri acatalecti, quintus ionicus a minore trimeter catalecticus, cujus in sede secunda pæonem secundum, in tertia molossum (pro catalexi ionica ⏑⏑–) admissum esse

περικοπὴν scriptorum, id est ex stropha, antistropha et epodo compositorum) *ὁ ἀστερίσκος τίθεται, γνώρισμα τοῦ τετελέσθαι τὸ ᾆσμα, ἐπεὶ ἡ κορωνὶς ἐπὶ πασῶν τίθεται τῶν ἐπῳδῶν.* In aliis omnibus locis *ἐπὶ τῷ τέλει τοῦ ᾄσματος* coronidem ponit. Omitto alia quæ de his signis dici possent, quibus veteres opus habuerunt ad distinguendas canticorum partes, nos facile caremus, ex quo carmina melica in editionibus ita exhibentur ut singularum partium initium, finis et responsio legentibus sponte in oculos incurrat.

venustissimo v. 1115—1152., cujus metra ego explicui in Annotationibus ad Sophoclem p. 227. et in libro de metris tragicorum p. 114. de quo carmine hæc sunt commenta Triclinii,

1115. πολυώνυμε] τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὰ παρόντα στροφῶν δύο. τῆς πρώτης στροφῆς τὰ κῶλα ιβ', καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· τὸ β' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ γ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ δευτέρου ποδὸς ἀναπαίστου· (εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ μείζονος, ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ καὶ δακτύλου· ἐν δὲ τῷ τῆς ἀντιστροφῆς μολοσσὸν ἔχει τὸν τελευταῖον) τὸ δ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον καθαρόν· τὸ ε' χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ διϊάμβου· (τοῦτο εἴη ἂν καὶ τροχαϊκὸν ἐφθημιμερὲς Εὐριπίδειον, τοῦ πρώτου ποδὸς δακτύλου) τὸ ς' περίοδος καταληκτική· (δύο γάρ εἰσιν ἴαμβοι καὶ δύο τροχαῖοι καταληκτικοί, ἤτοι ἐλλιπεῖς μιᾷ συλλαβῇ) τὸ ζ' δακτυλικὸν πενθημιμερὲς ἐκ σπονδείων· τὸ η' δακτυλικὸν δίμετρον ἐκ σπονδείων· τὸ θ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ δισπονδείου· (τὸ δὲ τῆς ἀντιστροφῆς κῶλον διτρόχαιον ἔχει ἀντὶ τοῦ χοριάμβου) τὸ ι ἀναπαιστικὸν πενθημιμερές· (ἀλλ' ἐν τῷ πρώτῳ κώλῳ σπονδεῖον ἔχει τὸν δεύτερον πόδα· ἐν δὲ τῷ τῆς ἀντιστροφῆς καθαρόν ἐστι) τὸ ια' ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου πρώτου καὶ ἰάμβου· (τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον δισπόνδειον ἔχει ἀντὶ τοῦ ἐπιτρίτου) τὸ ιβ' ἰαμβικὸν ἐφθημιμερὲς καθαρόν. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος μόνη.

1137. τὰν ἐξ ἁπασᾶν] ἡ δευτέρα αὕτη στροφὴ κώλων ἐστὶν θ', καὶ ἡ ἀντιστροφὴ τοσούτων. τὸ α' ἰαμβικὸν ἐφθημιμερὲς καθαρόν· τὸ β' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καταληκτικὸν ἐφθημιμερὲς ἐξ ἰαμβικῆς συζυγίας καὶ ἰωνικοῦ καταληκτικοῦ, ἤτοι ἀναπαίστου· τοῦτο καὶ ἰαμβικὸν εἴη ἂν δίμετρον βραχυκατάληκτον, τοῦ τρίτου ποδὸς ἀναπαίστου) τὸ γ' τροχαϊκὸν ἐφθημιμερὲς καθαρὸν, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον· τὸ δ' ὅμοιον δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικόν· τὸ ε' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατά-

καὶ ἀμφιμάκρου· τὸ ζ' ὅμοιον τῷ β', τὸ η' ὅμοιον τῷ γ'· τὸ θ' χοριαμβικὸν, ὅμοιον τῷ ϛ' ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. ἐπὶ τῷ τέλει μὲν τῆς στροφῆς παράγραφος, ἐπὶ δὲ τῷ τῆς ἀντιστροφῆς κορωνὶς δηλοῦσα ὡς τὸ ᾄσμα τετέλεσται.

1146. οὕτω χρὴ γράφειν, πῦρ πνεόντων ἄστρων χορηγὲ, ἵν' εἴη τὰ κῶλα ὅμοια τοῖς τῆς στροφῆς. ἀμαθεῖς γάρ τινες τῶν μέτρων τοῦτ' ἐνήλλαξαν.

De grammaticis Triclinio prioribus qui metra Sophoclis descripserint nihil usquam traditum vidi, nisi quod de Eugenio refert Suidas, Εὐγένιος, Τροφίμου, Αὐγουστοπόλεως τῆς ἐν Φρυγίᾳ, γραμματικός. οὗτος ἐδίδαξεν ἐν Κωνσταντίνου πόλει, καὶ τὰ μάλιστα διαφανὴς ἦν, πρεσβύτης ἤδη ὢν ἐπ' Ἀναστασίου βασιλέως. (Vixit igitur seculo quinto medio.) ἔγραψε κωλομετρίαν τῶν μελικῶν Αἰσχύλου, Σοφοκλέους καὶ Εὐριπίδου, ἀπὸ δραμάτων ιε', Περὶ τοῦ τί τὸ παιωνικὸν παλιμβάκχειον etc. Verum hæc κωλομετρία non dubitandum quin pridem perdita fuerit quo tempore vixit Triclinius. Quindecim autem quas Suidas dicit fabulæ, si recte hic numerus scriptus est, intelligendæ sunt, ni fallor, Æschyli Prometheus, Septem et Persæ, Sophoclis Ajax, Electra et Œdipus Rex, Euripidis tragœdiæ novem primæ, quas in codice Vaticano 909. aliisque nonnullis etiamnum uno volumine conjunctas videmus.

Proximus post metrorum descriptionem locus in Turnebi editione datus est Triclinii annotationibus περὶ σχημάτων, quarum ipsarum quoque satis erit hoc ex Ajace specimen apposuisse.

1. Ἀεὶ μὲν] τὸ προοίμιον προσφωνητικὸν, καὶ ἐνταῦθα πρότασις. 3. καὶ νῦν] ἐνταῦθα ἡ κατασκευὴ τοῦ προοιμίου. 7. εἶτ'] τοῦτ' ἔστιν ἡ βάσις. 9. ἔνδον] κατασκευὴ τῆς βάσεως. 14. ὦ φθέγμ'] προοίμιον δεύτερον προσφωνητικὸν καὶ αὐτὸ, καὶ ἐνταῦθα ἡ

θέσεως. 89. ὦ οὗτος] διάλεξις Ἀθηνᾶς καὶ Αἴαντος. 125. ὁρῶ γὰρ] γνωμικόν. 131. ὡς ἡμέρα] γνωμικὸν καὶ τοῦτο. 260. τὸ γὰρ ἐσλεύσσειν] γνωμικόν. 285. κεῖνος] προκατάστασις καὶ διήγησις τοῦ πραχθέντος ἔργου τῷ Αἴαντι. 293. γυναιξὶ] γνωμικόν. 398. οὔτε γὰρ θεῶν] ἐν τῷ θεῶν συνίζησις. 348. ἰώ μοι φίλοι] Αἴαντος θρῆνος. 423. ἐξερέω] συνίζησις.

Eadem harum annotationum ratio est quum in Ajacis parte reliqua tum in Electra, Œdipo Rege et Antigona, in tribus vero reliquis fabulis ita eæ rarescunt ut nihil appareat præter illud "γνωμικόν" et "συνίζησις."

Tertia annotationum Triclinii classis sunt scholia exegetica, quorum in Turnebi certe Brunckiique editionibus non eadem in omnibus fabulis conditio est. Nam in quattuor primis fabulis, Ajace, Electra, Œdipo Rege et Antigona, copiosa sunt ipsius scholia Triclinii, vix ullis admixtis ex scholiasta vetere codicis Laurentiani excerptis, insertis vero passim recentiorum scholiastarum annotationibus, etsi hoc quoque raro factum: in tribus vero fabulis postremis (p. 103—147. ed. Turn.) nulla sunt ipsius Triclinii scholia præter pauca illa quæ supra apposuimus p. 307. 328. 358., reliqua omnia ex scholiasta Laurentiano sunt excerpta, verbis ejus modo servatis modo mutatis, nonnullis etiam, quæ in codice Laurentiano leviter corrupta sunt, emendatis: quas Triclinii conjecturas Elmsleius memoravit in annotationibus ad scholia vetera. Eodem fere modo omnia hæc Triclinii scholia perscripta esse videntur in codice Parisino 2711. (T.) quo Brunckium usum esse dixi in Præfatione p. XX.: qui quibus in locis Turnebi scripturam mutaverit e lectionibus editionis Turnebianæ cognosci potest quas infra posui, omissis quæ memorari operæ pretium non erat, cujusmodi est quod pro ἤγουν vel ἤτοι in editione Turnebi ubique fere ἦ ὡς scriptum est male intellecta nota tachygraphica de qua dixit Bastius in Commentatione palæographica p. 787.

θεοῖς Turn.

279, 8. μαθεῖν—βουλόμενοι Brunck.] καθ' ἣν μαντεύονται Turn., quod revocavi. 8. κάθηνται] καθίδρυνται. 21. Addit Turn. ad v. 25. ἐγκάρποις χθονός: εἰκότως εἶπε—ἐδήλωσεν, ex schol. rec., quod vide p. 146, 32—35. 27. τὰ καλὰ] τὰ κακὰ 33. ὑπερχόμεναι] ὑπαρχόμεναι

280, 2. τῆς πρότερον] τῆς προτέρας 4. καταλιπούσης] καταλειπούσης 7. ἐξ ὧν] τοῦτ' ἔστιν ἐξ ὧν 29. πέμποιμ' ἂν] πέμπει ἡμῖν 31. ἀλλά] καὶ ἀλλ'

281, 15, δύναμιν. ἀπορεῖται δὲ πῶς ἄνω—εἰπὼν] δύναμιν. πῶς δ' ἄνω—εἶπε 30. γῆς ἐπ' ἄλλης. τὸ δὲ] ἐπ' ἄλλης γῆς. τὸ γὰρ

282, 4. ὡς] ὥστ' 19. δράσειν.—ἐκτρίψει] δράσειν. ἢ πεπτωκότες: κινδυνεύσαντες. τοῦτο δὲ λέγει, ὅτι—ἐκτρέψει

283, 18. ὦ 'Αθηνᾶ] ἀντὶ τοῦ ὦ 'Αθηνᾶ 19. καὶ ἐτελέσατε] καὶ om. 20. τῆς πρότερον] πήματος πρότερον 21. κινυμένης] κινουμένης

283, 21. παιὼν] παίων 33. ὀπισθόρμητον—ἐπουρίσαντα] ὀπισθόρμητον τῆς πατρίδος. πάτρας ἔπουρον: ἧκος ἐπὶ τῶν ὅρων ἐλθόντα τῆς 'Αμφιτρίτης· ἢ ἔπουρον, ἧκος ἐπουρήσαντα

285, 11. ἀγκυλῶν] ἀγκύλων

286, 21. τὸ θεοὺς] τοὺς θεοὺς 35. μὲν om.

287, 2. φαίνεται] φαίημεν 10. εἴ γέ τι] εἴτι 29. ἐφ'] ἀφ' 33. πρὸς τὸ] τὸ om. 34. κακὰ] κακοῦ 35. νοῶ] νῦν

288, 12. συναίουσαν] ναίουσαν 14. μὴ—διά] ἃ νῦν σὺ: μὴ λάβῃς ἔξωθεν διὰ 18. ἀληθές: τοῦτο—ἀληθές ἐστιν] ἀληθές· ἐννέπω σε: ἧκος ἀληθές ἐστιν ὅτι] ὅτ', quod revocavi. 19. συνδεδεμένως] συνδεδεμένον 20. ἐννέπω καὶ λέγω] ἐννέπων καὶ λέγων

290, 15. σε om. 19. ἀποφανῇ] ἀποφανεῖς 20. ὢν om.

291, 4. χρὴ] οὕτω χρὴ 8. Addit 483. οἰωνοθέτας: ὁ τοῖς οἰωνοῖς τιθέμενος καὶ ἀρεσκόμενος εἰς τὰς μαντείας Τειρεσίας, ἢ ὁ τὰς πτήσεις τῶν οἰωνῶν διατιθεὶς καὶ εὐκρινῶν, τοῦτ' ἔστιν ὁ διδάσκαλος τῆς πτήσεως τῶν οἰωνῶν. Quæ partim ex schol. rec. p. 160, 3—5. petita. 31. αὐτὸν] αὐτοῦ, quod revocavi.

τεύξεσθαι] ἐμοῦ, καὶ δέονταί σου ἁπάντων ὧν χρῄζουσι τεύξεσθαι

294, 12. ἐμαυτοῦ] ἐμοῦ 31. ἐγὼ] ἤως ἐγὼ

295, 21. ἵν' ᾖ] ἵν' εἴη 24. τοιαύτην φύσιν om.

298, 9. ὡς μὴ] καὶ ὡς μὴ

299, 9. στροφῆς] ἀντιστροφῆς

300, 12. ἐπέχῃ] ἐπέχοι 23. τεθείτω] τεθήτω

301, 8. μητρὸς, ἢ πατρὸς] πατρὸς ἢ πρὸς μητρὸς 12. δούλου] δοῦλον

302, 8. εἶδεν] οἶδεν 10. τὸ κάτοιδεν ἢ] κάτοιδεν: τοῦτο ἢ— et similiter alibi non raro lemma sequente τοῦτο, ubi Brunckius omisso lemmate τὸ cum vocabulo quod explicatur.

303, 4. ὁ αὐτὸς] ὁ om. 12. χρόνος] χορὸς 20. δὲ εἰπεῖν] γὰρ εἰπεῖν 23. ἀναναπαποδοτικὸν] ἀνταποδοτικὸν, quod revocavi.

304, 13. αἷμα] αἵματος 24. οἰκεῖον—προσρηθέντος] ἐκεῖνον—προρρηθέντος

305, 28. ἐθελήσει] ἐθελήσῃ Correxi ἐθελήσειεν

306, 5. εἰ καὶ] ἐπεὶ καὶ 12. λιμναῖα κρηνῶν] κρηναῖα λιμνῶν.

ANTIGONE.

308, 2—11. om. 25. μήπω] μήπως 28. οὐ γὰρ ὁ] ὁ γὰρ

309, 12. Addit 30. πρὸς χάριν βορᾶς] ἤως ἐάν τις αὐτοῖς βορὰν χαρίσηται· ἢ τὸ πρὸς χάριν ἀντὶ τοῦ πρὸς ἡδονήν. Quæ ap. Brunckium inter scholia recentiora leguntur, sic ab initio scripta ἤγουν τίς αὐτοῖς βορὰν χαρίσεται—. 18. ἤγουν—ὁρισμὸν] ἤως ἐὰν δ' ἐν τούτοις ᾖ, ἤως ἐὰν οὕτως ὁριστῇ (sic) παρὰ τοῦ Κρέοντος, τί προσθείμην ἐγὼ πλέον, λύουσα ἂν τὸν ὁρισμὸν—. 22. ποτὲ—ποτὲ] ποῦ—ποῦ 25. Sequitur scholiastæ recentioris annotatio ad v. 51., quam vide suo loco. 28. αὐτῶν] αὐτοῦ 30. Sequuntur schol. rec. ad 56. 59.

310, 17—21. τὸ ἀκτίς—ἐλάττονα] Habet infra post καλέουσιν lin. 25. sic adjuncta, ἰστέον δ' ὅτι τὸ ἀκτίς, εἰ καὶ etc. 23. Μυο-

πυλον εἶπεν 6. ἄστεος] ἄστεως ibid. καὶ τὸ στόμα αὐτοῦ ἑπτάπυλον εἰπών om. 25. βαλβίδων οὖν ἐνταῦθα] ἐνταῦθα δὲ βαλβίδων

312, 1. εἰκότως τὰ] Ζηνὶ τροπαίῳ: ἤγουν τῷ τροπὴν αὐτῶν ποιήσαντι Διΐ. ἡμεῖς γὰρ σκυλεύσαντες αὐτοὺς ἀνεθήκαμεν τὰ ὅπλα αὐτῶν αὐτῷ. (Hæc ex schol. recent.) εἰκότως δὲ τὰ— 7. θέσθαι —ἔκθεσθε] τῶν νῦν θέσθε: ἤγουν ἔκθεσθε— 14. τοῦτ'—εἶπε] Revocavi Turnebi scripturam. Brunckii editio, omisso, ut plerumque, lemmate, δέον εἰπεῖν, τοῦτο δ' αὖθις, τοῦτ' αὖθις ἀσύνδετον εἶπε. 18. ἐμπιτνῶν] ἐμπίπτων 24. πόλλ'] Ὡς (ut infra p. 328, 25.) 33. ὁδοῖς κυκλῶν ἐμαυτὸν] κυκλῶν ἐμαυτὸν ὁδοῖς

313, 9. εἰπὼν] εἶπε 34. εὕροις ἂν] ἂν om.

314, 1. λέγει δὲ τοῦτο ὁ χορὸς revocavi ex Turn. In Brunckii editione τοῦτο ὁ χορὸς λέγει, omissis præcedentibus verbis ἤγουν (ἤγουν Turn.) σοφὰ καὶ πανουργά, quæ leguntur inter schol. recent. 5. πρὸς τὸ om. 8. Addit, ἱππείῳ δὲ γένει φησὶν, ἐπειδὴ οὐ μόνον βουσὶν, ἀλλὰ καὶ ἵπποις καὶ ἐν ἑτέροις τόποις ὥσπερ καὶ ἀλοῦσιν. Quæ similiter scripta leguntur inter schol. recent. 12. ἰστέον ὅτι τῷ ἐδιδάξατο οἱ ῥήτορες] τὸ δ' ἐδιδάξατο οἱ ῥήτορες μὲν 13. διδασκάλου] διδασκάλους 18. καὶ ἐδίδαξε] τὸ ἐδιδάξατο 21. addit, 367. καὶ γάρ ποτε: οὕτω χρὴ γράφειν τὰ παρόντα κῶλα, καὶ γὰρ ποτὲ μὲν καλὸν, ἄλλοτ' αὖθις δ' ἐπ' ἐσθλὸν ἔρπει, ἵν' εἶεν ὅμοια τοῖς τῆς στροφῆς κώλοις. ἐνταῦθα δὲ καὶ κῶλον ἦν περισσὸν τὸ ϛ', διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ· οὐ γὰρ χρὴ πλείονα κῶλα τὴν ἀντιστροφὴν ἔχειν τῆς στροφῆς.

315, 1. ἐμεστώθη] Sic Turn., non ἐνεμεστώθη, quod posuit Brunckius. 12. νομίζουσι] κομίζουσι 14. τὸ θνητὸν] τὸ δὲ θνητὸν, præcedente scholio ὥστ' ἄγραπτα: ἤγουν τὰ τετυπωμένα —τῶν νεκρῶν, quod legitur inter schol. recent. 16. σοῦ om. 26. συναπτέον] σύναπτε 30. Addit τὸ δ' ἀνατεὶ ἀντὶ τοῦ χωρὶς βλάβης. et lin. 31. post συναπτέον addit, τὸ δὲ ἐκείνῳ ἀντὶ τοῦ δι' ὧν Πολυνείκην θάπτεις. Quæ similiter scripta leguntur apud

πεποίηκας) et v. 558. ἡ ξαμαρτία: ἤγουν ἀποτυχία—ἐποίησας. 3. οὐ μόνον—ὠφελῶ] οὐ μόνον τὸ ὠφελῶ αἰτιατικῇ, omisso συντάσσεται. 4. ἐνταῦθα] ἐνταῦθα εὕρηται 8. ταῦτα λέγει ὁ χορός] ταῦτ' (sic) ὁ χορὸς λέγει 20. ἐσχάτην] ἐσχάτην τὴν νόει] Sic Turn.: νοεῖ Brunckius. 26. ἀμᾷ δέ νιν] ἀμᾷ δὲ καὶ θερίζει νὶν καὶ αὐτὴν 27. σύναπτε δὲ] συνάπτων 32. οὕτω χρὴ γράφειν] χρὴ δὲ γράφειν 35. χρόνου] χρόνων 36. πρὸς] ἰστέον δ' ὅτι πρὸς—. Nam præcedit scholion τό τ' ἔπειτα καὶ τὸ μέλλον: λάμβανε τὴν ἐπὶ — — μέλλον, quæ ap. Brunckium inter schol. recent. leguntur.

317, 20. θεὸς—λέγει] Sic Turneb.: pro quibus Brunck. τὸ κακὸν δοκεῖν ἐσθλόν: τοῦτο λέγει 22. Post ἥδιστον addit annotationem ex schol. cod. Laurent. excerptam 629. τάλιδος ἥκει: τάλις κατ' Αἰολεῖς ἡ ἐγγυηθεῖσα πρὸς γάμον τινί, ὥσπερ καὶ Καλλίμαχος λέγει, Αὐτίκα τὴν τάλιν παιδὶ σὺν ἀμφιβαλεῖ. Tum sequuntur schol. ad 635. πάτερ, σός εἰμι: ἤγουν τῷ σῷ θελήματι ὑπείκω, καὶ σύ μοι τὰ βέλτιστα καὶ λυσιτελοῦντα διανοῇ. 640. πάντ' ὄπισθεν ἑστάναι: ἤγουν κατὰ πάντα — — γνώμης εἶπεν, quæ vide inter schol. recent. 20. τὸ ἄγαλμα—ἵν'] ἢ τί πρὸς παίδων πατρί: ἤγουν οὐδ' ὁ πατὴρ μείζονα ἄλλην χάριν παρὰ τῶν παίδων δέχεται ἢ εὐτυχοῦντας τούτους ὁρᾶν. (Hæc ap. Brunck. inter schol. recent.) σύναπτε δὲ πρὸς τὸ εὐκλείας τὸ ἄγαλμα, ἵν' 28. εὔκλεια] Sequitur ὑπείκει μηδὲν: ἤγουν ὑποχαλᾷ—πνεύματος. τὸ δ' ὑπτίοις—ὕπτιοι γίνονται, ex schol. recent. ad 715. Tum ad v. 720. πρεσβεύειν πολύ: τοῦτο ἀπὸ τοῦ Ἡσιόδου παρῴδηται λέγοντος, Οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα νοήσει, καὶ τὰ ἑξῆς, ex schol. Laurent. 34. Sequitur ad v. 745. θεῶν πατῶν: ἤγουν παραβαίνων. δεῖ γὰρ—φέρεσθαι ex schol. recent. 36. ἐξετάζων om.

318, 12. σύντασσε] σύντασσε δὲ, præcedente excerpto ex schol. cod. Laur. ἔθος ἦν παλαιὸν, βουλομένους καθειργνύναι τινὰ ἀφοσιοῦσθαι καὶ βραχὺ τιθέναι τροφῆς· καὶ γὰρ ὑπενόουν καθάρσιον

